singula signa petantur, deinde consequenter de manifestioribus sigillatim exponere. Physiognomonia ergo tractat, sicut et nomen ipsius docet, de naturalibus passionibus, quæ sunt in anima, et de signis adscitis ad indolem dignoscendam idoneis, quæcumque ubi superveniunt immutant (aliquid); qualia autem hæc sint, posterius declarabitur. Nunc autem dicam, ex quibus generibus signa petantur et sint omnia: ex motibus enim indolem dignoscunt, et ex figuris, et coloribus, et ex moribus apparentibus in facie, et ex pilis, et ex lævitate, et ex voce, et ex carne, et expartibus, et ex figura totius corporis. Universaliter itaque hujusmodi sunt, quæ dicunt physiognomones de universis generibus quibus signa insunt. Quodsi igitur obscura aut non dilucida foret talis expositio, sufficerent prædicta; nunc vero fortasse melius est, sigillatim de omnibus quæcumque manifesta e signis ad indolem dignoscendam idoneis petuntur, accuratius loqui, enumerantem signa, qualia sint singula, et quorsum referantur, quæcumque scilicet in prædictis exposita non fuere. Colores ergo significant acuti quidem calidum et sanguineum, albi vero cum rubore bonam indolem quando in lævi corpore accidit hic color; pili autem molles quidem ignavum, duri autem fortem. Hoc autem signum sumptum est ex omnibus animalibus: ignavissimum enim est cervus, lepus, ovis, et pilum mollissimum habent; fortissimum autem leo, aper, et pilum durissimum gestant. Est autem et in avibus hoc idem videre: universaliter enim quæcumque quidem habent duram pennam, fortes, quæcumque autem mollem, ignavi. Et particulariter hoc idem videre licet in coturnicibus et in gallis gallinaceis. Similiter autem et in generibus hominum hoc idem accidit: qui enim sub ursis habitant, fortes sunt et durorum pilorum, qui autem versus meridiem, ignavi et mollem pilum gestant. Hirsuti autem circa ventrem pili loquacitatem significant; hoc autem refertur ad genus avium: pertinent enim ad signa corporea avibus propria pili hirsuti circa ventrem, ad ea autem quæ sunt circa intellectum, loquacitas. Caro autem dura quidem et nitida stupidum significat, mollis autem et ingeniosum et inconstantem, nisi in valido corpore et validis artubus prædito hoc accidat. Motus autem tardi quidem mollem animam, acuti vero calidam. In voce autem gravis quidem et intensa fortem, acuta autem et remissa ignavum. Figuræ autem et passiones quæ apparent in facie, secundum similitudines accipiuntur cum passione: superveniunt enim, ubi patitur aliquid: verbi gratia, si talem præ se fert faciem qualem ubi quis irascitur, ad iracundiam pertinet signum ejusdem generis. Mas autem femina major est et robustior et artus corporis validiores habet pinguioresque ac nitidiores et potiores secundum omnes virtutes. Signis autem quæ partibus corporis innituntur,

τῶν ἐπὶ τοῖς μέρεσι σημείων ἐστὶ τὰ ἐν τοῖς ἤθεσι τοῖς ἐν τοῖς ἐπιφαινομένοις λαμβανόμενα καὶ τὰ κατὰ τὰς κινήσεις καὶ τὰ σχήματα. Ὅλως δὲ τὸ ἑνὶ μὲν πιστεύειν τῶν σημείων εὔηθες· ὅταν δὲ πλείω συμφωνοῦντα καθ' ἑνὸς λάβῃ, μᾶλλον ἤδη κατὰ τὸ εἰκὸς ἄν τις ὑπολαμβάνοι ἀληθῆ εἶναι τὰ σημεῖα. Ἔστι δ' ἄλλος τρόπος καθ' ὃν ἄν τις φυσιογνωμονοίη· οὐδεὶς μέντοι ἐπικεχείρηκεν· οἷον εἰ ἀνάγκη ἐστὶ τὸν ὀργίλον καὶ τὸν δυσάνιον καὶ μικρὸν τὸ ἦθος φθονερὸν εἶναι, εἰ καὶ μή ἐστι φθονεροῦ σημεῖα, ἐξ ἐκείνων δὲ τῶν προτέρων ἐνδέχοιτο ἂν τῷ φυσιογνώμονι καὶ τὸν φθονερὸν εὑρίσκειν. Μάλιστα μὲν ἂν ὁ τοιοῦτος ἴδιος τρόπος εἴη τοῦ πεφιλοσοφηκότος· τὸ γὰρ δύνασθαι τινῶν ὄντων ἀναγκαῖον εἶναι, ἴδιον ὑπολαμβάνοιμεν φιλοσοφίας· ὅπερ ἐστὶν ὅτ' ἐναντιοῦται, τούτῳ κατὰ τὰ πάθη φυσιογνωμονεῖν καὶ τὰ κακά.

Περὶ φωνῆς κατὰ μὲν τὸ πάθος ἐπισκοπῶν ὀξεῖαν οἰηθείη ἄν τις δυεῖν ἕνεκεν τιθέναι τοῦ θυμοειδοῦς· ὁ γὰρ ἀγανακτῶν καὶ ὀργιζόμενος ἐπιτείνειν εἴωθε τὸν φθόγγον καὶ ὀξὺ φθέγγεσθαι, ὁ δὲ ῥαθύμως διακείμενος τόν τε τόνον ἀνίησι καὶ βαρὺ φθέγγεται. Τῶν δ' αὖ ζῴων τὰ μὲν ἀνδρεῖα βαρύφωνά ἐστι, τὰ δὲ δειλὰ ὀξύφωνα, λέων μὲν καὶ ταῦρος καὶ κύων ὑλακτικός, καὶ τῶν ἀλεκτρυόνων οἱ εὔψυχοι βαρύφωνοι φθέγγονται· ἔλαφος δὲ καὶ λαγὼς ὀξύφωνά ἐστιν. Ἀλλ' ἴσως καὶ ἐν τούτοις κρεῖσσόν ἐστι μὴ ἐν τῷ βαρεῖαν ἢ ὀξεῖαν εἶναι τὴν φωνὴν αὐτῶν ἀνδρεῖον ἢ δειλὸν τιθέναι, ἀλλ' ἐν τῷ τὴν μὲν ἐρρωμένην ἀνδρείου, τὴν δ' ἀνειμένην καὶ ἀσθενῆ δειλοῦ ὑποληπτέον εἶναι. Ἔστι δὲ κράτιστον, ὅταν τὰ σημεῖα μὴ ὁμολογούμενα, ἀλλ' ὑπεναντιούμενα, μηδὲν τιθέναι, εἰ μή ἐστι τῶν διῃρημένων, ποῖα ποίων πιστότερα, καὶ μάλιστα μὲν εἰς εἴδη, ἀλλὰ μὴ εἰς ὅλα τὰ γένη ἀναφέρειν· ὁμοιότερα γάρ ἐστι τῷ ζητουμένῳ· οὐ γὰρ ὅλον τὸ γένος τῶν ἀνθρώπων φυσιογνωμονοῦμεν, ἀλλά τινα τῶν ἐν τῷ γένει.

validiora sunt quæ petuntur e moribus supervenientibus, et quæ secundum motus et figuras determinantur. Omnino autem uni quidem signorum credere stultum est; ubi autem plura consentientia de una re deprehenduntur, magis verisimiliter jam autumabit quis vera esse signa. Est autem alius etiam modus, secundum quem aliquis indolem dignoscere possit; nullus tamen adgressus est: verbi gratia si necesse sit, iracundum et morosum et pusillanimem invidum esse, etiamsi non adsint invidi signa, ex illis certe prioribus licebit physiognomoni et invidum detegere. Maxime sane talis ratio propria fuerit philosopho: posse enim, ubi certa quædam signa adsunt, necessarium esse (aliud), proprium putare debemus philosophiæ; hoc autem fit quando, adversantibus inter se passionibus et vitiis, eo ipso passionum ope et vitia dignoscimus.

Secundum passionem autem de voce considerans quispiam acutam putarit duplicem ob causam iracundo tribuendam esse: qui enim ægre fert et irascitur, intendere consuevit vocem et acute loqui; qui autem placide degit, remittit intentionem et graviter loquitur. Rursus autem animalium fortia quidem gravis vocis sunt, ignava autem acutæ vocis, leo quidem et taurus, et canis ad latrandum proclivis, et gallorum qui sunt boni animi, graviter vociferantur; cervus autem et lepus acutæ vocis sunt. Sed forte et in his melius est, non eo quod ipsorum vox sit gravis aut acuta, fortem aut ignavum ponere, sed eo quod fortis quidem valida est vox, dum ignavi remissam et imbecillem habere debemus. Est autem optimum, quando signa non consentiunt, sed aliquatenus contraria sunt, nihil decernere, nisi pertineant ad ea de quibus determinavimus, quænam aliis credibiliora sint, et maxime quidem in species, sed non in tota genera referre: similiora enim sunt hæc ei quod quæritur, quippe non totius generis hominum indolem investigamus, sed alicujus eorum qui ad genus pertinent.

CAP. III.

Ἀνδρείου σημεῖα τρίχωμα σκληρόν, τὸ σχῆμα τοῦ σώματος ὀρθόν, ὀστᾶ καὶ πλευραὶ καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἰσχυρὰ καὶ μεγάλα, καὶ κοιλία πλατεῖα καὶ προσεσταλμένη, ὠμοπλάται πλατεῖαι καὶ διεστηκυῖαι, οὔτε λίαν συνδεδεμέναι, οὔτε παντάπασιν ἀπολελυμέναι, τράχηλος ἐρρωμένος, οὐ σφόδρα σαρκώδης, τὸ στῆθος σαρκῶδές τε καὶ πλατύ, ἰσχίον προσεσταλμένον, γαστροκνημίαι κάτω προσεσπασμέναι, ὄμμα χαροπόν, οὔτε λίαν ἀνεπτυγμένον, οὔτε παντάπασι συμμῦον, αὐχμηρότερον τὸ χρῶμα τὸ ἐπὶ τοῦ σώματος, ὀξὺ μέτωπον, εὐθύ, οὐ μέγα, ἰσχνόν, οὔτε λεῖον, οὔτε παντάπασι ῥυτιδῶδες. Δειλοῦ σημεῖα τριχωμάτιον μαλακόν, τὸ σῶμα συγκεκαθικός, οὐκ ἐπισπερχής· αἱ δὲ γαστροκνημίαι ἄνω ἀνεσπασμέναι· περὶ τὸ πρόσωπον ὕπωχρος, ὄμματα ἀσθενῆ καὶ σκαρδαμύττοντα, καὶ τὰ ἀκρωτήρια τοῦ σώματος ἀσθενῆ, καὶ μικρὰ σκέλη,

Signa fortis: pili duri, figura corporis erecta, ossa et costæ et artus corporis validi et magni, et venter latus et strictus, scutula operta lata et distantia, nec valde colligata, nec omnino soluta, collum robustum, non vehementer carnosum, pectus carnosum et latum, coxa stricta, suræ inferne adtractæ, oculus flavus, nec valde apertus, nec omnino connivens, squalidior color in copore, acuta frons, recta, non magna, gracilis, neque lævis, neque omnino rugosa. Signa ignavi: pili molles; corpore considenti, non festinus; suræ sursum adtractæ; circa faciem subpallidus; oculi imbecilles et nictantes, et artus corpo-

καὶ χεῖρες λεπταὶ καὶ μακραί· ὀσφὺς δὲ μικρὰ καὶ ἀσθενής· τὸ σχῆμα σύντονον ἐν ταῖς κινήσεσιν· οὐκ ἰταμός, ἀλλ' ὕπτιος καὶ τεθαμβηκώς· τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου εὐμετάβολον, κατηφής. Εὐφυοῦς σημεῖα σὰρξ ὑγροτέρα καὶ ἁπαλωτέρα, οὐκ εὐεκτική, οὐδὲ πιμελώδης σφόδρα· τὰ περὶ τὰς ὠμοπλάτας καὶ τράχηλον ἰσχνότερα καὶ τὰ περὶ τὸ πρόσωπον, καὶ σύνδετα τὰ περὶ τὰς ὠμοπλάτας καὶ τὰ κάτω ἀφειμένα, εὔλυτα τὰ περὶ τὰς πλευράς· καὶ τὸν νῶτον ἀσαρκότερος· τὸ σῶμα λευκέρυθρον καὶ καθαρόν, τὸ δερμάτιον λεπτόν, τριχωμάτιον μὴ λίαν σκληρόν, μηδὲ λίαν μέλαν, ὄμμα χαροπόν, ὑγρόν. Ἀναισθήτου σημεῖα τὰ περὶ τὸν αὐχένα καὶ τὰ σκέλη σαρκώδη καὶ συμπεπλεγμένα καὶ συνδεδεμένα, κοτύλη στρογγύλη, ὠμοπλάται ἄνω ἀνεσπασμέναι, μέτωπον μέγα, περιφερές, σαρκῶδες, ὄμμα χλωρόν, κωφόν, κνῆμαι περὶ σφυρὸν παχεῖαι, σαρκώδεις, στρογγύλαι, σιαγόνες μεγάλαι, σαρκώδεις, ὀσφὺς σαρκώδης, σκέλη μακρά, τράχηλος παχύς, πρόσωπον σαρκῶδες, ὑπόμακρον ἱκανῶς. Τὰς δὲ κινήσεις καὶ τὸ σχῆμα καὶ τὸ ἦθος τὸ ἐπὶ τοῦ προσώπου ἐπιφαινόμενον κατὰ τὰς ὁμοιότητας ἀναλαμβάνει. Ἀναιδοῦς σημεῖα ὀμμάτιον ἀνεπτυγμένον καὶ λαμπρόν, βλέφαρα ὕφαιμα καὶ παχέα· μικρὸν ἔγκυρτος· ὠμοπλάται ἄνω ἐπηρμέναι· τῷ σχήματι μὴ ὀρθός, ἀλλὰ μικρῷ προπετέστερος, ἐν ταῖς κινήσεσιν ὀξύς, ἐπίπυρρος τὸ σῶμα· τὸ χρῶμα ὕφαιμον· στρογγυλοπρόσωπος· τὸ στῆθος ἀνεσπασμένον. Κοσμίου σημεῖα· ἐν ταῖς κινήσεσι βραδύς, καὶ διάλεκτος βραδεῖα καὶ φωνὴ πνευματώδης καὶ ἀσμενής, ὀμμάτιον ἀλαμπές, μέλαν, καὶ μήτε λίαν ἀνεπτυγμένον, μήτε παντάπασι συμμεμυκός, σκαρδαμυκτικὸν βραδέως· τὰ μὲν γὰρ ταχέως σκαρδαμύττοντα τῶν ὀμμάτων τὰ μὲν δειλόν, τὰ δὲ θερμὸν σημαίνει. Εὐθύμου σημεῖα μέτωπον εὐμέγεθες καὶ σαρκῶδες καὶ λεῖον, τὰ περὶ τὰ ὄμματα ταπεινότερα, καὶ ὑπνωδέστερον τὸ πρόσωπον φαίνεται, μήτε δεδορκός, μήτε σύννουν· ἔν τε ταῖς κινήσεσι βραδὺς ἔστω καὶ ἀνειμένος· τῷ σχήματι καὶ τῷ ἤθει τῷ ἐπὶ τοῦ προσώπου μὴ ἐπισπερχής, ἀλλὰ ἀγαθὸς φαινέσθω. Ἀθύμου σημεῖα· τὰ ῥυτιδώδη τῶν προσώπων, καὶ ἰσχνὰ ὄμματα καταπεκλασμένα· ἅμα δὲ καὶ τὰ κεκλασμένα τῶν ὀμμάτων δύο σημαίνει, τὸ μὲν μαλακὸν καὶ θῆλυ, τὸ δὲ κατηφὲς καὶ ἄθυμον· ἐν τῷ σχήματι ταπεινὸς καὶ ταῖς κινήσεσιν ἀπηγορευκώς. Κιναίδου σημεῖα ὄμμα κατακεκλασμένον· γονύκροτος· ἐγκλίσεις τῆς κεφαλῆς εἰς τὰ δεξιά· αἱ φοραὶ τῶν χειρῶν ὕπτιαι καὶ ἔκλυτοι, καὶ βαδίσεις διτταί, ἡ μὲν περινεύοντος, ἡ δὲ κρατοῦντος τὴν ὀσφύν· καὶ τῶν ὀμμάτων περιβλέψεις, οἷος ἂν εἴη Διονύσιος ὁ σοφιστής. Πικροῦ σημεῖα τὸ πρόσωπον σεσηρός· μελανόχρως, ἰσχνός· τὰ περὶ τὸ πρόσωπον διεξυσμένα, τὸ πρόσωπον ῥυτιδῶδες, ἄσαρκον· εὐθύθριξ καὶ μελάνθριξ. Θυμώδους σημεῖα· ὀρθὸς τὸ σῶμα, τῷ σχήματι εὔπλευρος, εὔθυμος, ἐπίπυρρος· ὠμοπλάται διεστηκυῖαι καὶ μεγάλαι καὶ πλα-

ris imbecilles, et crura parva, manus tenues et longæ; lumbi autem parvi et imbecilles; figura contensa in motibus; non alacer, sed supinus et stupidus; mos qui est in facie, mobilis, demissus. Ingeniosi signa : caro humidior et mollior, non nitida, neque valde pinguis; quæ sunt circa scutula operta et collum, macriora; item quæ circa faciem, atque quæ circa scutula operta, colligata et ab inferiori parte remissa; quæ sunt circa costas, bene soluta, et quæ secundum dorsum, pauciori carne vestita; corpus album misto rubore et purum; cutis tenuis; pili non valde duri, nec valde nigri; oculus fulvus, lubricus. Stolidi signa : quæ sunt circa collum et crura, carnosa, complexa et colligata; acetabulum rotundum; scutula operta sursum retracta; frons magna, rotunda, carnosa; oculus pallidus, hebes; crura circa malleolos crassa, carnosa, rotunda; mandibulæ magnæ, carnosæ; lumbi carnosi; crura longa; collum crassum; facies carnosa, sublonga satis. Motus autem et figuram et morem qui apparet in facie, secundum similitudines accipit. Impudentis signa : oculus apertus et splendidus, palpebræ sanguine suffusæ et crassæ; et paululum incurvus; scutula operta sursum elevata; figura non rectus, sed paulo pronior; in motibus autem acutus, corpore rubescens; color sanguine subfusus; facies rotunda; pectus sursum tractum. Modesti signa : in motibus tardus, et loquelatarda, ac vox plena spiritus, mitis; oculus non splendidus, niger, neque valde apertus, neque omnino clausus, tarde nictans : oculorum enim qui celeriter nictantur, partim quidem ignavum, partim vero calidum significant. Animosi signa : frons vasta et carnosa et lævis; quæ sunt circa oculos, humiliora; facies vero somnolentior videtur, neque spectabunda, neque cogitabunda; in motibus tardus esto et remissus; figura et more qui est in facie, non præceps, sed appareto bonus. Tristis signa : rugosa facies et macri oculi, confracti; simul autem et confracti oculorum duo significant, partim quidem molle et femininum, partim vero demissum et tristem; in figura humilis et motibus remissus. Signa cinædi : oculus confractus; genua complodens; inclinationes capitis ad dextram; gesticulationes manuum supinæ et dissolutæ, et incessus duplex, partim quidem quoquoversum nutantis, partim vero retinentis lumbos; et oculorum circumspectiones, qualis utique fuerit Dionysius sophista. Signa avari : facies ringens; nigri coloris, macer; quæ sunt circa faciem, quasi sulcata; facies rugosa, non carnosa; recti crinis et nigri. Signa iracundi . rectus corpore, figura bene costatus, animosus, subrufus; scu-

τεῖαι· ἀκρωτήρια μεγάλα καὶ ἐγκρατῆ· λεῖος καὶ περὶ τὰ στήθη καὶ περὶ βουβῶνας, εὐπώγων· εὐαυξὴς ὁ περίδρομος τῶν τριχῶν, κάτω κατεληλυθώς. Πραέος σημεῖα· ἰσχυρὸς τὸ εἶδος, εὔσαρκος· ὑγρὰ σὰρξ καὶ πολλή· εὐμεγέθης καὶ σύμμετρος· ὕπτιος τῷ σχήματι· ὁ περίδρομος τῶν τριχῶν ἀνεσπασμένος. Εἴρωνος σημεῖα· πίονα τὰ περὶ τὸ πρόσωπον, καὶ τὰ περὶ τὰ ὄμματα ῥυτιδώδη· ὑπνῶδες τὸ πρόσωπον τῷ ἤθει φαίνεται. Μικροψύχου σημεῖα· μικρομελής, μικρογλάφυρος, ἰσχνός, μικρόμματος καὶ μικροπρόσωπος, οἷος ἂν εἴη Κορίνθιος, ἢ Λευκάδιος. Φιλόκυβοι γαλεαγκῶνες καὶ ὀρχησταί. Φιλολοίδοροι οἷς τὸ ἄνω χεῖλος μετέωρον, καὶ τὰ εἴδη προπετεῖς, ἐπίπυρροι. Ἐλεήμονες ὅσοι γλαφυροὶ καὶ λευκόχροοι καὶ λιπαρόμματοι καὶ τὰ ῥινία ἄνωθεν διεξυσμένοι, καὶ ἀεὶ δακρύουσιν. Οἱ αὐτοὶ οὗτοι καὶ φιλογύναιοι καὶ θηλυγόνοι καὶ περὶ τὰ ἤθη ἐρωτικοὶ καὶ ἀειμνήμονες καὶ εὐφυεῖς καὶ ἔνθερμοι. Τούτων δὲ σημεῖα εἴρηται· ἐλεήμων ὁ σοφὸς καὶ δειλὸς καὶ κόσμιος, ἀνελέητος ἀμαθὴς καὶ ἀναιδής. Ἀγαθοὶ φαγεῖν οἷς τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς στῆθος μεῖζόν ἐστιν ἢ τὸ ἐντεῦθεν πρὸς τὸν αὐχένα. Λάγνου σημεῖα· λευκόχρως καὶ δασὺς εὐθείαις θριξὶ καὶ παχείαις καὶ μελαίναις· καὶ οἱ κρόταφοι δασεῖς εὐθείαις θριξίν· λιπαρὸν τὸ ὀμμάτιον καὶ μάργον. Φίλυπνοι οἱ τὰ ἄνω μείζω ἔχοντες καὶ γυπώδεις καὶ θερμοί, εὐεκτικὴν σάρκα ἔχοντες, καὶ γλαφυροὶ τὰ εἴδη, καὶ δασεῖς τὰ περὶ τὴν κοιλίαν. Μνήμονες οἱ τὰ ἄνω ἐλάττονα ἔχοντες καὶ γλαφυρὰ καὶ σαρκωδέστερα.

tula operta distantia et magna et lata; artus magni et validi; lævis, et circa pectus, et circa inguina, barbatus probe; capillorum ambitus floridus, deorsum tendens. Signa mansueti : specie validus, bene carnosus; caro humida, multa; bonæ magnitudinis, et commensuratus; figura supinus; ambitus capillorum sursum retractus. Cavillatoris signa : quæ circa faciem sunt, pinguia, quæ vero circa oculos, rugosa; somnolenta facies de more videtur. Pusillanimi signa : parvorum membrorum, exiguus et concinnus, macer, et parvorum oculorum et parvæ faciei, qualis fuerit Corinthius, aut Leucadius. Talorum amantes curtis cubitis, saltatores. Amatores contumeliarum, quibus superius labium fluitat; et specie proni sunt et subrufi. Misericordes sunt quicumque sunt sciti, albi coloris, et habent oculos pingues et nares superne sulcatas, et semper plorant. Iidem etiam amatores sunt mulierum et genitores feminarum, et moribus in amorem proclives, et semper memores, ingeniosi et calidi. Horum autem signa dicta sunt : misericors est sapiens et ignavus et modestus; immisericors et indoctus et impudens. Voraces sunt hi quibus id quod est ab umbilico ad pectus, majus est quam quod inde est usque ad collum. Signa libidinosi : qui est albi coloris et hirsutus rectis capillis et crassis et nigris; et tempora hirsuta capillis rectis; oculus pinguis et lascivus. Amatores autem somni sunt qui habent superiora majora, vulturi similes, habentes carnem nitidam, eleganti specie, hirsuti circa ventrem. Memores qui habent superiora majora, scita et carnosa potius.

CAP. IV.

Δοκεῖ δέ μοι ἡ ψυχὴ καὶ τὸ σῶμα συμπαθεῖν ἀλλήλοις, καὶ ἡ τῆς ψυχῆς ἕξις ἀλλοιουμένη συναλλοιοῖ τὴν τοῦ σώματος μορφήν, πάλιν θ' ἡ τοῦ σώματος μορφὴ ἀλλοιουμένη συναλλοιοῖ τὴν τῆς ψυχῆς ἕξιν· ἐπειδὴ γάρ ἐστι ψυχῆς τὸ ἀνιᾶσθαί τε καὶ εὐφραίνεσθαι, καταφανὲς ὅτι οἱ ἀνιώμενοι σκυθρωπότεροί εἰσι καὶ οἱ εὐφραινόμενοι ἱλαροί. Εἰ μὲν οὖν ἦν τῆς ψυχῆς λελυμένης ἔτι τὴν ἐπὶ τοῦ σώματος μορφὴν μένειν, ἦν μὲν ἂν καὶ οὕτως ἡ ψυχή τε καὶ τὸ σῶμα συμπαθῆ, οὐ μέντοι συνδιατελοῦντα ἀλλήλοις· νῦν δὲ καταφανὲς ὅτι ἑκάτερον ἑκατέρῳ ἕπεται. Μάλιστα μέντοι ἐκ τοῦδε δῆλον γένοιτο· μανία γὰρ δοκεῖ εἶναι περὶ ψυχήν, καὶ οἱ ἰατροὶ φαρμάκοις καθαίροντες τὸ σῶμα καὶ διαίταις τισὶ πρὸς αὐτοῖς χρησάμενοι ἀπαλλάττουσι τὴν ψυχὴν τῆς μανίας. Ταῖς δὴ τοῦ σώματος θεραπείαις καὶ ἅμα ἥ τε τοῦ σώματος μορφὴ λέλυται καὶ ἡ ψυχὴ μανίας ἀπήλλακται. Ἐπειδὴ οὖν ἅμα ἀμφότερα λύονται, δῆλον ὅτι συνδιατελοῦσιν ἀλλήλοις. Συμφανὲς δὲ καὶ ὅτι ταῖς δυνάμεσι τῆς ψυχῆς ὅμοιαι αἱ μορφαὶ τοῖς σώμασιν ἐπιγίνονται, ὥστ' ἐστὶν ἅπαντα ἐν τοῖς ζῴοις τοῦ αὐτοῦ τινος δηλωτικά. Πολλὰ δὲ καὶ ὧν

Videntur autem mihi anima et corpus affectus secum invicem communicare, et animæ habitus immutatus simul immutat corporis formam, rursusque forma corporis immutata simul immutat animæ habitum : quando enim ad animam pertinent tristitia et gaudium, manifestum est mœstos tristiores esse, gaudentes autem hilares. Quodsi igitur fieri posset ut anima soluta, forma quæ est in corpore, adhuc persisteret, sane et ita anima et corpus inter sese consentirent; non tamen conjunctim perdurari possent; nunc autem manifestum alterum alterum consequi. Maxime tamen id ex hoc manifestum fiat : furor videtur esse circa animam, et medici medicinis purgantes corpus et victus ratione quadam insuper utentes liberant animam a furore. Curationibus itaque corporis simul et corporis forma solvitur, et anima a furore liberatur. Quoniam igitur utraque simul solvuntur, palam fit ea conjunctim perdurare. Manifestum insuper est, facultatibus animæ similes corporis formas supervenire : quare erunt omnia in animalibus ejusdem cujuspiam rei declarativa. Multa autem eorum quæ

διαπράττεται τὰ ζῷα, τὰ μὲν ἴδια ἑκάστου γένους πάθη τῶν ζῴων ἐστί, τὰ δὲ κοινά. Ἐπὶ μὲν οὖν τοῖς ἰδίοις ἔργοις τῆς ψυχῆς ἴδια τὰ πάθη κατὰ τὸ σῶμα, ἐπὶ δὲ τοῖς κοινοῖς τὰ κοινά. Κοινὰ μὲν οὖν ἐστιν ὕβρις τε καὶ ἡ περὶ τὰ ἀφροδίσια ἔκστασις. Τῶν μὲν οὖν λοφούρων κοινόν ἐστιν ὕβρις, τῶν δ' ὄνων τε καὶ συῶν ἡ περὶ τὰ ἀφροδίσια ἕξις. Ἴδιον δ' ἐστὶν ἐπὶ μὲν τῶν κυνῶν τὸ λοίδορον, ἐπὶ δὲ τῶν ὄνων τὸ ἄλυπον. Ὡς μὲν οὖν τὸ κοινόν τε καὶ τὸ ἴδιον χρὴ διελέσθαι, εἴρηται· δεῖ μέντοι πρὸς ἅπαντα πολλῆς συνηθείας, εἰ μέλλει τις αὐτὸς ἔσεσθαι ἱκανὸς περὶ τούτων ἕκαστα λέγειν· ἐπειδὴ γὰρ τὰ δρώμενα ἐπὶ τῶν σωμάτων λέγεται ἀναφέρεσθαι ἐπὶ τὰς ὁμοιότητας τάς τ' ἀπὸ τῶν ζῴων καὶ τὰς ἀπὸ τῶν πράξεων γινομένας, καὶ ἰδέαι τινὲς ἄλλαι ἀπὸ θερμοτήτων καὶ ἀπὸ ψυχροτήτων γίνονται, ἔστι τε τούτων ἔνια τῶν ἐπιφαινομένων ἐπί τε τοῖς σώμασι μικραῖς διαφοραῖς κεχρημένα καὶ τῷ αὐτῷ ὀνόματι προσαγορευόμενα, οἷον αἵ τ' ἀπὸ φόβων ὠχρότητες καὶ ἀπὸ πόνων (αὗται γὰρ ὀνόματί τε τῷ αὐτῷ κέχρηνται, καὶ διαφορὰν μικρὰν ἔχουσι πρὸς ἀλλήλας), μικρᾶς δ' οὔσης τῆς διαφορᾶς οὐ ῥᾴδιον γινώσκειν ἀλλὰ ἢ ἐκ τῆς συνηθείας τῆς μορφῆς τὴν ἐπιπρέπειαν εἰληφότα. Ἔστι μὲν οὖν καὶ τάχιστος καὶ ἄριστος ὁ ἀπὸ τῆς ἐπιπρεπείας, καὶ ἔστι γ' οὕτω τούτῳ χρώμενον πολλὰ διαγινώσκειν (καὶ οὐ μόνον καθόλου χρήσιμόν ἐστιν, ἀλλὰ καὶ πρὸς τὴν τῶν σημείων ἐκλογήν· ἕκαστον γὰρ τῶν ἐκλεγομένων καὶ πρέπειν δεῖ τοιοῦτον οἷον τὸ ἐκλεγόμενον θέλει), ἔτι τε κατὰ τὴν ἐκλογὴν τῶν σημείων καὶ τῷ συλλογισμῷ, ᾧ δεῖ χρῆσθαι ὅπου ἄν τι τύχῃ, προστιθέντας τοῖς προσοῦσι τὰ προσήκοντα, οἷον εἰ ἀναιδής τ' εἴη καὶ μικρολόγος, καὶ κλέπτης ἂν εἴη καὶ ἀνελεύθερος, καὶ κλέπτης μὲν ἑπομένως τῇ ἀναιδείᾳ, τῇ δὲ μικρολογίᾳ ἀνελεύθερος. Ἐπὶ μὲν οὖν τῶν τοιούτων ἑκάστου δεῖ τοῦτον τὸν τρόπον προσαρμόζοντα τὴν μέθοδον ποιεῖσθαι.

peragunt animalia, partim quidem unicuique generi animalium proprii sunt affectus, partim vero communes. Proprias igitur animæ actiones proprii consequuntur in corpore affectus communes autem communes. Communes itaque sunt insolentia, et qui est circa rem veneream, stupor. Jumentorum itaque communis est insolentia; asinorum vero et suum proclivitas in rem veneream. Proprium autem est in canibus quidem obtrectatio, in asinis autem innocentia. Quomodo igitur commune quidem et proprium conveniat distinguere, dictum est; ad hæc omnia tamen opus est multa consuetudine, si quis idoneus esse debeat qui de singulis his disserat: quoniam enim ea quæ videntur in corporibus, dicuntur referri ad similitudines, quæ petuntur ab animalibus, quæque ab actibus proveniunt, quumque differentiæ quædam aliæ a caliditate et frigiditate oriuntur, quumque eorum quædam quæ corporibus superveniunt, parvam ostendunt differentiam et eodem nomine adpellantur, ut pallores, qui fiunt a timoribus, et qui a laboribus (hi enim eodem nomine utuntur, et differentiam parvam habent inter se), parva, inquam, quum sit differentia, non facile est cognoscere, nisi ex consuetudine formam præcellentissimam desumamus. Est autem optimus et citissimus, (modus) qui ad hanc formam pertinet, atque ita certe hoc utenti multa licet dignoscere (nec solum universaliter utile est hoc, sed ad signorum quoque delectum: electorum enim quodque eadem ratione oportet excellere quà signum quod eligitur, vult), prætereaque in delectu signorum et syllogismo, quo uti opus est, ubicumque tandem fuerit, us quæ jam adsunt adjungenti convenientia, ut si impudens sit et sordidus, et fur utique erit et illiberalis; et furacitas quidem consequentia erit impudentiæ, parsimoniæ vero illiberalitas. In talibus igitur quibusque oportet hoc modo adaptantem agendi rationem instituere.

CAP. V.

Νυνὶ δὲ πρῶτον πειράσομαι τῶν ζῴων διελέσθαι, ὁποῖα αὐτῶν προσήκει διαλλάττειν πρὸς τὸ εἶναι ἀνδρεῖα καὶ δειλὰ καὶ δίκαια καὶ ἄδικα. Διαιρετέον δὲ τὸ τῶν ζῴων γένος εἰς δύο μορφάς, εἰς ἄρσεν καὶ θῆλυ, προσάπτοντα τὸ πρέπον ἑκατέρᾳ μορφῇ, ἔστι δ' ὅμοια. Ἐπιχειροῦμεν οὖν τρέφειν τῶν θηρίων προσηνέστερα καὶ μαλακώτερα τὰς ψυχὰς τὰ θήλεα τῶν ἀρρένων, ἧττόν τε ῥωμαλεούμενα, τάς τε τροφὰς καὶ τὰς χειροηθείας μᾶλλον προσδεχόμενα· ὥστε τοιαῦτα ὄντα εἴη που ἂν ἀθυμότερα τῶν ἀρρένων. Καταφανὲς δὲ τοῦτο ἐξ ἡμῶν πού ἐστιν, ὅτι ἐπὰν ὑπὸ θυμοῦ κρατηθῶμεν, δυσπαραπειστότεροί τε, καὶ μάλιστα ἐρρώμεθα πρὸς τὸ μηδαμῇ μηδὲν εἶξαι, ἐπὶ τὸ βιάζεσθαι δὲ καὶ πρᾶξαι φερόμεθα, πρὸς ὃ ἂν ὁ θυμὸς ὁρμήσῃ. Δοκεῖ δέ μοι καὶ κακουργότερα γίνεσθαι τὰ θήλεα τῶν ἀρρένων καὶ προπετέστερά τε καὶ ἀναλκέστερα. Αἱ μὲν

Nunc autem primum tentabo inter animalia distinguere, quænam apud ipsa immutari debeant, ut sint fortia et ignava, justa et injusta. Distinguendum autem animalium genus in duas formas, in marem et feminam, adjungentem quod convenit unicuique formæ; sunt autem similia. Conamur itaque potius nutrire feras feminas quam mares, quippe quum animis mitiores et molliores sunt maribus, minusque robustæ sunt educationemque ac cicurationem facilius admittunt: quare tales quum sint, erunt aliquatenus minus iracundæ maribus. Manifestum autem id ex nobis quodammodo est, quoniam quum ira vincimur, difficilius nobis persuaderi sinimus, et maxime eo insistimus ut nequaquam ulla in re cedamus; ferimur autem ad violentiam inferendam, et patrandum ad quodcumque ira impulerit. Videntur autem mihi magis improbæ nasci feminæ maribus, et proterviores, et im-

οὖν γυναῖκες καὶ τὰ περὶ ἡμᾶς τρεφόμενα καὶ πάνυ που φανερὰ ὄντα· τὰ δὲ περὶ τὴν ὕλην πάντες ὁμολογοῦσιν οἱ νομεῖς τε καὶ θηρευταὶ ὅτι τοιαῦτά ἐστιν οἷα προείρηται. Ἀλλὰ μὴν καὶ τόδε δῆλον, ὅτι ἕκαστον ἐν ἑκάστῳ γένει θῆλυ ἄρρενος μικροκεφαλώτερόν ἐστι καὶ στενοπροσωπότερον καὶ λεπτοτραχηλότερον, καὶ τὰ στήθη ἀσθενέστερα ἔχει, καὶ ἀπλευρότερά ἐστι, τά τε ἰσχία καὶ τοὺς μηροὺς περισαρκότερα τῶν ἀρρένων, γονύκροτα δὲ καὶ τὰς κνήμας λεπτὰς ἔχοντα, τούς τε πόδας κομψοτέρους, τήν τε τοῦ σώματος ὅλην μορφὴν ἡδίω μάλιστ' ἂν ἢ γενναιοτέραν, ἀνευρότερα δὲ καὶ μαλακώτερα, ὑγροτέραις σαρξὶ κεχρημένα· τὰ δ' ἄρρενα τούτοις ἅπασιν ἐναντία τὴν φύσιν ἀνδρειοτέραν καὶ δικαιοτέραν εἶναι γένει, τὴν δὲ τοῦ θήλεος δειλοτέραν καὶ ἀδικωτέραν. Τούτων οὕτως ἐχόντων, φαίνεται τῶν ζῴων ἁπάντων λέων τελεώτατα μετειληφέναι τῆς τοῦ ἄρρενος ἰδέας· ἔστι γὰρ ἔχων στόμα εὐμέγεθες, τὸ δὲ πρόσωπον τετραγωνότερον, οὐκ ἄγαν ὀστῶδες, τὴν ἄνω τε γένυν οὐ προεξεστηκυῖαν, ἀλλὰ ἰσορροποῦσαν τῇ κάτω, ῥῖνα δὲ παχυτέραν ἢ λεπτοτέραν, χαροποὺς ὀφθαλμούς, ἐγκοίλους, οὐ σφόδρα περιφερεῖς, οὔτ' ἄγαν προμήκεις, μέγεθος δὲ μέτριον, ὀφρὺν εὐμεγέθη, μέτωπον τετράγωνον, ἐκ μέσου ὑποκοιλότερον, πρὸς δὲ τὰς ὀφρῦς καὶ τὴν ῥῖνα ὑπὸ τοῦ μετώπου οἷον νέφος ἐπανεστηκός. Ἄνωθεν δὲ τοῦ μετώπου κατὰ τὴν ῥῖνα ἔχει τρίχας ἐκκλινεῖς οἷον ἀνάσιλον, κεφαλὴν μετρίαν, τράχηλον εὐμήκη, πάχει σύμμετρον, θριξὶ ξανθαῖς κεχρημένον, οὐ φριξαῖς, οὔτ' ἄγαν ἀπεστραμμέναις, τὰ περὶ τὰς κλεῖδας εὐλυτώτερα μᾶλλον ἢ συμπεφραγμένα, ὤμους ῥωμαλέους, καὶ στῆθος νεανικόν, καὶ τὸ μετάφρενον πλατὺ καὶ εὔπλευρον καὶ εὔνωτον ἐπιεικῶς· ζῷον ἀσαρκότερον τὰ ἰσχία καὶ τοὺς μηρούς· σκέλη ἐρρωμένα καὶ νευρώδη, βάσιν τε νεανικήν, καὶ ὅλον τὸ σῶμα ἀρθρῶδες καὶ νευρῶδες, οὔτε λίαν σκληρόν, οὔτε λίαν ὑγρόν· βαδίζον δὲ βραδέως, καὶ μεγάλα διαβαῖνον, καὶ διασαλεῦον ἐν τοῖς ὤμοις, ὅταν πορεύηται. Τὰ μὲν οὖν περὶ τὸ σῶμα τοιοῦτον· τὰ δὲ περὶ τὴν ψυχὴν δοτικὸν καὶ ἐλεύθερον, μεγαλόψυχον καὶ φιλόνικον, καὶ πρᾶυ καὶ δίκαιον καὶ φιλόστοργον πρὸς ἃ ἂν ὁμιλήσῃ. Ἡ δὲ πάρδαλις τῶν ἀνδρείων εἶναι δοκούντων θηλυμορφότερόν ἐστιν, ὅτι μὴ κατὰ τὰ σκέλη· τούτοις δὲ συνεργεῖ καί τι ἔργον ῥώμης ἀπεργάζεται· ἔστι γὰρ ἔχον πρόσωπον μικρόν, στόμα μέγα, ὀφθαλμοὺς μικρούς, ἐκλεύκους, ἐγκοίλους, αὐτοὺς δὲ περιπολαιοτέρους· μέτωπον προμηκέστερον, πρὸς τὰ ὦτα περιφερέστερον ἢ ἐπιπεδώτερον· τράχηλον μακρὸν ἄγαν καὶ λεπτόν, στῆθος ἄπλευρον, καὶ μακρὸν νῶτον, ἰσχία σαρκώδη καὶ μηρούς, τὰ δὲ περὶ τὰς λαγόνας καὶ γαστέρα ὁμαλὰ μᾶλλον· τὸ δὲ χρῶμα ποικίλον, καὶ ὅλον ἄναρθρόν τε καὶ ἀσύμμετρον. Ἡ μὲν οὖν τοῦ σώματος ἰδέα τοιαύτη· τὰ δὲ περὶ τὴν ψυχὴν μικρὸν καὶ ἐπίκλοπον καί, ὅλως εἰπεῖν, δολερόν. Τὰ μὲν οὖν ἐκπρεπέστερα μετειληφότα ζῷα τῶν δοκούντων ἀνδρείων εἶναι τῆς τε τοῦ ἄρρενος ἰδέας καὶ

becilliores. Mulieres igitur, et quæ apud nos nutriuntur, vel omnino manifesta sunt quodammodo; quæ vero sunt circa silvam, omnes confitentur pastores et venatores talia esse qualia ante sunt dicta. At vero et hoc manifestum est, quod in unoquoque genere singulæ feminæ maribus minoris capitis et angustioris faciei et subtilioris colli sunt, et pectora imbecilliora habent et costas praviores, coxasque et femora magis carnosa habent maribus; genua vero complodunt, et crura tenuia habent, pedesque elegantiores et formam totius corporis jucundam magis quam generosam, enervesque sunt potius et molliores, quippe præditæ humidioribus carnibus; mares autem horum omnium e contrario natura sunt fortiores et justiores genere: feminæ autem ignavior est et injustior natura. His ita se habentibus, videtur leo omnium animalium perfectissime maris formam participare: leo enim habet os vastum, faciem autem quadratam potius, non valde osseam, superiorem mandibulam non prominentem, sed æquilibrem inferiori, nasum autem magis crassum quam tenuem, oculos fulvos, concavos, non valde rotundos, neque valde oblongos, magnitudinem vero moderatam, supercilium vastum, frontem quadratam, ex medio potius subcavam; ad supercilia autem et nasum sub fronte velut nubes superstat. Supra frontem juxta nasum habet pilos inclinatos quasi retro ad verticem flexos, caput moderatum, collum bonæ longitudinis, mediocri crassitudine, crinibus flavis vestitum, neque horridis, neque valde aversis, quæ sunt circa claviculas, soluta magis quam constricta, scapulas validas, et pectus juvenile, interscapilium latum, bene costatum dorsoque sat valido fultum; femora non carnosa, nec coxas, habet animal, crura robusta et nervosa, gressum juvenilem, et totum corpus articulatum et nervosum, neque valde durum, neque admodum humidum; ambulat autem tarde magnisque passibus incedit, et spatulas conquassat ambulans. Talis itaque est secundum ea quæ sunt circa corpus; iis vero quæ animam spectant, ad donandum promptus est et liberalis, magnanimus et amans victoriæ, et mansuetus, et justus, et in amorem proclivis eorum quibuscum versatur. Pardus autem inter animalia quæ fortia esse videntur, feminææ formæ magis est, nisi secundum crura: his autem sibi opitulatur et aliquod vigoris opus peragit: habet enim faciem parvam, os magnum, oculos parvos, albidissimos, concavos, ipsosque potius circumvagantes, frontem oblongiorem, versus aures rotundam magis quam planam, collum longum valde et tenue, pectus pravis costis instructum, et longum dorsum, femora carnosa et coxas, quæ vero sunt circa ilia et ventrem, glabra magis, colorem autem varium, et totum corpus non articulatum et absque mensura est. Forma itaque corporis talis est; in his autem quæ secundum animam, pusillus est et furax, et, ut uno verbo dicam, dolosus. Animalium igitur quæ videntur fortia, ea quæ eximie propriam maris atque feminæ

τῆς τοῦ θήλεος εἴρηται· τὰ δ' ἄλλα οἷα τυγχάνει, ῥᾴδιον ἤδη μετιέναι· ὅσα δὲ πρὸς τὸ φυσιογνωμονῆσαι συνιδεῖν ἁρμόττει ἀπὸ τῶν ζῴων, ἐν τῇ τῶν σημείων ἐκλογῇ ῥηθήσεται.

formam referunt, dicta sunt; reliqua autem qualia sint, facile jam adsequi licet; quæcumque autem ad indolem dignoscendam perspicere conveniat ab animalibus petita, in delectu signorum dicentur.

CAP. VI.

Ἡ δ' ἐκλογὴ τῶν σημείων ἡ κατὰ τοὺς ἀνθρώπους ὧδε λαμβάνεται. Ὅσοις οἱ *πόδες* εὐφυεῖς τε καὶ μεγάλοι, διηρθρωμένοι τε καὶ νευρώδεις, ἐρρωμένοι τὰ περὶ τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν γένος. Ὅσοι δὲ τοὺς πόδας μικροὺς, στενοὺς, ἀνάρθρους ἔχουσιν, ἡδίους τε ἰδεῖν ἢ ῥωμαλεωτέρους, μαλακοὶ τὰ περὶ τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ θῆλυ γένος. Οἷς τῶν ποδῶν οἱ δάκτυλοι καμπύλοι, ἀναιδεῖς, καὶ ὅσοις ὄνυχες καμπύλαι· ἀναφέρεται ἐπὶ τοὺς ὄρνεις τοὺς γαμψώνυχας. Οἷς τῶν ποδῶν τὰ δάκτυλα συμπεφραγμένα ἐστί, δειμαλέοι· ἀναφέρεται ἐπὶ τοὺς ὄρτυγας τοὺς στενόποδας τῶν λιμναίων. Ὅσοις τὰ περὶ τὰ *σφυρὰ* νευρώδη τε καὶ διηρθρωμένα ἐστίν, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν γένος. Ὅσοι τὰ σφυρὰ σαρκώδεις καὶ ἄναρθροι, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ γένος. Ὅσοι τὰς *κνήμας* ἔχουσιν ἠρθρωμένας τε καὶ νευρώδεις καὶ ἐρρωμένας, εὔρωστοι τὴν ψυχήν· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δὲ τὰς κνήμας λεπτὰς, νευρώδεις ἔχουσι, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας. Ὅσοι τὰς κνήμας περιπλέους σφόδρα ἔχουσιν, οἷον ὀλίγου διαρρηγνυμένας, βδελυροὶ καὶ ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἱ *γονύκροτοι* κίναιδοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. * Οἱ τοὺς *μηροὺς* ὀστώδεις καὶ νευρώδεις ἔχοντες εὔρωστοι· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Οἱ δὲ τοὺς μηροὺς ὀστώδεις καὶ περιπλέους ἔχοντες μαλακοί· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Ὅσοι δὲ *πυγὰ* ὀξεῖαν ὀστώδη ἔχουσιν, εὔρωστοι, ὅσοι δὲ σαρκώδη, πίονα ἔχουσι, μαλακοί· ὅσοι δ' ἔχουσιν ὀλίγην σάρκα, οἷον ἀπωμοργμένα, κακοήθεις· ἀναφέρεται ἐπὶ τοὺς πιθήκους. Οἱ *ζωνοὶ* φιλόθηροι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας καὶ τοὺς κύνας· ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς φιλοθηροτάτους ζωνοὺς ὄντας. Οἷς τὰ περὶ τὴν *κοιλίαν* λαπαρά, εὔρωστοι· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δὲ μὴ λαπαροί, μαλακοί· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Ὅσοις τὸ *νῶτον* εὐμέγεθές τε καὶ ἐρρωμένον, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δὲ τὸ νῶτον στενὸν καὶ ἀσθενὲς ἔχουσι, μαλακοί· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Οἱ *εὔπλευροι* εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Οἱ δ' ἄπλευροι μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Ὅσοι δ' ἐκ τῶν πλευρῶν περίογκοί εἰσιν, οἷον πεφυσημένοι, λάλοι καὶ μωρολόγοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς, ἢ ἐπὶ τοὺς βατράχους. Ὅσοι δὲ τὸ ἀπὸ τοῦ ὀμφαλοῦ πρὸς τὸ ἀκροστήθιον μεῖζον ἔχουσιν ἢ τὸ ἀπὸ τοῦ ἀκροστηθίου πρὸς τὸν τράχηλον, βοροὶ καὶ ἀναίσθητοι, βοροὶ μὲν ὅτι τὸ τεῦχος μέγα ἔχουσιν ᾧ

Delectus autem signorum apud homines sic capitur. Quibuscumque *pedes* commodi, magni, articulati et nervosi, validi sunt iis quæ animam spectant; referuntur ad masculinum genus. Quicumque autem pedes parvos, angustos, male articulatos habent, aspectu potius gratiosi quam robusti sunt, molles sunt iis quæ animam spectant; referuntur ad femininum genus. Quibus pedum digiti curvi, impudentes, et quibus ungues curvi; referuntur ad aves uncis unguibus instructas. Quibus pedum digiti constricti sunt, timidi; referuntur ad coturnices lacustres angustis pedibus præditas. Quibuscumque ea quæ circa *malleolos* sunt, nervosa sunt et articulata, validi secundum animum; referuntur ad masculinum genus. Quicumque autem sunt malleolis carnosi et male articulati, molles secundum animam; referuntur ad femininum genus. Quicumque *crura* habent articulata et nervosa et robusta, validi secundum animam; referuntur ad masculinum genus. Quicumque crura tenuia nervosaque habent, libidinosi; referuntur ad aves. Quicumque crura admodum plena habent et quasi parum dirupta, turpes sunt ac impudentes; referuntur ad formam præcellentissimam. Qui genua complodunt, cinædi; referuntur ad formam præcellentissimam. Qui habent femora ossea et nervosa, robusti sunt; referuntur ad masculinum genus. Qui vero habent femora ossea ac plena, molles sunt; referuntur ad femininum genus. Quicumque nates osseas acutasque habent, validi sunt; qui vero carnosas et pingues, molles; qui autem habent modica carne vestitas, quasi detersas, improbi sunt; referuntur ad simias. Quicumque autem bene *lumbosi* sunt, venatum amant; referuntur ad leones et canes; videbit utique aliquis et canes venationis amantissimos lumbosos esse. Quibus ea quæ sunt circa *ventrem*, mollia sunt, robusti sunt; referuntur ad masculinum genus; quicumque autem non molles bac parte, molles sunt; referuntur ad formam præcellentissimam. Quicumque dorsum vastum ac robustum habent, anima sunt validi; referuntur ad masculinum genus. Qui autem dorsum angustum et imbecille habent, molles; referuntur ad femininum genus. Quicumque autem bene costati, validi sunt secundum animam; referuntur ad masculinum genus. Qui autem non bene costati, molles sunt secundum animam; referuntur ad femininum genus. Quicumque ex lateribus circumquaque tumidi sunt, sicut inflati, loquaces et stultiloqui; referuntur ad boves, vel ranas. Quicumque autem majus habent quod ab *umbilico* est usque ad extremum pectoris, eo quod est ab extremitate pectoris usque ad collum, voraces et stolidi, voraces quidem, quoniam conceptaculum magnum habent, quo

δέχονται τὴν τροφήν, ἀναίσθητοι δ' ὅτι στενώτερον τὸν τόπον ἔχουσιν αἱ αἰσθήσεις, συνηγμένον τε τῷ τὴν τροφὴν δεχομένῳ, ὥστε τὰς αἰσθήσεις βεβαρύνθαι διὰ τὰς τῶν σιτίων πληρώσεις ἢ ἐνδείας. Ὅσοι δὲ τὰ *στηθία* ἔχουσι μεγάλα καὶ διηρθρωμένα, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δὲ τὸ *μετάφρενον* ἔχουσι μέγα καὶ εὔσαρκον καὶ ἀρθρώδες, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοι δ' ἀσθενὲς καὶ ἄσαρκον καὶ ἄναρθρον, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Ὅσοις δὲ τὸ μετάφρενον κυρτόν ἐστι σφόδρα οἵ τ' ὦμοι πρὸς τὸ στῆθος συνηγμένοι, κακοήθεις· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν, ὅτι ἀφανίζεται τὰ ἔμπροσθεν προσήκοντα φαίνεσθαι. Ὅσοι δὲ τὸ μετάφρενον ὕπτιον ἔχουσι, χαῦνοι καὶ ἀνόητοι· ἀναφέρεται ἐπὶ τοὺς ἵππους. Ἐπεὶ δ' οὔτε κυρτὸν σφόδρα δεῖ εἶναι, οὔτε κοῖλον, τὸ μέσον ζητητέον τοῦ εὖ πεφυκότος. Ὅσοις αἱ *ἐπωμίδες* ἐξηρθρωμέναι καὶ οἱ ὦμοι, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν. Ὅσοις δ' οἱ ὦμοι ἀσθενεῖς, ἄναρθροι, μαλακοὶ τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Ταὐτὰ λέγω ἅπερ περὶ ποδῶν καὶ μηρῶν. Ὅσοις ὦμοι εὔλυτοί εἰσιν, ἐλεύθεροι τὰς ψυχάς· ἀναφέρεται δ' ἀπὸ τοῦ φαινομένου, ὅτι πρέπει τῇ φαινομένῃ μορφῇ ἐλευθεριότης. Ὅσοις δ' οἱ ὦμοι δύσλυτοι, συνεσπασμένοι, ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἷς τὰ περὶ τὰς *κλεῖδας* εὔλυτα, αἰσθητικοί· εὐλύτων γὰρ ὄντων τῶν περὶ τὰς κλεῖδας, εὐκόλως τὴν κίνησιν τῶν αἰσθήσεων δέχονται. Οἷς δὲ τὰ περὶ τὰς κλεῖδας συμπεφραγμένα ἐστίν, ἀναίσθητοι· δυσλύτων γὰρ ὄντων τῶν περὶ τὰς κλεῖδας ἐξαδυνατοῦσι τὴν κίνησιν παραδέχεσθαι τῶν αἰσθήσεων. Ὅσοι τὸν *τράχηλον* παχὺν ἔχουσιν, εὔρωστοι τὰς ψυχάς· ἀναφέρεται ἐπὶ τὸ ἄρρεν· ὅσοι δὲ λεπτόν, ἀσθενεῖς· ἀναφέρεται ἐπὶ τὸ θῆλυ. Οἷς τράχηλος παχὺς καὶ πλέως, θυμοειδεῖς· ἀναφέρεται ἐπὶ τοὺς θυμοειδεῖς ταύρους. Οἷς δ' εὐμεγέθης μὴ ἄγαν παχύς, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἷς λεπτός, μακρός, δειλοί· ἀναφέρεται ἐπὶ τοὺς ἐλάφους. Οἷς δὲ βραχὺς ἄγαν, ἐπίβουλοι· ἀναφέρεται ἐπὶ τοὺς λύκους. Οἷς τὰ χείλη λεπτὰ καὶ ἐπ' ἄκραις ταῖς συγχειλίαις χαλαρά, ὡς ἐπὶ τοῦ ἄνω χείλους πρὸς τὸ κάτω ἐπιβεβλῆσθαι τὸ πρὸς τὰς συγχειλίας, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας· ἴδοι δ' ἄν τις τοῦτο καὶ ἐπὶ τῶν μεγάλων καὶ εὐρώστων κυνῶν. Οἷς τὰ χείλη λεπτά, σκληρά, κατὰ τοὺς κυνόδοντας τὸ ἐπανεστηκός, οἱ οὕτως ἔχοντες εὐγενεῖς· ἀναφέρεται ἐπὶ τοὺς ὗς. Οἱ δὲ τὰ χείλη ἔχοντες παχέα καὶ τὸ ἄνω τοῦ κάτω προκρεμώμενον, μωροί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους τε καὶ πιθήκους. Ὅσοι δὲ τὸ ἄνω χεῖλος καὶ τὰ οὖλα προεστηκότα ἔχουσι, φιλολοίδοροι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ τὴν ῥῖνα ἄκραν παχεῖαν ἔχοντες ῥᾴθυμοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ δὲ τὴν ῥῖνα ἀκρόθεν παχεῖαν ἔχοντες, ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὗς. Οἱ τὴν ῥῖνα ἄκραν ὀξεῖαν ἔχοντες, δυσόργητοι· ἀναφέρεται ἐπὶ

alimenta recipiant; insensibiles autem, quia angustiorem locum habent sensus, atque unitum ei qui recipit cibum, ita ut sensus graventur propter repletiones ciborum, aut indigentiam. Quicumque autem *pectus* magnum habent et articulatum, validi sunt secundum animam; referuntur ad masculinum genus. Quicumque autem interscapilium habent magnum et bene carnosum et articulatum, validi sunt secundum animam; referuntur ad masculinum genus. Quicumque autem imbecille et non carnosum et male articulatum, molles sunt secundum animam; referuntur ad femininum genus. Quibuscumque autem interscapilium curvum est valde humerique ad pectus adducti, mali moris sunt; referuntur ad formam præcellentissimam, quia pereunt quæ ab anteriori parte in conspectum venire debebant. Quicumque autem interscapilium resupinatum habent, gloriosi et insipientes; referuntur ad equos. Quoniam autem neque convexum vehementer oportet esse, neque concavum interscapilium, medium quærendum bene nato. Quibuscumque summæ scapulæ humerique bene ex articulis prodeunt, validi sunt secundum animam; referuntur ad masculinum genus. Quibuscumque vero humeri imbecilles et male articulati, molles sunt secundum animam; referuntur ad femininum genus. Eadem dico quæ de pedibus et femoribus. Quibuscumque humeri bene soluti sunt, liberales sunt secundum animam; referuntur ad habitum apparentem, quia convenit apparenti formæ liberalitas. Quibuscumque vero difficulter solubiles sunt humeri ac contracti, illiberales; referuntur ad formam præcellentissimam. Quibuscumque autem ea quæ sunt circa *claviculam*, bene solubilia sunt, sensibus præstant : nam quum bene solubilia sunt quæ sunt circa claviculam, facile motum sensuum recipiunt. Quibus vero quæ circa claviculas sunt, constricta sunt, stolidi sunt : difficulter enim quum solvuntur quæ circa claviculas sunt, recipere motum sensuum non valent. Qui *collum* crassum habent, validi sunt secundum animam; referuntur ad masculinum genus; qui autem tenue habent, imbecilles sunt; referuntur ad femininum genus. Quibuscumque collum crassum et plenum, iracundi; referuntur ad iracundos tauros. Quibuscumque autem est vastum, non valde crassum, magnanimi; referuntur ad leones. Quibus est tenue ac longum, ignavi sunt; referuntur ad cervos. Quibus autem breve valde, insidiatores; referuntur ad lupos. Quibus sunt labia tenuia et in extremis commissuris laxa, ita ut superiori labio, si cum inferiori conferatur, incumbant commissuræ labiorum, magnanimi sunt; referuntur ad leones; videbit utique aliquis hoc et in magnis et robustis canibus. Quibus labia tenuia, dura, ita ut dentibus caninis respondeat pars supereminens, qui ita habent, generosi (ignobiles *ant. vers.*); referuntur ad sues. Qui autem crassa labia habent et superius ante inferius propendens, fatui; referuntur ad asinos et simias. Quicumque autem superius labium et gingivas prominentes habent, obtrectatores sunt; referuntur ad canes. Quicumque autem nasum extremum crassum habent, segnes sunt; referuntur ad boves. Qui autem nasum ab apice crassum habent, stolidi sunt; referuntur ad sues. Qui nasum extremum acutum habent, difficili excandescere solent ira; referuntur ad canes.

τοὺς κύνας. Οἱ δὲ τὴν ῥῖνα περιφερῆ ἔχοντες ἄκραν, ἀμβλεῖαν δέ, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ τὴν ῥῖνα ἄκραν λεπτὴν ἔχοντες ὀρνιθώδεις. Οἱ ἐπίγρυπον ἀπὸ τοῦ μετώπου εὐθὺς ἀγομένην, ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς κόρακας. Οἱ δὲ γρυπὴν ἔχοντες καὶ τοῦ μετώπου διηρθρωμένην, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς ἀετούς. Οἱ δὲ τὴν ῥῖνα ἔγκοιλον ἔχοντες τὰ πρὸ τοῦ μετώπου περιφερῆ, τὴν δὲ περιφέρειαν ἄνω ἀνεστηκυῖαν, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἀλεκτρυόνας. Οἱ δὲ σιμὴν ἔχοντες λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἐλάφους. Οἷς δ' οἱ μυκτῆρες ἀναπεπταμένοι, θυμώδεις· ἀναφέρεται ἐπὶ τὸ πάθος τὸ ἐν τῷ θυμῷ γινόμενον. Οἱ τὸ πρόσωπον σαρκῶδες ἔχοντες ῥᾴθυμοι· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ τὰ πρόσωπα ἰσχνὰ ἔχοντες ἐπιμελεῖς, οἱ δὲ σαρκώδη δειλοί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους καὶ τὰς ἐλάφους. Οἱ μικρὰ τὰ πρόσωπα ἔχοντες μικρόψυχοι· ἀναφέρεται ἐπ' αἴλουρον καὶ πίθηκον. Οἷς τὰ πρόσωπα μεγάλα, νωθροί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους καὶ βόας. Ἐπεὶ δ' οὔτε μικρόν, οὔτε μέγα δεῖ εἶναι, ἡ μέση ἕξις εἴη ἂν τούτων ἐπιεικής. Οἷς δὲ τὸ πρόσωπον φαίνεται μικροπρεπές, ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἷς τὸ ἀπὸ τῶν ὀφθαλμῶν οἷον κύστιδες προκρέμανται, οἰνόφλυγες· ἀναφέρεται ἐπὶ τὸ πάθος· ἔστι γὰρ τοῖς σφόδρα ἐμπεπωκόσι τὰ πρὸ τῶν ὀφθαλμῶν οἷον κύστιδες· ἐφεστήκασι, φίλυπνοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ἐξ ὕπνου ἀνεστηκόσιν ἐπικρέμαται τὰ ἐπὶ τοῖς ὀφθαλμοῖς. Οἱ τοὺς ὀφθαλμοὺς μικροὺς ἔχοντες μικρόψυχοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν καὶ ἐπὶ πίθηκον. Οἱ δὲ μεγαλόφθαλμοι νωθροί· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Τὸν ἄρα εὖ φύντα δεῖ μήτε μικρούς, μήτε μεγάλους ἔχειν τοὺς ὀφθαλμούς. Οἱ δὲ κοίλους ἔχοντες κακοῦργοι· ἀναφέρεται ἐπὶ πίθηκον. Ὅσοι ἐξόφθαλμοι, ἀβέλτεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειάν τε καὶ τοὺς ὄνους. Ἐπεὶ δ' οὔτ' ἐξόφθαλμον, οὔτε κοιλόφθαλμον δεῖ εἶναι, ἡ μέση ἕξις ἂν κρατοίη. Ὅσοις ὀφθαλμοὶ μικρὸν ἐγκοιλότεροι, μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας· οἷς δ' ἐπὶ πλεῖον, πρᾳεῖς· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ τὸ μέτωπον μικρὸν ἔχοντες ἀμαθεῖς· ἀναφέρεται ἐπὶ τοὺς ὗς. Οἱ δὲ μέγα ἄγαν ἔχοντες νωθροί· ἀναφέρεται ἐπὶ τοὺς βοῦς. Οἱ δὲ περιφερὲς ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. Οἱ μακρότερον ἐπίπεδον ἔχοντες ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ τετράγωνον σύμμετρον τῷ μετώπῳ ἔχοντες μεγαλόψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ συννεφὲς ἔχοντες αὐθάδεις· ἀναφέρεται ἐπὶ ταῦρον καὶ λέοντα. Οἱ δ' ἀτενὲς ἔχοντες κόλακες· ἀναφέρεται ἐπὶ τὸ γινόμενον πάθος· ἴδοι δ' ἄν τις ἐπὶ τῶν κυνῶν, ὅτι οἱ κύνες ἐπειδὰν θωπεύωσι, γαληνὲς τὸ μέτωπον ἔχουσιν. Ἐπειδὴ οὖν ἥ τε συννεφὴς ἕξις αὐθάδειαν ἐμφαίνει ἥ τε γαληνὴ κολακείαν, ἡ μέση ἂν τούτων ἕξις εὐαρμόστως ἔχοι. Οἱ σκυθρωπὰ μέτωπα ἔχοντες δυσάνιοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ἀνιώμενοι σκυθρωποί εἰσιν. Οἱ

Qui nasum extremum habent rotundum, sed obtusum, magnanimi; referuntur ad leones. Qui vero nasum extremum tenuem habent, avibus similes sunt. Qui nasum habent, mox ubi a fronte abducitur, aduncum, impudentes sunt; referuntur ad corvos. Quicumque autem aduncum habent atque a fronte articulo disjunctam, magnanimi; referuntur ad aquilas. Quicumque nasum concavum habent, ante frontem rotundum et convexitatem sursum consurgentem, libidinosi; referuntur ad gallos gallinaceos. Qui vero simum habent, libidinosi sunt; referuntur ad cervos. Quibuscumque nares sunt apertæ, iracundi sunt; referuntur ad passionem quæ fit in ira. Quicumque faciem carnosam habent, segnes sunt; referuntur ad boves. Qui faciem macilentam habent, solliciti; qui autem carnosam, ignavi; referuntur ad asinos et cervos. Qui parvam habent faciem, pusillanimi; referuntur ad felem et ad simiam. Quibus facies magna, torpidi; referuntur ad asinos et boves. Quum vero neque parvam, neque magnam oportet esse, habitus utique horum medius erit conveniens. Quibus autem facies videtur vilis, illiberales sunt; referuntur ad formam præcellentissimam. Quibus autem partes oculis subjectæ tamquam vesiculæ dependent, vinolenti sunt; referuntur ad passionem : qui enim affatim potant, iis partes oculis antepositæ ut vesiculæ sunt; quibuscumque vero hæ partes prominent, somnolenti sunt; referuntur ad passionem, quoniam ex somno surgentibus imminent quæ oculis imposita sunt. Quicumque oculos parvos habent, pusillanimi; referuntur ad formam præcellentissimam et ad simiam. Quicumque vero habent oculos magnos, torpidi sunt; referuntur ad boves. Igitur bene natum oportet neque parvos, neque magnos habere oculos. Qui vero concavos habent, improbi; referuntur ad simiam. Quicumque habent oculos prominentes, stulti; referuntur ad formam præcellentissimam et ad asinos. Quoniam autem neque prominentes oculos, neque concavos oportet habere, medius utique habitus præstabit. Quibuscumque autem oculi sunt paulo concaviores, magnanimi; referuntur ad leones; quibus vero plus, mansueti; referuntur ad boves. Quicumque frontem parvam habent, indociles sunt; referuntur ad sues. Qui autem magnam valde habent, torpidi; referuntur ad boves. Qui rotundam habent, stolidi; referuntur ad asinos. Quicumque longiorem (in fronte) planitiem habent, stolidi (sagaces *ant. vers.*); referuntur ad canes. Quicumque quadratam habent fronti accommodatam, magnanimi; referuntur ad leones. Quicumque autem nubilam habent, adrogantes sunt; referuntur ad taurum et leonem. Quicumque autem intentam habent, adulatores; referuntur ad passionem quæ fit; id in canibus utique videbit quispiam, quippe quum canes, ubi blandiuntur, placidam habeant frontem. Quando itaque nebulosus habitus adrogantiam significat, tranquilla autem frons adulationem, medius habitus utique horum bene quadrabit. Quicumque torvam habent frontem, morosi; referuntur ad passionem, quoniam mœsti torvi sunt; qui autem demissam,

δὲ κατηφεῖς ὀδύρται· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὀδυρόμενοι κατηφεῖς. Οἱ τὴν κεφαλὴν μεγάλην ἔχοντες αἰσθητικοί· ἀναφέρεται ἐπὶ τοὺς κύνας· οἱ δὲ μικρὰν ἀναίσθητοι· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. Οἱ τὰς κεφαλὰς φοξοὶ ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς γαμψώνυχας. Οἱ τὰ ὦτα μικρὰ ἔχοντες πιθηκώδεις· οἱ δὲ μεγάλα ὀνώδεις· ἴδοι δ' ἄν τις καὶ τῶν κυνῶν τοὺς ἀρίστους μέτρια ἔχοντας ὦτα.

Οἱ ἄγαν μέλανες δειλοί· ἀναφέρεται ἐπὶ τοὺς Αἰγυπτίους, Αἰθίοπας. Οἱ δὲ λευκοὶ ἄγαν δειλοί· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. Τὸ δὲ πρὸς ἀνδρείαν συντελοῦν χρῶμα μέσον δεῖ τούτων εἶναι. Οἱ ξανθοὶ εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ πυρροὶ ἄγαν πανοῦργοι· ἀναφέρεται ἐπὶ τὰς ἀλώπεκας. Οἱ δ' ἔνωχροι καὶ τεταραγμένοι τὸ χρῶμα δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος τὸ ἐκ τοῦ φόβου γινόμενον. Οἱ δὲ μελίχλωροι ἀπεψυγμένοι εἰσίν· τὰ δὲ ψυχρὰ δυσκίνητα· δυσκινήτων δ' ὄντων τῶν κατὰ τὸ σῶμα εἶεν ἂν βραδεῖς. Οἷς τὸ χρῶμα ἐρυθρόν, ὀξεῖς, ὅτι πάντα τὰ κατὰ τὸ σῶμα ὑπὸ κινήσεως ἐκθερμαινόμενα ἐρυθραίνεται. Οἷς δὲ τὸ χρῶμα φλογοειδές, μανικοί, ὅτι τὰ κατὰ τὸ σῶμα σφόδρα ἐκθερμανθέντα φλογοειδῆ χροιὰν ἴσχει· οἱ δ' ἄκρως θερμανθέντες μανικοὶ ἂν εἴησαν. Οἷς δὲ περὶ τὰ στήθη ἐπιφλεγές ἐστι τὸ χρῶμα, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος· τοῖς γὰρ ὀργιζομένοις ἐπιφλέγεται τὰ περὶ τὰ στήθη. Οἷς τὰ περὶ τὸν τράχηλον καὶ τοὺς κροτάφους αἱ φλέβες κατατεταμέναι εἰσί, δυσόργητοι· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς ὀργιζομένοις ταῦτα συμβαίνει. Οἷς τὸ πρόσωπον ἐπιφοινίσσον ἐστίν, αἰσχυντηλοί εἰσιν· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς αἰσχυνομένοις ἐπιφοινίσσεται τὸ πρόσωπον. Οἷς αἱ γνάθοι ἐπιφοινίσσουσιν, οἰνόφλυγες· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι τοῖς μεθύουσιν ἐπιφοινίσσουσιν αἱ γνάθοι. Οἷς δ' οἱ ὀφθαλμοὶ ἐπιφοινίσσουσιν, ἐκστατικοὶ ὑπ' ὀργῆς· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ ὑπ' ὀργῆς ἐξεστηκότες ἐκφοινίσσονται τοὺς ὀφθαλμούς. Οἷς δ' οἱ ὀφθαλμοὶ ἄγαν μέλανες, δειλοί· ἡ γὰρ ἄγαν μελαίνη χρόα ἐφάνη δειλίαν σημαίνουσα. Οἱ δὲ μὴ ἄγαν μέλανες, ἀλλὰ κλίνοντες πρὸς τὸ ξανθὸν χρῶμα, εὔψυχοι. Οἷς δ' οἱ ὀφθαλμοὶ γλαυκοὶ ἢ λευκοί, δειλοί· ἐφάνη γὰρ τὸ λευκὸν χρῶμα δειλίαν σημαῖνον. Οἱ δὲ μὴ γλαυκοί, ἀλλὰ χαροποί, εὔψυχοι· ἀναφέρεται ἐπὶ λέοντα καὶ ἀετόν. Οἷς δ' οἰνωποί, μάργοι· ἀναφέρεται ἐπὶ τὰς αἶγας. Οἷς δὲ πυρώδεις, ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ ὠχρόμματοι ἐντεταραγμένους ἔχοντες τοὺς ὀφθαλμούς, δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι οἱ φοβηθέντες ἔνωχροι γίνονται χρώματι οὐχ ὁμαλῷ. Οἱ δὲ τοὺς ὀφθαλμοὺς στιλπνοὺς ἔχοντες, λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς ἀλεκτρυόνας καὶ κόρακας.

Οἱ δασείας ἔχοντες τὰς κνήμας λάγνοι· ἀναφέρεται ἐπὶ τοὺς τράγους. Οἱ δὲ περὶ τὰ στήθη καὶ τὴν κοιλίαν ἄγαν δασέως ἔχοντες οὐδέποτε πρὸς τοῖς αὐτοῖς διατελοῦσιν· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας, ὅτι ταῦτα

lamentabundi sunt; referuntur ad passionem, quia lamentantes demissi sunt. Quicumque autem habent magnum caput, sensibus præstant; referuntur ad canes; qui vero parvum, stolidi; referuntur ad asinos. Qui habent capita acuminata, impudentes; referuntur ad aves uncis unguibus præditas. Quicumque aures parvas habent, simiis similes sunt; quicumque autem magnas, asinis; videbit utique aliquis et canum optimos mediocres aures habere.

Qui valde nigri sunt, ignavi; referuntur ad Ægyptios et Æthiopes. Albi autem valde ignavi sunt; referuntur ad mulieres. Color autem qui confert ad fortitudinem, medium horum oportet esse. Flavi æquo animo sunt; referuntur ad leones. Rufi vero admodum improbi; referuntur ad vulpes. Pallidi, colore turbati, timidi sunt; referuntur ad passionem quæ fit ex timore. Qui autem sunt mellei coloris, sunt frigidi: frigida enim difficulter moventur; quum vero difficulter moventur quæ ad corpus pertinent, erunt utique tardi. Quibus color ruber est, acuti sunt, quoniam omnia quæ ad corpus pertinent, a motu calefacta rubescunt. Quibus color flammeus est, in furorem proni, quia ea quæ sunt in corpore, vehementer calefacta flammeum colorem habent; qui autem sunt summe calefacti, in furorem utique proclives erunt. Quibus autem est flammeus color circa pectus, difficili excandescunt ira; referuntur ad passionem: iratis namque superaccenduntur ea quæ sunt circa pectus. Quibus autem circa collum et tempora venæ distensæ sunt, difficili excandescunt ira; referuntur ad passionem, quia iratis hæc accidunt. Quibus facies erubescens est, verecundi sunt; referuntur ad passionem, quia pudibundis erubescit facies. Quibus genæ erubescunt, vinolenti sunt; referuntur ad passionem, quia ebriis erubescunt genæ. Quibus autem oculi erubescunt, extra se feruntur ob iram; referuntur ad passionem, quia qui ab ira efferuntur, erubescunt oculis. Quibus autem oculi valde nigri, ignavi sunt: nam admodum niger color ignaviam significare compertus est. Qui autem non sunt valde nigri, sed declinant ad flavum colorem, æquo animo sunt. Quibus autem oculi cæsii, aut albi, ignavi sunt: compertus enim est albus color ignaviam significare. Qui autem non sunt cæsii, sed fulvi, æquo animo sunt; referuntur ad leonem et aquilam. Quibus autem vinosi sunt, lascivi sunt; referuntur ad capras. Quibus ignei sunt oculi, impudentes; referuntur ad canes. Qui autem oculos pallidos habent et turbatos, ignavi; referuntur ad passionem, quia qui timent, pallidi fiunt colore non æquali. Quicumque oculos splendidos habent, libidinosi; referuntur ad gallos gallinaceos et corvos.

Qui tibias hirsutas habent, lascivi sunt; referuntur ad hircos. Qui autem ea quæ sunt circa pectus et ventrem, valde hirsuta habent, numquam in eisdem perseverant; referuntur ad aves, quia hæc pectus et ventrem

τὰ στήθη καὶ τὴν κοιλίαν δασυτάτην ἔχουσιν. Οἱ τὰ στήθη ψιλὰ ἄγαν ἔχοντες ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. Ἐπειδὴ οὖν οὔτ' ἄγαν δασέα δεῖ εἶναι, οὔτε ψιλά, ἡ μέση ἕξις κρατίστη. Οἱ τοὺς ὤμους δασεῖς ἔχοντες οὐδέποτε πρὸς τοῖς αὐτοῖς διατελοῦσιν· ἀναφέρεται ἐπὶ τοὺς ὄρνιθας. Οἱ τὸν νῶτον δασὺν ἔχοντες ἄγαν ἀναιδεῖς· ἀναφέρεται ἐπὶ τὰ θηρία. Οἱ δὲ τὸν αὐχένα ὄπισθεν δασὺν ἔχοντες ἐλευθέριοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δ' ἀκρογένειοι εὔψυχοι· ἀναφέρεται ἐπὶ τοὺς κύνας. Οἱ δὲ συνόφρυες δυσάνιοι· ἀναφέρεται ἐπὶ τὴν τοῦ πάθους ὁμοιότητα. Οἱ δὲ τὰς ὀφρῦς κατεσπασμένοι πρὸς τῆς ῥινός, ἀνεσπασμένοι δὲ πρὸς τὸν κρόταφον εὐήθεις· ἀναφέρεται ἐπὶ τοὺς σῦς. Οἱ φρίξας τὰς τρίχας ἔχοντες ἐπὶ τῆς κεφαλῆς δειλοί· ἀναφέρεται ἐπὶ τὸ πάθος, ὅτι καὶ οἱ ἔκφοβοι γινόμενοι φρίσσουσιν. Οἱ τὰς τρίχας σφόδρα οὔλας ἔχοντες, δειλοί· ἀναφέρεται ἐπὶ τοὺς Αἰθίοπας. Ἐπειδὴ οὖν αἵ τε φρίξαι καὶ αἱ σφόδρα οὖλαι δειλίαν ἀναφέρουσιν, αἱ ἄκρουλοι ἂν εἶεν πρὸς εὐψυχίαν ἄγουσαι· ἀναφέρεται δὲ καὶ ἐπὶ τὸν λέοντα. Οἱ τοῦ μετώπου τὸ πρὸς τῇ κεφαλῇ ἀνάσιλον ἔχοντες ἐλευθέριοι· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ ἐπὶ τῆς κεφαλῆς προσπεφυκυίας ἔχοντες τὰς τρίχας ἐπὶ τοῦ μετώπου κατὰ τὴν ῥῖνα ἀνελεύθεροι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν, ὅτι δουλοπρεπὲς τὸ φαινόμενον.

Μακροβάμων καὶ βραδυβάμων εἴη ἂν νωθρεπιθέτης, τελεστικός, ὅτι τὸ μακρὰ βαίνειν ἀνυστικόν, τὸ βραδέως δὲ μελλητικόν. Βραχυβάμων βραδυβάμων νωθρεπιθέτης, οὐ τελεστικός, ὅτι τὸ βραχέα βαίνειν καὶ βραδέως οὐκ ἀνυστικόν. Μακροβάμων ταχυβάμων οὐκ ἐπιθετικός, τελεστικός, ὅτι τὸ μὲν τάχος τελεστικόν, ἡ δὲ μακρότης οὐκ ἀνυστικόν. Βραχυβάμων ταχυβάμων ἐπιθετικός, οὐ τελεστικός. Περὶ δὲ χειρὸς καὶ πήχεος καὶ βραχίονος φορᾶς, αἱ αὐταὶ ἀναφέρονται. Οἱ δὲ τοῖς ὤμοις ἐπισαλεύοντες ὀρθοῖς ἐκτεταμένοις γαλεαγκῶνες· ἀναφέρεται ἐπὶ τοὺς ἵππους. Οἱ τοῖς ὤμοις ἐπενσαλεύοντες ἐγκεκυφότες μεγαλόφρονες· ἀναφέρεται ἐπὶ τοὺς λέοντας. Οἱ δὲ τοῖς ποσὶν ἐξεστραμμένοις πορευόμενοι καὶ ταῖς κνήμαις θηλείαις· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας. Οἱ δὲ τοῖς σώμασι περικλώμενοι καὶ ἐντριβόμενοι κόλακες· ἀναφέρεται ἐπὶ τὸ πάθος. Οἱ ἐγκλινόμενοι εἰς τὰ δεξιὰ ἐν τῷ πορεύεσθαι κίναιδοι· ἀναφέρεται ἐπὶ τὴν ἐπιπρέπειαν. Οἱ εὐκινήτους τοὺς ὀφθαλμοὺς ἔχοντες ὀξεῖς, ἁρπαστικοί· ἀναφέρεται ἐπὶ τοὺς ἱέρακας. Οἱ σκαρδαμύκται δειλοί, ὅτι ἐν τοῖς ὄμμασι πρῶτα τρέπονται. Οἱ κατιλλαντιωρίαν * τε, καὶ οἷς τὸ ἕτερον βλέφαρον ἐπιβέβηκε τοῖς ὀφθαλμοῖς, κατὰ μέσον τῆς ὄψεως ἑστηκυίας, καὶ οἱ ὑπὸ βλέφαρα τὰ ἄνω τὰς ὄψιας ἀνάγοντες, μαλακόν τε βλέποντες, καὶ οἱ τὰ βλέφαρα ἐπιβεβληκότες, ὅλως τε πάντες οἱ μαλακόν τε καὶ διακεχυμένον βλέποντες· ἀναφέρονται ἐπὶ τὴν ἐπιπρέπειαν καὶ τὰς γυναῖκας. Οἱ τοὺς ὀφθαλμοὺς διὰ συχνοῦ χρόνου κινοῦντες, ἔχοντές τε βάμμα λευκώματος ἐπὶ τῷ

valde hirsuta habent. Qui pectus habent valde nudum, impudentes sunt; referuntur ad mulieres. Quoniam igitur oportet nec valde hirsutum esse, neque valde nudum, medius habitus erit optimus. Quicumque humeros hirsutos habent, numquam in eisdem perseverant; referuntur ad aves. Qui dorsum habent hirsutum, valde impudentes sunt; referuntur ad feras. Quicumque autem collum retro hirsutum habent, liberales sunt; referuntur ad leones. Qui autem tenuem barbam habent, æquo animo sunt; referuntur ad canes. Quicumque habent supercilia conjuncta, morosi sunt; referuntur ad similitudinem passionis. Quorum supercilia a naso deorsum versus, ad tempora vero sursum trahuntur, fatui sunt; referuntur ad sues. Qui capillos horridos habent in capite, ignavi sunt; referuntur ad passionem, quia consternati etiam horrescunt. Qui capillos valde crispos habent, ignavi sunt; referuntur ad Æthiopas. Quoniam igitur et horridi et vehementer crispi ignaviam referunt, subcrispi ad animi præstantiam ducent; referuntur autem et ad leonem. Quibus id frontis quod est versus caput, capillis retro flexis instructum est, liberales sunt; referuntur ad leones. Qui in capite adnatos habent capillos ad frontem juxta nasum, sunt illiberales; referuntur ad formam præcellentissimam, quia servis congruit hicce habitus.

Qui longis et tardis passibus incedit, lente res adgredietur, sed activus erit, quia incessus qui magnis fit passibus, activum designat; qui vero tardis, cunctatorem. Qui parvis ac tardis passibus incedit, lente res aggreditur, neque activus est, quia incessus qui parvis ac tardis fit passibus, activitatem non indicat. Qui magnis ac celeribus passibus incedit, adgrediendo promptus non est, sed activus, quia celeritas activitatem denuntiat, magnitudo vero passuum perfectorem non indicat. Qui parvis ac celeribus passibus incedit, adgrediendo promptus est, sed non activus. De manus et brachii et lacerti motu eadem referuntur. Qui humeros conquassant rectos atque tensos, curtis sunt brachiis; referuntur ad equos. Qui humeros conquassant inclinati, magnanimi sunt; referuntur ad leones. Qui pedibus extro versis ambulant, et cruribus sunt femininis; referuntur ad mulieres. Qui vero corporibus confracti et attriti, adulatores sunt; referuntur ad passionem. Inclinati autem ad dextram in ambulando cinædi sunt; referuntur ad formam præcellentissimam. Quicumque oculos habent mobiles, acuti, rapaces sunt; referuntur ad accipitres. Qui nictantur, ignavi sunt, quia oculis primum in fugam vertuntur. Qui oculos contortos habent, delicatuli sunt; item quibus altera palpebra oculis incumbit, ipso oculo in medio stante, quique oculos sub palpebras superiores retrahunt molliterque spectant, quique palpebras oculis injectas habent, atque in universum omnes qui molliter dissoluteque spectant; referuntur ad formam præcellentissimam et ad mulieres. Qui oculos magnis intervallis moventes tincturam albuginis in oculo habent, ita ut offendere videan-

ὀφθαλμῷ, ὡς προσεστηκότας, ἐννοητικοί· ἂν γὰρ πρός τινι ἐννοίᾳ σφόδρα γένηται ἡ ψυχή, ἵσταται καὶ ἡ ὄψις.

Οἱ μέγα φωνοῦντες βαρύτονον ὑβρισταί· ἀναφέρεται ἐπὶ τοὺς ὄνους. Ὅσοι δὲ φωνοῦσιν ἀπὸ βαρέος ἀρξάμενοι, τελευτῶσι δ' εἰς ὀξύ, δυσθυμικοί, ὀδύρται· ἀναφέρεται ἐπὶ τοὺς βοῦς καὶ ἐπὶ τὸ πρέπον τῇ φωνῇ. Ὅσοι δὲ ταῖς φωναῖς ὀξείαις, μαλακαῖς, κεκλασμέναις διαλέγονται, κίναιδοι· ἀναφέρεται ἐπὶ τὰς γυναῖκας καὶ ἐπὶ τὴν ἐπιπρέπειαν. Ὅσοι βαρύτονον φωνοῦσι μέγα, μὴ πεπλεγμένον, ἀναφέρεται ἐπὶ τοὺς εὐρώστους κύνας καὶ ἐπὶ τὴν ἐπιπρέπειαν. Ὅσοι μαλακόν, ἄτονον φωνοῦσι, πρᾳεῖς· ἀναφέρεται ἐπὶ τὰς ὄϊς. Ὅσοι δὲ φωνοῦσιν ὀξὺ καὶ ἐγκεκραγός, μάργοι· ἀναφέρεται ἐπὶ τὰς αἶγας.

Οἱ μικροὶ ἄγαν ὀξεῖς· τῆς γὰρ τοῦ αἵματος φορᾶς μικρὸν τόπον κατεχούσης καὶ αἱ κινήσεις ταχὺ ἄγαν ἀφικνοῦνται ἐπὶ τὸ φρονοῦν. Οἱ δ' ἄγαν μεγάλοι βραδεῖς· τῆς γὰρ τοῦ αἵματος φορᾶς μέγαν τόπον κατεχούσης αἱ κινήσεις βραδέως ἀφικνοῦνται ἐπὶ τὸ φρονοῦν. Ὅσοι τῶν μικρῶν ξηραῖς σαρξὶ κεχρημένοι εἰσίν, ἢ καὶ χρώμασιν ἃ διὰ θερμότητα τοῖς σώμασιν ἐπιγίνονται, οὐδὲν ἀποτελοῦσιν· οὔσης γὰρ τῆς φορᾶς ἐν μικρῷ καὶ ταχείας διὰ τὸ πυρῶδες, οὐδέποτε κατὰ ταὐτόν ἐστι τὸ φρονεῖν, ἀλλ' ἄλλοτ' ἐπ' ἄλλων, πρὶν τὸ ὑπερέχον περᾶναι. Ὅσοι δὲ τῶν μεγάλων ὑγραῖς σαρξὶ κεχρημένοι, ἢ καὶ χρώμασιν ἃ διὰ ψυχρότητα ἐγγίνονται, οὐδὲν ἐπιτελοῦσιν· οὔσης γὰρ τῆς φορᾶς ἐν μεγάλῳ τόπῳ καὶ βραδείας διὰ τὴν ψυχρότητα, οὐ συνανύει ἀφικνουμένη ἐπὶ τὸ φρονοῦν. Ὅσοι δὲ τῶν μικρῶν ὑγραῖς σαρξὶ κεχρημένοι εἰσὶ καὶ χρώμασι διὰ ψυχρότητα, γίνονται ἐπιτελεστικοί· οὔσης γὰρ τῆς κινήσεως ἐν μικρῷ, τὸ δυσκίνητον τῆς κράσεως συμμετρίαν παρέσχε τὸ πρῶτον ἐπιτελεῖν. Ὅσοι δὲ τῶν μεγάλων ξηραῖς σαρξὶ κεχρημένοι εἰσὶ καὶ χρώμασι διὰ θερμότητα, γίνονται ἐπιτελεστικοὶ καὶ αἰσθητικοί· τὴν γὰρ τοῦ μεγέθους ὑπερβολὴν σαρκῶν τε καὶ χρώματος ἡ θερμότης ἠκέσατο, ὥστε σύμμετρον εἶναι πρὸς τὸ ἐπιτελεῖν. Τὰ μὲν οὖν μεγέθεσιν ὑπερβάλλοντα τῶν σωμάτων, ἢ σμικρότησιν ἐλλείποντα, ὡς τυχόντα ἐπιτελεστικά ἐστι καὶ ὡς ἀτελῆ, εἴρηται· ἡ δὲ τούτων μέση φύσις πρὸς τὰς αἰσθήσεις κρατίστη καὶ τελεστικωτάτη, οἷς ἂν ἐπιθῆται· αἱ γὰρ κινήσεις οὐ διὰ πολλοῦ οὖσαι ῥᾳδίως ἀφικνοῦνται πρὸς τὸν νοῦν· οὖσαί τ' οὐ κατὰ μικρὸν ὑπερχωροῦσιν· ὥστε τὸν τελεώτατον πρὸς τὸ ἐπιτελεῖν θ' ἃ ἂν προθῆται καὶ αἰσθάνεσθαι μέλλοντα μέτριον δεῖ εἶναι τὸ μέγεθος. Οἱ ἀσύμμετροι πανοῦργοι· ἀναφέρεται ἐπὶ τὸ πάθος καὶ τὸ θῆλυ· εἰ γὰρ οἱ ἀσύμμετροι πανοῦργοι, οἱ σύμμετροι δίκαιοι ἂν εἴησαν καὶ ἀνδρεῖοι. Τὴν δὲ τῆς συμμετρίας ἀναφορὰν πρὸς τὴν τῶν σωμάτων εὐαγωγίαν καὶ εὐφυΐαν ἀνοιστέον, ἀλλ' οὐ πρὸς τὴν τοῦ ἄρρενος ἰδέαν, ὥσπερ ἐν ἀρχῇ διηρέθη. Καλῶς δ' ἔχοι καὶ πάντα τὰ σημεῖα, ὅσα προείρηται, ἀναφέρειν ἐπὶ τὴν ἐπιπρέπειαν καὶ

tur, intellectu præstant : si enim cuipiam rei intellectus vehementer incumbat, sistitur et oculus.

Qui voce magna vociferantur graviter, injuriosi sunt; referuntur ad asinos. Quicumque autem vociferantes a gravi voce incipiunt, sed in acutam desinunt, mœsti ac lamentatores sunt; referuntur ad boves et ad id quod voci convenit. Quicumque autem vocibus acutis, mollibus ac fractis colloquuntur, cinædi sunt; referuntur ad mulieres et ad formam præcellentissimam. Quicumque graviter vociferantur magna voce, non vero plexa, referuntur ad robustos canes et ad formam præcellentissimam. Quicumque molliter sine contentione vociferantur, mansueti sunt; referuntur ad oves. Quicumque vociferantur acute et clamose, lascivi sunt; referuntur ad capras.

Parvi valde acuti sunt : motu enim sanguinis parvum locum occupante, motiones quoque valde velociter deveniunt ad cogitationis sedem. Qui autem sunt valde magni, tardi : motu enim sanguinis magnum locum occupante, motus tarde accedunt ad cogitationis sedem. Quicumque autem parvorum siccis carnibus utuntur, aut et coloribus, qui per caliditatem corporibus superveniunt, nihil absolvunt : quum enim motus in parvo fiat loco et velox sit propter igneam qualitatem, numquam eodem loco manet cogitatio, sed modo hic, modo illic, priusquam quod maxime interest, perficiat. Quicumque magnorum humidis carnibus utentes, aut coloribus qui propter frigiditatem innascuntur, nihil præstant : quum enim motus in magno loco fiat, tardusque sit propter frigiditatem, una non conficit iter ad cogitationis sedem ducens. Quicumque autem parvorum humidis carnibus utuntur et coloribus a frigore pendentibus, strenui fiunt : quum enim motus in parvo fiat loco, difficultas movendi quam temperamento debent, moderationem præbere solet ad primum perficiendum. Quicumque magnorum siccis carnibus utuntur et coloribus a caliditate pendentibus, fiunt strenui et sensibus præstantes : nimiam enim magnitudinem compensat carnium et coloris caliditas, ita ut justam habeant proportionem ad agendum. Corpora igitur magnitudinibus modum excedentia, aut parvitudinibus deficientia quomodo se habere debeant, ut res vel ad finem perducant, vel imperfecte conficiant, dictum est; 'media' autem natura horum ad sensus præstantissima atque ad perficiendum aptissima quæcumque adgrediatur : motus enim quum non per magnum fiant spatium, facile ad mentem accedunt : quo ubi pervenerint, ne tantillum quidem supergrediuntur : quare perfectissimum ad perficiendum quæcunque sibi proposuerit, si simul sensurus sit, oportet modicam habere magnitudinem. Qui proportione carent, improbi sunt; referuntur ad passionem et ad femininum genus : si enim proportione carentes improbi sunt, commensurati utique erunt et justi et fortes. Relationem autem proportionis ad corporum bonam educationem et bonam naturam reducere oportet, sed non ad formam maris, sicut in principio dictum est. Bene se haberet quoque si omnia signa, quæcumque prædicta sunt, referremur

εἰς ἄρρεν καὶ θῆλυ· ταῦτα γὰρ τελεωτάτην διαίρεσιν διήρηται, καὶ ἐδείχθη ἄρρεν θήλεος δικαιότερον καὶ ἀνδρειότερον, καὶ ὅλως εἰπεῖν, ἄμεινον. Ἐν ἁπάσῃ δὲ τῇ τῶν σημείων ἐκλογῇ ἕτερα ἑτέρων σημεῖα μᾶλλον δηλοῦσιν ἐναργῶς τὸ ὑποκείμενον· ἐναργέστερα δὲ τὰ ἐν ἐπικαιροτάτοις τόποις ἐγγινόμενα· ἐπικαιρότατος δὲ τόπος ὁ περὶ τὰ ὄμματά τε καὶ τὸ μέτωπον καὶ κεφαλὴν καὶ πρόσωπον, δεύτερος δ' ὁ περὶ τὰ στήθη καὶ ὤμους, ἔπειτα περὶ τὰ σκέλη τε καὶ πόδας· τὰ δὲ περὶ τὴν κοιλίαν ἥκιστα. Ὅλως δ' εἰπεῖν, οὗτοι οἱ τόποι ἐναργέστατα σημεῖα παρέχονται, ἐφ' ὧν καὶ φρονήσεως πλείστης ἐπιπρέπεια γίνεται.

ad formam praecellentissimam et ad marem et feminam: hæc enim perfectissima divisione divisa sunt, et demonstratum est, marem femina esse justiorem et fortiorem et, ut uno verbo dicam, meliorem. In omni autem delectu signorum alia aliis signis magis declarant manifesto subjectum; manifestissima autem, quæ in principalibus locis fiunt; principalissimus autem locus est, qui est circa oculos et frontem et caput et faciem; secundus vero, qui est circa pectus et scapulas; deinde circa crura et pedes; quæ autem circa ventrem, minime. In universum autem ut dicam, ista loca manifestissima signa præbent, in quibus et cogitationis plurimæ decor apparet.

ΠΡΟΛΟΓΟΣ

ΤΟΥ ΕΡΜΗΝΕΩΣ ΕΙΣ ΤΟ ΠΕΡΙ ΦΥΤΩΝ

ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Τῷ τῆς Ἀριστοτελικῆς ἀειθαλεῖ φιλοσοφίας λειμῶνι πολλαὶ μὲν καὶ ἄλλαι δέλτοι κατὰ τὰ εὐγενῆ παραπεφύκασι τῶν φυτῶν, παμφόρους μὲν οἷς θεωροῦμεν, πολυχόας δὲ καὶ οἷς διαπραττόμεθα προϊέμεναι τοὺς καρπούς. Ἦν δὲ πρὸς ταῖς ἄλλαις καὶ ἡ περὶ φυτῶν ὅσα καὶ φυτὸν εὐφυὲς βραχὺ μέν, ἀλλὰ συχναῖς ταῖς χάρισι βρύον καὶ καλλίστοις ἐκφορίοις τοὺς τῶν λόγων ἐραστὰς δεξιούμενον, οὐ μόνον λέγω τοὺς ἡμετέρους, τοὺς πάνυ, τοὺς περιφανεῖς τὰ ἐς λόγους καὶ τὴν σοφίαν ἀπαραμίλλους καὶ τὴν σύνεσιν Αὔσονας, ἀλλὰ καὶ τοὺς ἐκ μοίρας Ἰταλικῆς, καὶ οὐ τούτους μόνον, ἀλλὰ καὶ ὅσους τοιούτους οἶδεν ἡ τῶν εὐδαιμόνων Ἀράβων τρέφειν καὶ τῶν Ἰνδῶν· συχνὸν γὰρ ἐνέβαλεν ἵμερον τῶν ἑαυτοῦ συγγραμμάτων τοῖς ὁπουδήποτε φιλοσόφοις ὁ ἐκ Σταγείρων ἄκρος φιλόσοφος. Ἀλλὰ τὸ τοιοῦτον φυτὸν οὐκ οἶδ' ὅπως οὐ μόνον αὔανσιν πέπονθε παρ' ἡμῖν, ἀλλοίωσίν τινα τάχα περὶ τὸ χεῖρον, οἷα φιλεῖ χρόνος ποιεῖν, ἀλλὰ καὶ προθέλυμνον ἐκκοπὴν καὶ εἰς τὸ μὴ ὂν ἀποστροφήν, ὡς οὐδ' ἄν ποτε φυτηκόμον εἶδεν, οὐδ' εἰ προῆλθεν εἰς φῶς. Ὑπέστη τὰ ἴσα καὶ Ἰταλὸς μακρὸν χρόνον σὺν ἡμῖν χηρεύων τοῦ χρήματος. Τοῖς Ἄραψιν ἐγνωρίζετο μόνοις, καὶ μόνοι τῶν τούτου καρπῶν ἀφθόνως ἀπέλαυον. Ἀλλά τις Κελτὸς μὲν τὸ γένος, ἐς τοσοῦτον δὲ τῆς τῶν Ἰταλῶν σοφίας ἐλάσας ὡς τῶν πρωτείων παραχωρεῖν μηδενί, εἶτα βραχὺ τοῦτο, καίπερ ὂν τοσοῦτον, καθ' ἑαυτὸν οἰηθείς, ἂν μὴ καὶ τὴν τῶν Ἀράβων μετὰ τῶν Λατίνων μεταλάβῃ γνῶσιν καὶ τὴν καλλίστην ἕξιν ἀσκήσειεν, ὅλος γίνεται τοῦ ἔργου, καὶ εἰς πέρας τὴν γνώμην ἀγαγεῖν θέλει καὶ τυχεῖν παντοίως τοῦ ἐφετοῦ. Στέλλεται λοιπὸν τὴν ἀλλοδαπήν, χρῆται τοῖς Ἄραψι παιδευταῖς, καὶ τῇ εὐφυΐᾳ συμμετρήσας σπουδὴν τοσοῦτον εὐμοιρῆσαι παιδείας φασὶν ὡς δύνασθαι καὶ τὰ τῶν Ἀράβων εἰς Ἰταλοὺς καὶ τὰ τῶν Ἰταλῶν μεταπορθμεύειν εἰς Ἄραβας. Οὗτος οὖν πρός τισιν ἄλλαις καὶ τὴν περὶ φυτῶν τήνδε βίβλον μεθερμηνεύει, κἀκ τῶν λογικῶν Ἀραβικῶν λειμώνων ὅσα καὶ φυτὸν εὐγενὲς εἰς τὰς Ἰταλικὰς μετακηπεύει φυταλιάς. Ἔχαιρε γοῦν Ἰταλὸς ἐπὶ τούτῳ, καὶ τὰ μεγάλα ἐκόμπαζεν· ταῖς Ἀριστοτελικαῖς γὰρ φιλοτιμεῖσθαι βίβλοις ὑπὲρ πάντας βρενθύεται· καὶ τοσοῦτον ἐνεκαυχᾶτο τῷ χρήματι, Ξέρξης οὐχ ἧττον ἐκεῖνος εἰς ἣν ὑπεσκιάσθη καὶ ἣν χρυσέαν ἔδειξε πλάτανον. Ἦλθον εἰς ἐπιθυμίαν (μακρὸς ἐξότου χρόνος) κἀγὼ τοῦ φυτοῦ· λόγοι γάρ μοι τῶν τοῦ κόσμου πάντων χρῆμα τὸ τιμιώτατον. Ἐπόθουν ἐμφορηθῆναι τῶν τούτου καρπῶν, τῶν νοημάτων εἰς ἕξιν ἐλθεῖν. Ἐψυχαγώγει μοι τὴν ἐπιθυμίαν ἐλπίς, καὶ τὴν ἐλπίδα πάλιν εὐχὴ διεδέχετο. Ἀλλὰ μέχρι πολλοῦ τὰ τῆς ἐπιθυμίας ἀτέλεστα, ἡ ἐλπὶς καὶ μόνον ἐλπίς· τὰ δὲ τῆς εὐχῆς ἐπετείνετο. Τί δ' ἡ τῶν ἀγαθῶν ἁπάντων παντελὴς αἰτία καὶ ὑπερτελὴς καὶ προτέλειος; ἠρεμίαν τῇ ἐπιθυμίᾳ χορηγεῖ, τῇ ἐλπίδι πέρας, καὶ τὰ τῆς αἰτήσεως τῇ εὐχῇ. Ἰταλὸς γάρ τις ἔκποθεν ἡμῖν αἰφνιδίως ἀναφανείς, ἱκανῶς ἔχων λογικῆς παιδείας καὶ γνώσεως, πρόσεισιν ὡς ἡμᾶς, ἀσπάζεται χαριέντως, τὰ φιλικὰ προσλαλεῖ, εἶτα τὴν ποθουμένην βίβλον ἡμῖν ἐγχειρίζεται. Ηὐφράνθην ἐγὼ ὡς ἐφ' ἑρμαίῳ τῷ χρήματι, ἐδεξάμην τὴν βίβλον ἐκθύμως, ὅλος αὐτῆς ἐγενόμην, τὸν ἐγκείμενον νοῦν ἀνελεξάμην ἐπιμελῶς, καὶ οἷον ὡς ἐν ἐσόπτρῳ τῇδε ἐκ πρώτης αὐτῆς βαλβῖδος τὸν Ἀριστοτέλην ἔγνων καὶ τοὺς Ἀριστελικοὺς κατὰ τῶν πάλαι φιλοσοφούντων ἀντιλογικοὺς ἐτασμούς. Ἀδικεῖν δ' ᾠήθην μὰ τοὺ-

PRÆFATIO

INTERPRETIS LIBRI DE PLANTIS

ARISTOTELIS.

(814.)

Ad semper florens philosophiæ Aristotelicæ pratum instar nobilium plantarum multi pullulant codices, omnimodos quidem proferentes fructus quibus spectemus, uberes vero et quibus nobis comparemus (hanc philosophiam). Erat præter reliquos et de plantis tractatus, ceu nobilis planta, parvus quidem, sed multis scatens leporibus pulcherrimisque proventibus sermonum amatores salutans, non loquor de nostratibus solum quippe illustrissimis, rebusque doctrinam spectantibus eminentibus, sapientia nemini æquiparandis et intellectu Ausonibus, verum et de regionis Italicæ incolis, nec de his solum, sed etiam de omnibus quotcumque ejusmodi viros nutrire novit felicum Arabum et Indorum regio : frequens enim librorum suorum desiderium cujuscumque regionis philosophis injecit summus Stagirita philosophus. Verum hæc planta nescio quomodo, apud nos non solum perpessa est tabem, ad pejus forsan quamdam mutationem, qualem efficere solet ætas, sed radicitus factam exstirpationem atque ad nihilum demigrationem, perinde ac si numquam novisset hortulanum, neque in lucem prodiisset. Eadem expertus est Italus, per longum temporis spatium nobiscum his opibus viduatus. Arabibus solis cognita erat solique affatim ejus fructibus perfruebantur. At vir quidam natione quidem Celta, sed ad tantum Italorum sapientiæ gradum pervectus, ut inter primates nemini cederet, deinde exiguum hoc, etiamsi tanta sit res, apud sese reputans, nisi Arabum quoque scientiæ una cum Latinis fieret particeps pulcherrimasque facultates excoleret, totus negotio incumbit, consiliumque ad finem usque persequi ac quovis modo voti compos fieri decernit. Peregre jam profectus est, Arabibus utitur præceptoribus ac studio ingenuam indolem æquiparans tantam doctrinam feliciter sibi comparasse dicitur ut cum Arabum scripta ad Italos, tum Italorum ad Arabes transvehere posset. Hic itaque præter quædam alia et hunc de plantis librum interpretatur atque e doctis Arabum pratis, utpote nobilem plantam, in Italicos transplantat hortos. Italus igitur de re gavisus est maximeque exsultabat : Aristotelicorum enim librorum æmulatione se omnes superare jactabat ac tantumdem de re gloriabatur, quantum Xerxes ille de platano qua obumbrabatur quamque auream esse ostendebat. Me quoque jamdiu abhinc plantæ incessit cupido; sermones enim omnium in mundo rerum apud me maximo habentur honore. Cupiebam fructibus ejus satiari sententiarumque in potestatem venire. Fovebat mihi cupidinem spes, atque spem rursus preces excipiebant. Verum diu cupido finem attingere nequivit atque spes tantummodo spes erat, precesque augebantur. Quid tandem omnium bonorum plenaria, modum excedens ac præcidanea fuit causa? quietem affert cupidini, spem voti compotem facit, precibus quæ expetebant, subministrat : Italus enim quidam undecumque nobis subito apparens, sufficienter rationali disciplina scientiaque instructus nos adit, comiter excipit, amice adloquitur, deinde librum concupitum nobis in manus tradit. Gavisus sum de re tamquam de lucro insperato librumque alacriter accepi, totus ei me tradidi, sententiam quam continebat, sedulo perlegi, et quasi in speculo hoc a primo inde limine Aristotelem cognovi Aristotelicasque adversus priscos philosophos controversiosas castigationes. Injuriam me intulisse, per libros, putassem cum ipsis libris,

λόγους, τοὺς λόγους αὐτοὺς καὶ τοὺς αὐτῶν ἐραστάς, καὶ γραφῆναι βασκάνου ψυχῆς ηὐλαβήθην, ἂν μὴ ταύτην ἱκανῶς ἔχων ὑπὸ τῆς ἄνωθεν χάριτος πρὸς τὴν Ἑλλάδα μεθερμηνεύσαιμι γλῶτταν καὶ ταῖς λοιπαῖς Ἀριστοτελικαῖς δέλτοις δείξαιμι συναρίθμιον. Τῷ τοι καὶ σὺν θεῷ τὸ ἔργον διήνυσα, καὶ εἰς κοινὴν προὐθέμην τὴν βίβλον τοῖς αἱρουμένοις ἀπόλαυσιν, πολλὴν εὑρὼν τὴν δυσχέρειαν καὶ τὴν τῶν ὀνομάτων σύγχυσιν διὰ τὰς συχνὰς τῶν μεθερμηνεύσεων μεταβολὰς ἐκ τῆς ἡμετέρας εἰς τὴν τῶν Ἰταλῶν, εἰς τοὺς Ἄραβας ἐκεῖθεν, καὶ πάλιν ἐξ Ἀράβων εἰς Ἰταλούς, καὶ εἰς ἡμᾶς ἐκ τούτων ἐπ' ἔσχατον· οὐ γὰρ διπρόσωπος, ὅσον ἐπὶ ταύτῃ τῇ βίβλῳ, ὁ Σταγειρίτης ὤφθη κατὰ τὸν θρυλλούμενον Ἰάνον ἐκεῖνον, ὃν καὶ εἰς χρόνον ἄγει λόγος ἰσχνός, ἀλλὰ πολύμορφος κατὰ τὸν Πρωτέα τὸν Φάριον. Ἐπεὶ δὲ πᾶσα δέλτος ἐκ μιᾶς πρὸς ἑτέραν μεταφερομένη διάλεκτον ἢ κατὰ λέξιν, ἢ κατ' ἔννοιαν προχωρεῖ, καὶ ἡ μὲν ὑστέρα τὸ σαφὲς ἔχουσα τοῦ ἀκριβοῦς ἀπολείπεται, ἡ δ' ἑτέρα καὶ προτέρα προσόντος τοῦ ἀκριβοῦς εἰς ἀσάφειαν καταστρέφεται, ἡμεῖς ὡς ἀσφαλεστέρῳ τούτῳ τῷ μέρει καὶ ἀδιαβλήτῳ στοιχοῦντες, καθὼς καὶ ἐν ἑτέραις πεποιήκαμεν δέλτοις, τῆς ἀκριβείας ἐχόμεθα. Ἵνα δὲ μὴ φαινοίμεθα καὶ χώραν τῇ ἀσαφείᾳ διδόντες, ἣν κακίαν παντελῆ τοῖς λόγοις ἐγνώκαμεν, ἐπανερμηνείαις τισὶ καὶ σχολικαῖς παρασημειώσεσιν, εἴ τι που ἐκ τῆς ἀσαφείας ἄχαρι καὶ ἀτερπές, ἐψυχαγωγήσαμεν, κἀκ τῆς σκληρᾶς καὶ τραχείας τοὺς λογικοὺς ὁδίτας εἰς τὴν λείαν τε καὶ πλατεῖαν ἐχειραγωγήσαμεν, καὶ τῷ ὑπὲρ ἡμᾶς τὴν εὐχαριστίαν καὶ τήν, ὡς εἰκός, ἀνθομολόγησιν ἀπενείμαμεν· τοῦτο γὰρ ἀφ' ἡμῶν ἀπαιτεῖ τῶν ὑπὸ χεῖρα ὁ μόνος σοφὸς καὶ δυνατὸς θεὸς κατὰ τὸν θεῖον ἀπόστολον· τίνος γὰρ ἄλλου δεῖται παρ' ἡμῶν, ὃς διά τινος τῶν προφητῶν περὶ ἑαυτοῦ λέγει « τὸν οὐρανὸν πληρῶ καὶ τὴν γῆν, » καὶ οὗ ἡ οἰκουμένη καὶ τὸ πλήρωμα αὐτῆς, κατὰ τὸν Δαβίδ, καὶ μεθ' οὗ πᾶς ἀγρὸς παντοίοις ὡραϊσμένος φυτοῖς;

tum eorum amatoribus, atque animi invidi accusari metuissem, nisi hunc librum, quo divinæ gratiæ beneficio ipse affatim fruerer, in Græcam linguam transtulissem atque ceteris codicibus Aristotelicis adnumerandum esse ostendissem. Idcirco igitur, nec non adjuvante deo, opus perfeci atque in publicum proposui librum omnibus eo perfrui cupientibus, multamque inveni difficultatem atque nominum confusionem propter frequentes translationum vices, e nostra lingua in Italicam, inde in Arabicam, ex Arabico rursus in Italam, ac postremo ex hac in nostram : neque enim duplicem tantummodo faciem, quantum ad hunc librum attinet, præ se ferre conspiciebatur Stagirita, Jani instar illius pervulgati, quem ad tempus quoque refert inepta traditio, sed multiformis esse ad modum Protei Pharii. Quum autem quivis codex, ubi ex una lingua ad alteram traducitur, vel ad verbum, vel ad sententiam procedit, atque hæc quidem ratio, etiamsi perspicuitate prædita accurationis respectu deficit, altera vero quam primam nominavi, quamvis accurationem habeat, ad obscuritatem deflectitur, nos ab hac parte tamquam tutiori ac criminis experta incedentes, quemadmodum et circa reliquos codices feceramus, accurationi studuimus. Ne autem locum dare videremur obscuritati, quam absolutum librorum esse vitium cognovimus, interpretationum quarumdam adnotationumque quales in scholis fieri solent, cumulo eam, si quid forsan ex obscuritate redundaret ingrati vel injucundi, demulsimus et manu doctos viatores ex aspera et salebrosa via in planam latamque traduximus, eique qui super nos est, grati animi documentum votique ratihabitionem, ut par est, retulimus : hoc enim a nobis ex iis quæ præsto sunt, petit solus sapiens ac potens deus secundum divinum apostolum : quo enim alio ei a nobis opus est, qui verbis prophetarum alicujus de se ipso dicit : cœlum impleo atque tellurem, atque ad quem pertinent orbis terrarum et quæ eum implent, secundum David, et quocum omnis ager cujusvis generis exornatur plantis.

ΠΕΡΙ ΦΥΤΩΝ

ΒΙΒΛΙΟΝ Α.

DE PLANTIS

LIBER I.

CAP. I.

Ἡ ζωὴ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς εὑρέθη, ἀλλ' ἐν μὲν τοῖς ζῴοις φανερὰ καὶ πρόδηλος, ἐν τοῖς φυτοῖς δὲ κεκρυμμένη καὶ οὐκ ἐμφανής. Εἰς τὴν ταύτης γοῦν βεβαίωσιν πολλὴν ἀνάγκη ἐστὶ ζήτησιν προηγήσασθαι· συνίσταται γάρ, πότερον ἔχουσιν, ἢ οὐχί, τὰ φυτὰ ψυχὴν καὶ δύναμιν ἐπιθυμίας, ὀδύνης τε καὶ ἡδονῆς καὶ διακρίσεως. Ἀναξαγόρας μὲν οὖν καὶ Ἐμπεδοκλῆς ἐπιθυμίᾳ ταῦτα κινεῖσθαι λέγουσιν, αἰσθάνεσθαί τε καὶ λυπεῖσθαι καὶ ἥδεσθαι διαβεβαιοῦνται· ὧν ὁ μὲν Ἀναξαγόρας καὶ ζῷα εἶναι καὶ ἥδεσθαι καὶ λυπεῖσθαι εἶπε, τῇ τ' ἀπορροῇ τῶν φύλλων καὶ τῇ αὐξήσει τοῦτο ἐκλαμβάνων, ὁ δ' Ἐμπεδοκλῆς γένος ἐν τούτοις κεκραμένον εἶναι ἐδόξασεν. Ὡσαύτως καὶ ὁ Πλάτων ἐπιθυμεῖν μόνον αὐτὰ διὰ τὴν σφοδρὰν τῆς θρεπτικῆς δυνάμεως ἀνάγκην ἔφησεν· ὃ ἐὰν συσταίη, ἥδεσθαι ὄντως αὐτὰ καὶ λυπεῖσθαι αἰσθάνεσθαί τε σύμφωνον ἔσται. Ἂν δὲ συσταίη τοῦτο, τῷ ἐπιθυμεῖν, εἰ καὶ ἀεὶ τῷ ὕπνῳ ἀνακτῶνται καὶ ἐγείρονται ταῖς ἐγρηγόρσεσι, σύμφωνον ἔσται· ὡσαύτως καὶ ἐὰν ζητήσωμεν, εἰ πνοὴν καὶ γένος ἐκ συγκράσεως ἔχουσιν, ἢ τὸ ἐναν-

Vita in animalibus et plantis inventa est, in animalibus manifesta apparens, in plantis vero occulta, non evidens : ad hujus enim assertionem multam necesse est inquisitionem præcedere : constaret enim, utrum habeant, nec ne, plantæ animam et virtutem desiderii dolorisque et delectationis discretivam. Anaxagoras autem et Abrucalis desiderio eas moveri dicunt, sentire quoque et tristari delectarique asserunt : quorum Anaxagoras animalia esse has, lætarique et tristari dixit, fluxum foliorum argumentum assumens; Abrucalis autem sexum in his permixtum opinatus est. Plato siquidem desiderare tantum eas propter vehementem nutrimenti necessitatem ait : quod si constet, gaudere quoque et tristari, sentireque eas, consequens erit. Id quoque constare desiderem, an somno reficiantur excitenturque vigiliis, spiritum quoque et sexuum permixtionem sexumque habeant, vel contra.

τίον, πολλὴν ἂν τὴν περὶ τούτου ἀμφιβολίαν καὶ μακρὰν ποιήσωμεν τὴν ζήτησιν. Τὸ δὲ τὰ τοιαῦτα παραλιμπάνειν καὶ μὴ εὐαναλώτοις περὶ τὰ καθ' ἕκαστον ἐρεύναις ἐνδιατρίβειν πρέπον ἐστίν. Τινὲς δ' ἔχειν ψυχὰς τὰ φυτὰ εἶπον, ὅτι γεννᾶσθαι, τρέφεσθαι καὶ αὐξάνεσθαι, νεάζειν καὶ χλοάζειν γήρᾳ τε διαλύεσθαι τεθεωρήκασιν, ἐπείπερ οὐδὲν ἄψυχον ταῦτα μετὰ τῶν φυτῶν ἔχει κοινά· διότι δ' ἔχουσι ταῦτα τὰ φυτά, καὶ τὸ ἐπιθυμίᾳ ὡσαύτως κατέχεσθαι ἐπίστευον.

Multa autem circa hæc ambiguitas longam facit inquisitionem. Hæc siquidem prætermittere, nec dispendiosis circa singula perscrutationibus immorari opportunum. Quidam autem habere animas has dixerunt, quia generari, nutriri, augeri, virescere juventute, senioque dissolvi conspexerunt, quum nullum inanimatum hæc cum plantis habeat communia. Quæ si habuerint plantæ, desiderio quoque affici credebant.

CAP. II.

Ἀλλὰ πρῶτον τοῖς φανεροῖς, εἶτα καὶ τοῖς κεκρυμμένοις ἀκολουθήσωμεν. Λέγομεν τοίνυν ὡς ἐὰν εἴ τι τρέφεται, ἤδη καὶ ἐπιθυμεῖ, καὶ ἡδύνεται μὲν τῷ κόρῳ, λυπεῖται δ' ὅτε πεινᾷ· καὶ οὐκ ἐμπίπτουσιν αὗται αἱ διαθέσεις εἰ μὴ μετὰ αἰσθήσεως. Τούτου ἄρα θαυμάσιος μέν, οὐ μὴν φαῦλος πλανᾶται σκοπός, ὃς καὶ τὰ φυτὰ αἰσθάνεσθαι καὶ ἐπιθυμεῖν ἐδόξασεν· ὁ δ' Ἀναξαγόρας καὶ ὁ Δημόκριτος καὶ ὁ Ἐμπεδοκλῆς καὶ νοῦν καὶ γνῶσιν εἶπον ἔχειν τὰ φυτά· ἡμεῖς δὲ τὰ τοιαῦτα ὡς φαῦλα ἀποτρεπόμενοι τῷ ὑγιεῖ ἐνστῶμεν λόγῳ. Λέγομεν οὖν ὅτι τὰ φυτὰ οὔτε ἐπιθυμίαν, οὔτ' αἴσθησιν ἔχουσιν· ἡ γὰρ ἐπιθυμία οὐκ ἔστιν εἰ μὴ ἐξ αἰσθήσεως, καὶ τὸ τοῦ ἡμετέρου δὲ θελήματος τέλος πρὸς τὴν αἴσθησιν ἀποστρέφεται. Οὐχ εὑρίσκομεν γοῦν ἐν τοῖς τοιούτοις αἴσθησιν, οὔτε μέλος αἰσθανόμενον, οὔθ' ὁμοιότητα αὐτοῦ, οὔτ' εἶδος διωρισμένον, οὔτε τι ἀκόλουθον τούτῳ, οὔτε τοπικὴν κίνησιν, οὔθ' ὁδὸν πρός τι αἰσθητόν, οὔτε σημεῖόν τι δι' οὗ ἂν κρίνωμεν ταῦτα αἴσθησιν ἔχειν, καθὼς σημεῖα δι' ὧν ἐπιστάμεθα ταῦτα καὶ τρέφεσθαι καὶ αὐξάνεσθαι εὑρίσκομεν. Οὐδὲ συνίσταται παρ' ἡμῶν τοῦτο εἰ μὴ διότι τὸ θρεπτικὸν καὶ αὐξητικὸν νοοῦμεν μέρη εἶναι τῆς ψυχῆς. Ὁπόταν γοῦν τὸ τοιοῦτον φυτὸν εὑρίσκωμεν, τί μέρος ψυχῆς τοιαύτης ἐν ἑαυτῷ ἔχον ἐξ ἀνάγκης νοοῦμεν καὶ ψυχὴν ἔχειν αὐτό· ὅτε δὲ στερεῖται αἰσθήσεως, τότε αἰσθητικὸν αὐτὸ μὴ εἶναι μὴ ἐγχωρεῖν οὐ δεῖ· ἡ γὰρ αἴσθησις αἰτία ἐστὶν ἐλλάμψεως ζωῆς, τὸ δὲ θρεπτικὸν αἰτία ἐστὶν αὐξήσεως πράγματός τινος ζῶντος.

Primo ergo manifesta, mox occulta prosequamur. Dico ergo: quicquid cibatur, desiderat et delectatur saturitate, tristaturque quum esurierit; et non accidunt hæ dispositiones nisi cum sensu. Hujus igitur mirabilis, non tamen fœda erat intentio, qui eas sentire et desiderare opinabatur. Anaxagoras autem et Democritus et Abrucalis illas intellectum intelligentiamque habere dicebant; nos vero, hæc ut fœda repudiantes, sano insistamus sermoni. Dico ergo, quod plantæ nec sensum habent, nec desiderium: desiderium enim non est nisi ex sensu, et nostræ voluntatis finis ad sensum convertitur. Nec invenimus in eis sensum, nec membrum sentiens, nec similitudinem ejus, nec formam terminatam, nec consecutionem rerum, nec motum, nec iter ad aliquid sensatum, nec signum aliquod, per quod judicemus illas sensum habere, sicut signa, per quæ scimus, eas nutriri et crescere. Nec constat hoc nobis, nisi quia nutrimentum et augmentum partes sunt animæ. Quumque plantam talem invenimus, aliquam partem animæ illi inesse necessario intelligimus sensu que careat; tunc sensatum esse, concedere non oportet, quia sensus est causa illustrationis vitæ, nutrimentum vero causa est augmenti rei vivæ.

CAP. III.

Αὗται δ' αἱ διαφοραὶ προβαίνουσιν ἐν τῷ τόπῳ τούτῳ, ὅτι δυσχερὲς ἐν ταὐτῷ μεταξὺ ζωῆς καὶ τῆς στερήσεως αὐτῆς μέσον τι καταλαβεῖν. Εἴποι δέ τις ἂν ὡς ἐπεὶ τὸ φυτὸν ζῶν ἐστιν, ἤδη τοῦτο καὶ ζῷον εἴποιμεν ἄν. Οὐδαμῶς· καὶ γὰρ δυσχερές ἐστι τὴν διοίκησιν τοῦ φυτοῦ ἀποδιδόναι τῇ διοικήσει τῆς ψυχῆς τοῦ ζῴου· τὸ γὰρ τὰ φυτὰ τοῦ ζῆν ἀποφάσκον οὕτως, τοῦτό ἐστιν ὅτι οὐκ αἰσθάνονται· καὶ γάρ εἰσι καί

Hæ autem diversitates proveniunt suo loco: difficile nimirum inter vitam et ejus privationem medium apprehendere. Dicet quoque aliquis, plantam, si sit vivens, esse animal: namque difficile est, vitæ plantarum regimen assignare præter regimen vitæ altricis. Qui autem plantas vivere negant, est, quod non sentiunt, quia sunt

τινα ζῷα γνώσεως ἐστερημένα. Ἐπεὶ δ' ἡ φύσις τὴν τοῦ ζῴου ζωὴν ἐν τῷ θανάτῳ φθείρουσα, πάλιν ἐν τῷ ἰδίῳ γένει ταύτην διὰ γενέσεως συντηρεῖ, πάντῃ ἀσύμφωνόν ἐστιν ἵνα μέσον ἐμψύχου τε καὶ ἀψύχου ἄλλο τι μέσον τιθῶμεν. Ἐπιστάμεθα δ' ὅτι καὶ τὰ κογχύλιά εἰσι ζῷα, γνώσεως ἐστερημένα, διότι εἰσὶ φυτὰ ἐν ταὐτῷ καὶ ζῷα. Μόνη ἄρα ἡ αἴσθησίς ἐστιν αἰτία δι' ἣν ταῦτα λέγονται ζῷα· τὰ γὰρ γένη διδόασι τοῖς οἰκείοις εἴδεσιν ὀνόματα καὶ ὁρισμούς, τά τ' εἴδη τοῖς οἰκείοις ἀτόμοις ὀνόματα. Δεῖ τε τὸ γένος ἐκ μιᾶς καὶ κοινῆς αἰτίας εἶναι ἐν τοῖς πολλοῖς, καὶ οὐκ ἐκ πολλῶν, ὁ λόγος δὲ τῆς αἰτίας, δι' ἣν βεβαιοῦται τὸ γένος, οὐ τῷ τυχόντι ἐστὶ γνώριμος. Πάλιν εἰσὶ ζῷα ἅπερ στεροῦνται γένους θήλεος, ἕτερα ἅπερ οὐ γεννῶσιν, ἕτερα ἅπερ κίνησιν οὐκ ἔχουσιν, καί εἰσιν ἄλλα διαφόρων χρωμάτων, καί εἰσί τινα ἃ ποιοῦσι τόκον ἑαυτοῖς ἀνόμοιον, εἰσί τ' ἄλλα ἃ αὐξάνουσιν ἐκ τῆς γῆς ἢ ἐκ δένδρων.

quædam animalia sapientia et intellectu carentia. Natura tamen, alimalis vitam in morte corrumpens, ipsam in genere suo per generationem conservat; estque inconveniens, ut inter animatum et inanimatum medium ponamus. Scimus autem, quod conchylia animalia sunt sapientia et intellectu carentia, suntque plantæ et animalia. Solus ergo sensus est causa, quare illa dicuntur animalia, quia genera dant suis speciebus nomina et definitiones, species vero suis individuis nomina. Debetque genus ex una causa esse in multis, et non ex multis; intentio autem causæ, per quam confirmatur genus, non cuilibet est pervia. Sunt autem animalia, quæ sexu carent femineo, et sunt quæ non generant, suntque quæ motum non habent, et sunt quædam diversorum colorum, et sunt quæ faciunt prolem sibi dissimilem, et sunt quæ ex terra vel arboribus crescunt.

CAP. IV.

Τίς οὖν ἐστιν ἡ ἀρχὴ ἡ ἐν τῇ ψυχῇ τοῦ ζῴου; τί ἄλλο εἰ μὴ τὸ εὐγενὲς ζῷον, ὃ τὸν οὐρανὸν περιοδεύει, τὸν ἥλιον, τὰ ἄστρα καὶ τοὺς πλάνητας, τὰ ἀπὸ τῆς ἐνειρμένης ἐξωτερικὰ ἀμφιβολίας, ἃ δὴ καὶ ἀπαθῆ εἰσιν; ἡ γὰρ αἴσθησις τῶν αἰσθανομένων πάθος. Ἰστέον δὲ καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ κίνησιν ἐξ ἑαυτῶν· τῇ γὰρ γῇ εἰσι πεπηγότα, ἡ δὲ γῆ ἀκίνητός ἐστιν. Συλλογισόμεθα τοίνυν πόθεν ἂν ταύτῃ ζωήν, ἵνα ποιήσωμεν καὶ αὐτὰ αἰσθητικά; οὐ γὰρ περιέχει ταῦτα ἓν πρᾶγμα κοινόν. Λέγομεν δ' ὅτι τῆς ζωῆς τῶν ζῴων κοινή ἐστιν αἰτία ἡ αἴσθησις, αὕτη δὲ ποιεῖ διάκρισιν μέσον ζωῆς καὶ θανάτου. Ὁ οὐρανὸς δ' ἐπεὶ ἔχει διοίκησιν εὐγενεστέραν καὶ ἀξιολογωτέραν τῆς ἡμετέρας διοικήσεως, ἀπεμακρύνθη τούτων. Δεῖ τοίνυν, ἵνα τὸ ζῷον τὸ τέλειον καὶ τὸ ἠλαττωμένον ἔχῃ τι κοινόν, καὶ τοῦτό ἐστιν ὁ σκοπὸς τῆς ζωῆς. Τῇ ταύτης γοῦν στερήσει δεῖ ἵνα πᾶς τις ἀποχωρῇ τῶν τοιούτων ὀνομάτων, ὅτι οὐκ ἔστι μέσον· ἡ δὲ ζωή ἐστι μέσον· τὸ γὰρ ἄψυχον οὐκ ἔχει ψυχήν, οὐδέ τι τῶν μερῶν αὐτῆς. Τὸ δὲ φυτὸν οὐκ ἔστιν ἐκ τῶν στερουμένων ψυχῆς, ὅτι ἐν αὐτῷ ἐστί τι μέρος ψυχῆς, ἀλλ' οὐκ ἔστι ζῷον, ὅτι οὐδ' αἴσθησις ἐν αὐτῷ· ἐξέρχεται δ' ἐκ ζωῆς εἰς μὴ ζωὴν κατὰ βραχύ, ὡς καὶ τὰ καθ' ἕκαστον. Δυνάμεθα δὲ καὶ ἄλλως λέγειν, ὅτι ἔστιν ἔμψυχον τὸ φυτόν, καὶ οὐ λέγομεν ὅτι ἄψυχον. Εἰ ἔχει δὲ ψυχήν, οὐ λέγομεν ὅτι καί τινα ἤδη ἔχει αἴσθησιν· πρᾶγμα γὰρ τὸ τρεφόμενον οὐκ ἔστιν ἄνευ ψυχῆς. Πᾶν δὲ ζῷον ἔχει ψυχήν· τὸ δὲ φυτόν ἐστιν ἀτελὲς πρᾶγμα. Πάλιν τὸ ζῷον ἔχει μέλη διωρισμένα, τὸ φυτὸν ἀδιόριστα, ἔχει δ' ὕλην οἰκείαν κινήσεως, ἣν ἔχει ἐν ἑαυτῷ. Πάλιν δυνάμεθα λέγειν τὰ φυτὰ ψυχὴν ἔχειν, ὅτι ψυχή ἐστιν ἡ ποιοῦσα ἐν αὐτοῖς γεννᾶσθαι τὰς κινήσεις, ἐπιθυμία δὲ καὶ κίνησις ἡ ἐν τόποις οὐκ ἔστιν εἰ μὴ μετὰ αἰσθή-

Quid ergo est principium vitæ animalis, quidve animal nobile, ut quod circuit cœlum, solem et stellas planetas, ab intricata extrahet ambiguitate? Impassibilia enim sunt, sensus vero sentientis passio. Non autem habet planta motum ex se: terræ enim affixa est; hæc autem immobilis. Unde ergo syllogizabimus, ei vitam ut faciamus, aliquid verisimile? Non enim continet illas res una communis. Dicimus ergo, quod vitæ animalis commune est sensus, quia sensus facit discretionem inter vitam et mortem; sed cœlum, quum habeat regimen nobilius et dignius nostro regimine, elongatum est ab his. Oportet autem, ut animal perfectum et diminutum habeant aliquid commune, et hoc est intentio vitæ et ejus privatio. Nec oportet, ut quisquam recedat ab his nominibus, quia non est medium inter animatum et inanimatum, nec inter vitam et ejus privationem; sed inter inanimatum et vitam est medium, quia inanimatum est quod non habet animam, nec aliquam partem ipsius. Sed planta non est de his quæ carent anima, quia in illa est aliqua pars animæ; et non est animal, quia in illa non est sensus; et exit de vita ad non vitam paulatim ut singula. Possumus etiam alio modo dicere, quod est animatum, et non dico tamen, quod sit inanimatum: si habuerit animam, et aliquem sensum, quia res quæ cibatur, non est sine anima. Et omne animal habet animam, sed planta est res imperfecta, et animal habet membra determinata, et planta indeterminata, et habet planta naturam propriam ex motu quem habet in se. Potestque dicere aliquis, quod habet animam, quia anima est quod facit motus nasci in locis et desideria, et motus in locis non erunt nisi cum sensu,

σεως. Πάλιν τὸ ἕλκειν τροφήν ἐστιν ἐξ ἀρχῆς φυσικῆς, καὶ τοῦτ' αὐτό ἐστι τὸ κοινὸν ζώου καὶ φυτοῦ· οὐκ ἔσται δὲ φροντὶς ἐπὶ τῇ ἑλκύσει τῆς τροφῆς αἰσθήσεως τὸ παράπαν, ὅτι πᾶν τὸ τρεφόμενον χρήζει ἐν τῇ οἰκείᾳ τροφῇ δύο ποιοτήτων τινῶν, θερμότητός φημι καὶ ψυχρότητος, καὶ διὰ τοῦτο δεῖται τροφῆς ὑγρᾶς ὁμοίως καὶ ξηρᾶς· ἡ δὲ θερμότης καὶ ἡ ψυχρότης εὑρίσκεται ἐν βρώμασι ξηροῖς καὶ ὑγροῖς· οὐδεμία δὲ τῶν τοιούτων φύσεων χωρίζεται τῆς συμμετόχου αὐτῆς· διὰ τοῦτο γὰρ καὶ πρώτως ἐγένετο ἡ τροφὴ τῷ τρέφοντι συνεχὴς ἕως καὶ εἰς αὐτὴν τὴν ὥραν τῆς φθορᾶς, καὶ ὀφείλουσι χρῆσθαι ταύτῃ τὸ ζῷον καὶ τὸ φυτὸν τοιαύτῃ ὁποῖόν ἐστιν ἑκάτερον αὐτῶν.

sed attrahere cibum erit ex principio naturali, et illud commune est animali et plantæ; et non erit cum attractione cibi sensus omnino, quia omne cibabile utitur in sua cibatione duabus rebus, scilicet calore et frigore. Et proprie eget animal cibo humido et cibo sicco, quia frigiditas inventa est in cibo sicco, quia nulla istarum duarum naturarum separatur a socio suo. Et ideo factus est cibus cibanti continuus usque ad horam corruptionis, et debent uti animal et planta tali, quale est illud.

CAP. V.

Διερευνήσωμεν οὖν καὶ τοῦτο, ὃ προηγήσατο ἐν τῷ ἡμετέρῳ λόγῳ, περὶ ἐπιθυμίας φυτοῦ καὶ κινήσεως αὐτοῦ καὶ ψυχῆς ἰδίας, καὶ εἴ τι ἀναλύεται ἀπ' αὐτοῦ τοῦ φυτοῦ, ὅσον εἰς πνοήν· Ἀναξαγόρας γὰρ εἶπε ταῦτα ἔχειν καὶ πνοήν. Καὶ πῶς, εἴπερ εὑρίσκομεν πολλὰ ζῷα μὴ ἔχοντα πνοήν; Καὶ πάλιν εὑρίσκομεν ἀκριβῶς ὅτι τὰ φυτὰ οὔθ' ὑπνώττουσιν, οὔτε γρηγοροῦσιν· τὸ γὰρ γρηγορεῖν οὐδέν ἐστιν εἰ μὴ ἀπὸ διαθέσεως τῆς αἰσθήσεως, τὸ δ' ὑπνώττειν οὐδὲν εἰ μὴ ἀσθένεια αὐτῆς, καὶ οὐχ εὑρίσκεταί τι τούτων ἐν πράγματι τρεφομένῳ μὲν πάσαις ὥραις κατὰ διοίκησιν μίαν, ἐν τῇ οἰκείᾳ δὲ φύσει μὴ αἰσθανομένῳ. Τὸ γὰρ ζῷον ὅτε τρέφεται, τί συμβαίνει; τὸ ἀναβαίνειν ἀναθυμίασιν ἀπὸ τῆς τροφῆς πρὸς τὴν κεφαλὴν αὐτοῦ, καὶ ὑπνώττειν ἐντεῦθεν πάντως, καὶ ὅταν καταναλωθῇ ἡ ἀναθυμίασις ἡ ἀναβαίνουσα πρὸς τὴν κεφαλήν, τότε γρηγορεῖ. Ἔν τισι δὲ τῶν ζῴων ἐστὶν αὕτη ἡ ἀναθυμίασις πολλή, καὶ τέως ὀλίγον ὑπνώττουσιν. Ὁ δὲ νυσταγμός ἐστι συνοχὴ τῆς κινήσεως, ἡ δὲ συνοχὴ πάλιν ἠρεμία πράγματος κινουμένου.

[II]. Perscrutemur ergo nunc id quod præcessit in sermone nostro, de desiderio plantæ et motu ejus et anima sua, et quod resolvitur ab ea. Et non habet planta spiritum, licet Anaxagoras dixerit, ipsam habere spiritum; et jam invenimus multa animalia quæ non habent spiramen. Et invenimus visibiliter, quod plantæ non dormiunt, nec vigilant, quia vigilare est de effectu sensus, et dormire est debilitas sensus, et non invenitur aliquod horum in re quæ vegetatur in omnibus horis secundum dispositionem unam et ipsa in natura sua est non sentiens. Et quando cibatur animal, ascendit vapor a cibo ejus ad caput, et dormit; et quando consumitur vapor ascendens ad caput, vigilat. Et in quibusdam animalibus est hic vapor multus, quæ tamen parum dormiunt. Et dormitatio est comprehensio motus, et compressio est quies rei motæ.

CAP. VI.

Ὁ δὲ μάλιστα καὶ κυρίως ἐστὶ ζητητέον ἐν ταύτῃ τῇ ἐπιστήμῃ, τοῦτό ἐστιν ὅπερ εἶπεν ὁ Ἐμπεδοκλῆς, ἤγουν εἰ εὑρίσκεται ἐν τοῖς φυτοῖς γένος θῆλυ καὶ γένος ἄρρεν, καὶ εἰ ἔστιν εἶδος κεκραμένον ἐκ τούτων τῶν δύο γενῶν. Λέγομεν τοίνυν ὅτι τὸ ἄρρεν, ὅτε γεννᾷ, εἰς ἄλλο γεννᾷ, καί εἰσιν ἄμφω κεχωρισμένα ἀπ' ἀλλήλων. Ἐπεὶ γοῦν εὑρίσκεται ἐν τοῖς φυτοῖς ὅτι ἔχει τὰ φυτὰ γένος ἄρρεν καὶ θῆλυ, καὶ πάντως τὸ μὲν ἄρρεν ἐστὶ τραχύτερον καὶ σκληρότερον καὶ μᾶλλον φρίσσον, τὸ δὲ θῆλυ ἀσθενέστερον καὶ καρποφόρον πλέον, πάλιν ὀφείλομεν ζητεῖν, πότερον εὑρίσκονται ταῦτα τὰ δύο γένη κεκραμένα ἅμα ἐν τοῖς φυτοῖς, ὡς εἶπεν Ἐμπεδοκλῆς. Ἀλλ' ἐγὼ οὐχ ὑπολαμβάνω

Et quod maxime et proprie inquirendum in hac scientia, est quod dixit Abrucalis, videlicet si invenitur in plantis sexus femineus et sexus masculinus, sive species commixta ex his duobus sexubus? Sed dicimus, sicut diximus quia masculus, quando generat, in aliud generat, et femina, quando generat, ab alio generat, et sunt ambo separati ab invicem, et illud non invenitur in plantis, quia quælibet species plantæ masculinæ, quod erit ex ea, erit asperius, durius, rigidius, et femina erit debilis et fructifera. Et debemus inquirere, utrum inveniantur illæ duæ species simul conjunctæ in unum esse in plantis, sicut dixit Abrucalis. Sed ego non opinor, quod hoc ita sit, quia res

τοῦτο τὸ πρᾶγμα οὕτως ἔχειν· τὰ γὰρ κεχραμένα ὀφείλουσιν εἶναι πρῶτον ἁπλᾶ ἐν ἑαυτοῖς, καὶ εἶναι καθ' αὑτὸ μὲν τὸ ἄρρεν, καθ' αὑτὸ δὲ τὸ θῆλυ, κἀντεῦθεν κιρνᾶσθαι· ἡ δὲ κρᾶσις οὐκ ἔσται εἰ μὴ διὰ τὴν οἰκείαν γένεσιν. Εὑρέθη γοῦν ἐν τοῖς φυτοῖς πρὸ τῆς κράσεως κρᾶσις, ἣ καὶ ὀφείλει εἶναι αἰτία ποιητικὴ καὶ παθητικὴ ἐν μιᾷ ὥρᾳ, ἀλλ' οὐχ εὑρίσκεται ἀρρενότης καὶ θηλύτης ἡνωμέναι ἔν τινι τῶν φυτῶν. Εἰ δὲ τοῦτο οὕτως ἦν, τάχα ἂν τὸ φυτὸν ἦν τελειότερον τοῦ ζῴου. Καὶ πῶς, εἴπερ τὸ ζῷον οὐ δεῖται ἐν τῇ οἰκείᾳ γενέσει πράγματός τινος ἐξωτερικοῦ, τὸ δὲ φυτὸν τοῦτο δεῖται ἐν τοῖς καιροῖς τοῦ ἔτους; δεῖται γὰρ ἡλίου καὶ εὐκρασίας καὶ τοῦ ἔαρος πλέον, καὶ τούτων δεῖται μᾶλλον ἐν τῇ ὥρᾳ τῆς ἐκφύσεως αὐτοῦ. Ἔστι δὲ καί τις ἀρχὴ τῆς μὲν τροφῆς τῶν φυτῶν ἀπὸ τῆς γῆς, καὶ πάλιν ἀρχὴ ἑτέρα τῆς γενέσεως ἀπὸ τοῦ ἡλίου. Εἶπε δὲ καὶ Ἀναξαγόρας ὅτι ἡ ὑγρότης τούτων ἐστὶν ἀπὸ τῆς γῆς, καὶ διὰ τοῦτο ἔφη πρὸς Λεχίνεον ὅτι ἡ γῆ μήτηρ μέν ἐστι τῶν φυτῶν, ὁ δ' ἥλιος πατήρ. Ἀλλὰ τὴν κρᾶσιν τοῦ ἄρρενος τῶν φυτῶν καὶ τοῦ θήλεος ὀφείλομεν διατυπώσασθαι οὐχ οὕτως, ἀλλ' ἄλλῳ τινὶ τρόπῳ, οἷον ὅτι τὸ σπέρμα τοῦ φυτοῦ ὅμοιόν ἐστιν ἐγκυμονήσει ζῴου, ἥ τίς ἐστι μίξις ἄρρενός τε καὶ θήλεος. Καὶ ὥσπερ ἐστὶν ἐν τοῖς ᾠοῖς ὅτε γίνεται νεοσσός, ἔστιν ἐντεῦθεν καὶ ἡ τροφὴ αὐτοῦ μέχρι καὶ αὐτῆς τῆς ὥρας τῆς συμπληρώσεως καὶ τῆς οἰκείας ἐξόδου, καὶ τότε τὸ θῆλυ ἐκτίθησι τὸν νεοσσὸν ἐν μιᾷ ὥρᾳ· οὕτω καὶ τὸ σπέρμα τοῦ φυτοῦ. Εἶπε δὲ πάλιν Ἐμπεδοκλῆς ὅτι τὰ φυτά, εἰ καὶ νεοσσοὺς οὐ γεννῶσι, διότι τὸ γεννώμενον οὐ γεννᾶται εἰ μὴ ἐκ τῆς φύσεως τοῦ σπέρματος, καὶ ὅτι ὅπερ μένει ἐξ αὐτοῦ ἐν τῇ ἀρχῇ τροφὴ γίνεται τῆς ῥίζης, καὶ τὸ γεννώμενον κινεῖ αὐτὸ ἑαυτὸ παραυτίκα, ὅμως οὕτως ὀφείλομεν ὑπολαμβάνειν καὶ ἐν τῇ μίξει τῶν ἀρρένων καὶ τῶν θηλέων φυτῶν, ὡς ἐπὶ τῶν ζῴων, ὅτι καὶ ἡ μίξις τῶν φυτῶν ἐστιν ἐν διοικήσει τινί, ἀλλ' ἐν τοῖς ζῴοις, ὅτε μίγνυνται τὰ γένη, μίγνυνται καὶ αἱ δυνάμεις τῶν γενῶν, αἳ ἦσαν πρότερον κεχωρισμέναι, καὶ προῆλθεν ἐκ τούτων ἀμφοτέρων πρᾶγμά τι ἕν· ὃ δὴ οὐκ ἔστιν ἐν τοῖς φυτοῖς· οὐ γὰρ ὅτε μίγνυνται τὰ γένη καὶ αἱ δυνάμεις αὐτῶν, μετὰ ταῦτα γίνονται κεχωρισμέναι. Εἰ γοῦν ἡ φύσις ἔμιξε τὸ ἄρρεν μετὰ τοῦ θήλεος, καλῶς προέβη, ὅτι οὐχ εὑρίσκομεν ἐνέργειάν τινα ἐν τοῖς φυτοῖς παρὰ τὴν γένεσιν τῶν καρπῶν· οὐδὲ γάρ ἐστι ζῷον κεχωρισμένον τοῦ θήλεος εἰ μὴ ἐν ὥραις αἷς οὐ συνάπτεται· τοῦτο δ' ἐστὶ διὰ τὰς πολλὰς ἐνεργείας αὐτοῦ καὶ διὰ τὰς πολλὰς αὐτοῦ ἐπιστήμας.

quæ permiscentur, debent prius esse simplices in se, et erit per se masculus et per se femina; deinde commiscentur, et commixtio rei non erit nisi per suam generationem. Inventa ergo fuit planta ante suam commixtionem, et oportet ut sit efficiens et patiens in una hora, nec inveniuntur masculinitas et femininitas conjunctæ in aliqua herbarum. Et si hoc ita esset, esset planta perfectior animali, quia non indigeret in sua generatione re extrinseca, et ipsa indiget temporibus anni et sole et temperantia et vere plus omni re. His ergo indiget in hora pullulationis arborum, estque principium cibi plantarum a terra, et principium generationis fructuum a sole. Et ideo Anaxagoras dixit, quod earum fructus est ab aëre, et ideo dicit lechineon, quod terra mater est plantarum et sol pater. Sed mixtionem masculi vegetabilium et feminæ debemus imaginari alio modo, quia semen plantæ simile est impregnationi, quæ est mixtio masculi et feminæ. Et sicut est in uno ovo vis generandi pullum et materia cibi ejus usque ad horam sui complementi et sui exitus ab eo, et femina ponit ovum in una hora : ita et planta. Dixitque bene Abrucalis, quod arbores altæ pullos non generant, quia res quæ nascitur, non nascitur nisi ex parte seminis, et fit quod remanet ex eo, in principio cibus radicis, et nascens movet se statim. Ergo sic debemus opinari in mixtione masculorum et feminarum plantarum, sicut et animalium, quæ (quia?) est causa plantarum in dispositione quadam, et quia in animali, quando commiscentur sexus, commiscentur vires sexuum, postquam erant separati, et provenit ex illis ambobus res una; et ita non est in plantis. Et si natura miscuit masculum cum femina, recte processit, et non invenimus aliquam operationem in plantis nisi generationem fructuum, et non est animal separatum nisi in horis, in quibus non coit, et hoc propter multa opera ejus et multas scientias ejus.

CAP. VII.

Εἰσὶ δ' οἵ τινες τὰ φυτὰ πεπληρωμένα ὑπολαμβάνουσι, καὶ τὴν χάριν τῆς ζωῆς αὐτῶν εἶναι διὰ τὰς δύο δυνάμεις ἃς ἔχει, ἤγουν διὰ τὴν τροφὴν τὴν ἐπι-

Sunt autem qui putant, plantam completam et integram esse propter duas vires quas habet, et propter cibum qui adaptatus est ad cibandum illam, et longitudinem suæ

τηδείαν εἰς τὸ τρέφειν αὐτὰ καὶ διὰ τὴν μακρότητα τῆς οἰκείας ὑπάρξεως καὶ τοῦ καιροῦ. Ὁπόταν βλαστάνῃ καὶ καρποφορῇ ἡ ζωὴ αὐτῶν, καὶ στρέφηται πρὸς αὐτὰ ἡ νεότης αὐτῶν, καὶ οὐ γίνεται ἐν αὐτοῖς τι περιττόν. Οὐ δεῖται δὲ τὸ φυτὸν ὕπνου διὰ πολλὰς αἰτίας, ὅτι κεῖται τὸ φυτὸν ἐν τῇ γῇ, καὶ δεσμεῖται ὑπ' αὐτῆς, καὶ οὐκ ἔχει κίνησιν ἐν ἑαυτῷ, οὐδ' ὅρον διωρισμένον ἐν τοῖς οἰκείοις μέρεσιν, οὔτ' αἴσθησιν ἔχει, οὔτε κίνησιν αὐτοπροαίρετον, οὔτε ψυχὴν τελείαν· τοῦτο δ' ἔχει μᾶλλον μέρος μέρους ψυχῆς. Καὶ τὸ φυτὸν οὐκ ἐδημιουργήθη εἰ μὴ διὰ τὸ ζῷον, τὸ δὲ ζῷον οὐκ ἐδημιουργήθη διὰ τὸ φυτόν. Καὶ πάλιν ἐὰν εἴπῃ τις ὅτι τὸ φυτὸν δεῖται μὲν τροφῆς εὐτελοῦς καὶ μοχθηρᾶς, εἰ καὶ δεῖται δὲ τοιαύτης, ὅμως κατὰ πολὺ σταθηρᾶς καὶ συνεχοῦς καὶ μὴ ῥᾳδίως διαφθειρομένης, κἀντεῦθεν συνίσταται ἵνα τὸ φυτὸν ἔχῃ τι κρεῖττον παρὰ τὸ ζῷον, καὶ διὰ τοῦτο ἀνάγκη καὶ πράγματα ἄψυχα εἶναι εὐγενέστερα τῶν ἐμψύχων. Ἀλλ' ἔργον ἓν τοῦ ζῴου ἐστὶ κρεῖττον παρὰ πᾶν ἔργον τοῦ φυτοῦ. Ἄλλως τε εὑρίσκομεν καὶ ἐν τῷ ζῴῳ πάσας τὰς δυνάμεις τὰς ἐν τῷ φυτῷ, καὶ ἄλλας πολλάς, οὐ μὴν καὶ ἔμπαλιν. Εἶπε πάλιν ὁ Ἐμπεδοκλῆς ὅτι τὰ φυτὰ ἔχουσι γένεσιν ἐν κόσμῳ ἠλαττωμένῳ καὶ οὐ τελείῳ κατὰ τὴν συμπλήρωσιν αὐτοῦ, ταύτης δὲ συμπληρουμένης [οὐ] γεννᾶται ζῷον. Ἀλλ' οὗτος ὁ λόγος ἀνάρμοστός ἐστι, διότι ὁ κόσμος ὁλοτελής ἐστι καὶ διηνεκής, καὶ οὐκ ἔπαυσε πώποτε γεννᾶν ζῷα καὶ φυτὰ καὶ πάντα ἀλλοῖα εἴδη. Ἐν ἑκάστῳ δ' εἴδει τῶν φυτῶν ἔστι θερμότης καὶ ὑγρότης φυσική, ἥ τις ὁπόταν ἀναλωθείῃ, ἀσθενοῦσι τὰ φυτὰ καὶ γηράσκουσι καὶ φθίνουσι καὶ ξηραίνονται. Καί τινες μὲν λέγουσι τοῦτο φθοράν, ἄλλοι δ' οὐχί.

existentiæ et temporis sui. Et quando fronduerit et fructificaverit, durabit vita ejus, et convertetur ad illam juventus ejus, et non fiet in ea aliquid superfluum. Et planta non indiget dormitione propter multas causas, quia posita est et plantata in terra et alligata ei, et non habet motum in se, nec terminum terminatum in suis partibus, nec habet sensum, nec motum voluntarium, nec animam perfectam; imo non habet nisi partem partis animæ. Et planta non est creata nisi propter animal, et animal non est creatum propter plantam. Et si dixerit aliquis, quod planta eget cibo vili, malo, indiget eo multum stabili et continuo, non interrupto. Et si constaret, quod planta habeat meliorationem super animal, oporteret ut res inanimatæ sint meliores et nobiliores rebus animatis. Et opus unum animalis nobilius est et melius quam omne opus plantæ, et invenimus in animali omnes virtutes quæ sunt in planta, et multas alias. Dixitque Abrucalis, quod plantæ habent generationem, mundo tamen diminuto et non perfecto in complemento suo, et eo completo generabatur animal. Sed hic sermo est inconveniens, quia mundus totalis est, perpetuus, sempiternus, nec cessavit umquam generare animalia et plantas et omnes suas species. Et in qualibet specie plantarum est calor et humor naturalis, qui quando consumebantur, infirmabitur et veterascet et corrumpetur et arefiet. Et quidam dicunt hoc corruptionem, quidam non.

CAP. VIII.

Τινὰ τῶν φυτῶν ἔχουσί τι ὑγρὸν ὡς ῥητίνην, ὡς κόμμι, ὡς σμύρναν, ὡς θυμίαμα καὶ ὡς κόμμι Ἀραβικόν. Πάλιν τινὰ δένδρα ἔχουσι δεσμοὺς καὶ φλέβας καὶ κοιλίαν καὶ φιτροὺς καὶ φλοιὸν καὶ μυελὸν ἐντός, καί τινα ὡς ἐπὶ τὸ πλεῖστόν εἰσι φλοιός, καί τινων μὲν ὁ καρπὸς ὑπὸ τὸν φλοιόν, ἤγουν ἐντὸς τοῦ φλοιοῦ καὶ τοῦ φιτροῦ. Καί τινα μὲν μέρη τοῦ δένδρου εἰσὶν ἁπλᾶ, ὡς ὁ χυμὸς ὁ εὑρισκόμενος ἐν αὐτοῖς καὶ οἱ δεσμοὶ καὶ αἱ φλέβες· τινὰ δ' εἰσὶ σύνθετα ἐκ τούτων, ὡς κλάδοι καὶ λύγοι καὶ φύλλα. Ταῦτα δὲ πάντα οὐχ εὑρίσκομεν ἐν πᾶσι τοῖς φυτοῖς· τινὰ γὰρ τῶν φυτῶν ἔχουσι καὶ ταῦτα καὶ ἄλλα μέρη, λύγους, φύλλα, κλάδους, ἄνθη καὶ βλαστοὺς καὶ φλοιὸν τὸν περικυκλοῦντα τὸν καρπόν.

[III] Quædam arbores habent gummi, ut resinam et gummi amigdali et myrrham et thus et gummi Arabicum. Quædam arbores nodos habent et venas et ventrem et lignum et corticem et medullam interius, et quædam secundum plurimum sunt cortex, et quarumdam fructus sub cortice est, scilicet inter corticem et lignum. Et partes arboris simplices sunt, ut humor inventus in ea et nodi et venæ, et quædam partes sunt compositæ ex his, ut rami et virgæ et similia. Et hæc omnia non inveniuntur in omnibus plantis, quia quædam habent has partes, quædam illas, quædam non. Habent quoque plantæ alias partes, ut radices, virgas, folia, ramos, flores, pullulationes, rotunditatem, et corticem, qui circumdat fructum.

CAP. IX

Καὶ καθὼς εἰσὶ καὶ ἐν τοῖς ζῴοις μέλη ὁμοιομερῆ, οὕτω καὶ ἐν τοῖς φυτοῖς, καὶ ἕκαστα τῶν μερῶν τοῦ

Et sicut sunt in animali similium partium membra, ita et in plantis, et quælibet partium plantæ compositæ

φυτοῦ σύνθετά εἰσιν ὅμοια μέλεσι ζώου· ὁ δὲ φλοιὸς τοῦ φυτοῦ ὅμοιός ἐστι φυσικῶς δέρματι ζώου, οἱ δὲ δεσμοὶ πάλιν ὅμοιοι νεύροις ζώου· ὁμοίως καὶ τὰ λοιπὰ τὰ ἐν αὐτῷ. Καί τινα μὲν τῶν μερῶν διαιροῦνταί πως διὰ μερῶν ἀνομοίων, τινὰ δὲ δι' ὁμοίων, οἷον ὡς ἐπὶ τοῦ τηλοῦ· οὗτος γὰρ ἑνὶ τρόπῳ διαιρεῖται διὰ τῆς γῆς μονον, καὶ ἀλλοτρόπως διὰ τῶν στοιχείων. Ὡσαύτως ὁ πνεύμων καὶ ἡ σὰρξ διαιροῦνται μὲν πρώτως, καί εἰσι μέρη τούτων σὰρξ καὶ πνεύμων· ἄλλως δὲ διαιροῦνται καὶ διὰ τῶν στοιχείων· ὁμοίως καὶ αἱ τῶν φυτῶν ῥίζαι. Πλὴν οὐ διαιρεῖται καὶ ἡ χεὶρ εἰς ἄλλην χεῖρα, οὐδ' ἡ ῥίζα εἰς ἄλλην ῥίζαν, οὐδὲ τὰ φύλλα εἰς ἄλλα φύλλα. Ἐν ταύταις γοῦν ταῖς ῥίζαις καὶ ἐν αὐτοῖς τοῖς φύλλοις ἐστὶν ἡ σύνθεσις. Πάλιν τινὲς μὲν τῶν καρπῶν εἰσιν ἐκ μερῶν ὀλίγων συγκείμενοι, τινὲς δ' ἐκ μερῶν πολλῶν, ὡς ἐπὶ τῶν ἐλαιῶν· αὗται γὰρ ἔχουσι φλοιόν, σάρκα καί τι ὀστρακῶδες καὶ σπέρμα καὶ καρπόν· τινὰ δ' ἔχουσι καὶ περικαλύμματα. Πάντα δὲ τὰ σπέρματά εἰσιν ἐκ δύο φλοιῶν. Καὶ μέρη μὲν τῶν φυτῶν εἰσιν ἅπερ εἴπομεν· ἡ δ' ἀκρότης τοῦ παρόντος λόγου ἐστὶ διορίσασθαι ταῦτα τὰ μέρη τῶν φυτῶν, τὰ περικαλύμματα αὐτῶν καὶ τὰς αὐτῶν διαφοράς· ὅπερ ἐστὶ πάνυ δυσχερές, καὶ ἐξαιρέτως τὸ διορίσασθαι τὴν οὐσίαν αὐτῶν καὶ τὸ χρῶμα καὶ τὸν καιρὸν τῆς διαμονῆς αὐτῶν καὶ τὰς συνοχὰς τὰς περιπιπτούσας αὐτοῖς. Καὶ ὅτι οὐκ ἔχουσι τὰ φυτὰ ἤθη ψυχῆς, οὐδὲ διάθεσιν ἴσην διαθέσει ψυχῆς. Ἐὰν γοῦν κατὰ ἀναλογίαν θῶμεν τὰ μέρη τῆς ψυχῆς μετὰ τῶν μερῶν τοῦ φυτοῦ, μηκυνθήσεται ὁ λόγος, καὶ τυχὸν οὐδὲ δυνηθείημεν διεξελθεῖν ἂν ταῦτα, μεγάλαις διαφοραῖς ἀπαριθμοῦντες τὰ μέρη τῶν φυτῶν· καὶ γὰρ μέρος ἑκάστου πράγματος ἐκ τοῦ ἰδίου γένους ἐστὶ καὶ ἐκ τῆς ἰδίας οὐσίας, καὶ ὅταν γεννηθῇ τι εἶδος φυτοῦ, μένει ἐν τῇ οἰκείᾳ διαθέσει, ἂν μή τινι χρονικῇ ἀσθενείᾳ καὶ βαρείᾳ τῆς οἰκείας ἐκπέσῃ τοιᾶσδε διαθέσεως. Τῶν ἀνθέων τοίνυν καὶ τῶν καρπῶν καὶ τῶν φύλλων τῶν ἐν τοῖς φυτοῖς τινὰ μὲν ἐν παντὶ ἔτει εἰσί, τινὰ δ' οὐχ οὕτως ἔχει, οὐδὲ διαμένουσιν, ὡς ὁ φλοιὸς καί τι σῶμα πῖπτον ἀπὸ πράγματος τοῦ ἀπορρίπτοντος τοῦτο διά τινα αἰτίαν. Οὐ μένουσι δὲ ταῦτα ἐν τῷ φυτῷ, ὅτι πολλάκις πίπτουσιν ἐξ αὐτοῦ μέρη τινὰ μὴ διωρισμένα, ὡς τρίχες ἐξ ἀνθρώπων καὶ ὄνυχες, πλὴν γεννῶνται τρίχες ἢ ἐν αὐτοῖς τοῖς μέρεσιν ὅθεν ἐξέπεσον, ἢ ἐκτὸς ἐν ἄλλοις. Καὶ ἤδη φανερὸν γέγονεν ὅτι τὰ μέρη τοῦ φυτοῦ οὐκ εἰσὶ διωρισμένα, εἴτε καὶ μή, ἀλλὰ μόνον ἀδιόριστα. Ἡμῖν δ' αἰσχρόν ἐστι λέγειν πράγματά τινα μεθ' ὧν αὐξάνεται τὸ ζῷον καὶ συμπληροῦται μετ' αὐτῶν, μὴ εἶναι μέρη αὐτοῦ, ἀλλ' εἶναι κατὰ τὰ φύλλα καὶ πάντα τὰ τοιαῦτα τὰ ἐν τῷ φυτῷ, κἂν καὶ οὐχ ὦσι διωρισμένα τὰ τοιαῦτα μέρη τοῦ ζώου, κἂν καὶ κατὰ μικρὸν ἐκπίπτωσιν, ὡς τὰ κέρατα τῆς ἐλάφου καὶ κόμαι τινῶν ζώων καὶ τρίχες ἄλλων, ἃ δὴ κρύπτουσιν ἑαυτὰ κατὰ τὸν χειμερινὸν καιρὸν ἐν ὀπαῖς καὶ ὑπὸ γῆν πίπτουσι κἂν

sunt similes membris animalis, quia cortex plantæ similis est cuti animalis, et radix plantæ similis est ori animalis, nodi quoque illius similes sunt nervis animalis, et similiter reliqua quæ sunt in ea. Et quælibet harum partium dividuntur aliquo modo per partes consimiles, et dividuntur etiam per partes dissimiles, quasi lutum uno modo per terram tantum, et alio modo per aquam. Pulmo quoque et caro dividuntur, et sunt partes eorum carnes, et alio modo dividuntur per elementa seu radices. Et non dividitur manus ad aliam manum, nec radix ad aliam radicem, nec folia ad alia folia; sed in his radicibus et foliis est compositio. Sed fructuum quidam sunt compositi ex partibus paucis, et quidam ex partibus multis, ut olivæ: illæ enim habent corticem et carnem et testam et semen et fructum; quidam habent tres coopertural. Omnia semina sunt ex duobus corticibus. Et plantarum partes sunt illæ, quas diximus, et summa quidem sermonis est determinare partes plantæ et coopertural ejus et diversitates ejus. Est valde difficile, et præcipue terminare essentiam ejus, et colorem, et tempus durabilitatis ejus, et impressiones quæ ei eveniunt. Et non habent plantæ mores animæ, nec effectum æqualem effectui animalis. Et si proportionaverimus partes animalis cum partibus plantæ, prolongabitur noster sermo, et fortasse non evademus a magnis diversitatibus in nominando partes plantarum, quia pars rei est de suo genere et de sua substantia propria, et quando generabitur, remanebit in sua dispositione species, nisi aliqua chronica infirmitate a sua dispositione recederit. Et flores et fructus et folia plantarum quandoque omni anno erunt, quædam vero non sic, nec remanent, ut cortex et corpus cadens aere abjiciente ipsum propter causam. Et non est istud in planta, quia multotiens cadunt de planta partes multæ non determinatæ sicut pili hominis et ungues in animali, et nascuntur pro eis aliæ partes vel in loco in quo fuerunt, vel extra in alio. Et jam certum est, quod partes plantæ non sunt determinatæ, sive sint partes plantæ, sive non. Et turpe est nobis dicere res cum quibus crescit animal et completur cum eis, non esse partes ejus; sed folia et omnia quæ sunt in illo, sunt partes ejus, licet non sint determinatæ et paulatim decidant, quoniam cornua cervi, et capilli quorundam animalium et pili quorundam de eis, quæ se abscondunt in tempore hyemali

καὶ τὸ τοιοῦτον πάθος παρόμοιον ἔχωσι τῇ πτώσει τῶν φυτῶν.

in cavernis et sub terra, cadunt, et illud est simile casui foliorum.

CAP. X.

Ὀφείλομεν οὖν εἰπεῖν περὶ τῶν πραγμάτων ὧν πρότερον ἱστορήσαμεν, καὶ ἄρξασθαι ἀπαριθμεῖν τὰ ἴδια μέρη τῶν φυτῶν καὶ τὰ κοινὰ καὶ τὰς τούτων διαφοράς. Λέγομεν τοίνυν ὡς ἐπὶ τοῖς μέρεσι τῶν φυτῶν ἐστι μεγάλη διαφορὰ ἐν τῷ πλήθει καὶ ἐν τῇ ὀλιγότητι, ἐν τῷ μεγέθει καὶ ἐν τῇ σμικρότητι, ἐν τῇ δυνάμει καὶ ἐν τῇ ἀσθενείᾳ. Τοῦτο δ' ἐστὶν ὅτι ὁ χυμὸς ὁ ἐν τοῖς μεγάλοις δένδροις ἔν τισι μέν ἐστιν ὡς γάλα, οἷον ἐπὶ τῆς συκῆς, ἔν τισιν ὅμοιος ὑγρᾷ πίσσῃ, ὡς ὁ χυμὸς ὁ στάζων ἐκ τῆς ἀμπέλου, ἔν τισι δ' ἀρχέγονος, ὡς ἐν τῷ ὀριγάνῳ καὶ ἐν φυτῷ τῷ λεγομένῳ ὀπιγαῖς καὶ ἐν ἄλλοις. Πάλιν ἔστι φυτὸν τὸ ἔχον μέρη ξηρά, ἕτερον ὑγρά, καὶ τὰ τοιαῦτα. Καὶ ἔστι τὸ ἔχον μέρη διακεκριμένα, οὔθ' ὅμοια, οὔτ' ἴσα. Καί τινα ἔχει μέρη ὅμοια μέν, οὐκ ἴσα δέ· τινὰ ἴσα μέν, οὐχ ὅμοια δέ. Καὶ ὅτι οὐδ' ἐστὶ τόπος ἐν τούτοις ὡρισμένος. Αἱ διαφοραὶ δὲ τῶν φυτῶν ἐν τοῖς οἰκείοις μέρεσι γινώσκονται καλῶς· ὁμοίως δὲ καὶ τὰ σχήματα αὐτῶν ἐκ τοῦ χρώματος, ἐκ τῆς ἀραιότητος, ἐκ τῆς πυκνότητος, ἐκ τῆς τραχύτητος, καὶ ἐκ πάντων ἄλλων τῶν συμβεβηκότων αὐτοῖς ἐν ἰσότητι, ἐν αὐξήσει φυσικῇ, ἐν διακρίσει, ἐν μεγέθει, ἐν σμικρότητι. Καί εἰσι μὲν ταῦτα τοιούτου τρόπου, ἔχουσι δὲ καὶ διαφορὰς πολλάς, καθὼς καὶ προείπομεν.

Debemus ergo loqui de rebus quæ prius nominavimus, et incipiamus nominare partes proprias et communes et earum diversitates. Dicamus ergo, quod partibus plantæ inest magna diversitas in multitudine et paucitate, et magnitudine et parvitate, et in fortitudine et debilitate. Et hoc est, quia humor qui est in magnis arboribus, in quibusdam est ut lac, ut in ficubus, et in quibusdam similis est pici [*ut in abiete, et in quibusdam est aquosus*,] ut humor qui est in vite, et in quibusdam est origanalis, ut qui est in origano et in planta quæ dicitur opigaidum. Item est planta quæ habet partes siccas; et est quæ habet partes terminatas, nec similes, nec æquales, et quædam habent partes similes ad invicem, et quædam habent partes æquales, nec similes, et non est locus ejus in situ. Diversitas autem plantæ in suis partibus cognita est, et figuræ ejus et coloris et raritatis et spissitudinis et asperitatis et lævitatis, et omnia quæ accidunt ei in diversitatibus in æqualitate et augmento numeri et ejus detrimento, et magnitudine et parvitate. Et quædam non erit unius modi, sed habebit diversitates multas, ut prædiximus.

CAP. XI.

Καὶ πάλιν τῶν φυτῶν τινα προάγουσι καρπὸν ἐπάνω τῶν ἰδίων φύλλων, τινὰ δ' ὑποκάτω τῶν φύλλων, καί τινων μὲν ὁ καρπὸς ἀπῃώρηται τοῦ ἰδίου φιτροῦ, τινῶν δ' ἀπὸ τῆς ῥίζης, ὡς τὰ ἐν Αἰγύπτῳ φυτὰ τὰ λεγόμενα μαργαρῖται· τινῶν δ' οἱ καρποὶ ἐν μέσῳ αὐτῶν. Καί τινων οἱ καρποὶ καὶ τὰ φύλλα καὶ οἱ δεσμοὶ ἀδιάκριτοί εἰσι, καί τινων τὰ φύλλα πρὸς ἄλληλα ὅμοια, ἄλλων δ' οὔ, καί τινα μὲν ἔχουσι κλάδους ἴσους, τινὰ δ' οὐ τοιούτους. Εἰσὶ δὲ καὶ τὰ μέρη ἅ περ ὠνομάσαμεν ἐν πᾶσι τοῖς δένδροις, αὔξησιν πάσχοντα καὶ πρόσθεσιν, ὡς ἡ ῥίζα, οἱ λύγοι, οἱ φιτροὶ καὶ οἱ κλάδοι, καὶ ταῦτα παρομοιοῦνται μέλεσιν ἀνθρώπων τοῖς περιέχουσι πάντα τὰ ἄλλα μέλη. Καὶ ἡ μὲν ῥίζα μεσιτεύει ἔν τε τῷ φυτῷ καὶ ἐν τῇ τροφῇ, καὶ καλοῦμεν αὐτὴν οὐ μόνον ῥίζαν, ἀλλὰ καὶ αἰτίαν ζωῆς· αὕτη γὰρ ζωὴν τοῖς φυτοῖς προσφέρει. Καὶ φιτρὸς μέν ἐστιν ὁ μόνος γινόμενος ἀπὸ τῆς γῆς, καί ἐστιν ὅμοιος ἡλικίᾳ ἀνθρώπου. Παραφυάδες δ' εἰσὶ τὰ ἀπὸ τῆς ῥίζης τοῦ δένδρου βλαστάνοντα, κλάδοι δ' οἵ τινες αὐξάνουσιν ἐπάνω τῶν παραφυάδων· οὐχ εὑρίσκονται δὲ ταῦτα ἐν πᾶσι τοῖς φυτοῖς. Καὶ πάλιν τῶν κλάδους ἐχόντων

[IV] Et plantarum quædam producunt fructum super folia sua, quædam sub foliis, et quarundam fructus suspensus est a stipite suo, et quarundam a radice, ut arbores Ægyptiæ, quæ dicuntur vargariaton, et quarundam fructus in medio earum. Et quarundam folia et nodi indiscreti sunt, et quarundam sunt folia æqualia et ad invicem similia, et quædam habent ramos æquales earum quæ habent ramos. Et sunt partes quas nominabimus, omnium plantarum, et sunt crescentes et addentes, hoc est radix et virgæ et stipites et rami plantarum, et ista assimilantur membris animalium quæ continent omnia membra. Et radix plantæ mediatrix est inter plantam et cibum, et ideo vocant eam Græci radicem et causam vitæ plantarum, quia ipsa causam vitæ plantis adducit. Sed stipes plantæ est quæ sola nascitur a terra, et est similis staturæ arboris; surculi vero sunt quæ a radice arboris pullulant; sed rami sunt qui nascuntur supra surculos, et non inveniuntur in omnibus plantis. Et plantarum ramos habentium quidam

τινὰ μέν εἰσι διηνεχῆ, τινὰ δ' οὐχί, μᾶλλον δ' ἀπ' ἔτους μετ' ἔτος. Καὶ πάλιν εἰσὶ φυτὰ μὴ ἔχοντα κλάδους, μηδὲ φύλλα, ὡς οἱ μύκητες καὶ τὰ ὅμοια. Οἱ κλάδοι δ' οἱ γεννώμενοι ἐν τοῖς δένδροις καὶ οἱ φλοιοὶ καὶ οἱ φιτροὶ καὶ οἱ μυελοὶ οὐ γεννῶνται εἰ μὴ ἀπ' αὐτοῦ τοῦ χυμοῦ τῶν δένδρων, καί τινες καλοῦσιν αὐτὸν τὸν μυελὸν τὸν ἐν τοῖς δένδροις μήτραν, ἄλλοι σπλάγχνα, ἕτεροι δὲ καρδίαν. Ταῦτα δὲ καὶ αἱ φλέβες καὶ ἡ σὰρξ ὅλου τοῦ δένδρου ἐκ τῶν τεσσάρων στοιχείων πεφύκασιν. Καὶ πολλάκις εὑρίσκονται μέρη τινὰ ἐπιτήδεια εἰς τὸ γεννᾶν φύλλα καὶ ἄνθη. Καὶ λύγοι δέ τινες βραχεῖς εἰσιν, εἰς τὸ γεννᾶν ἐπιτήδειοι ἄνθη, ὡς ἐπὶ τῶν ἰτεῶν, τινὲς δὲ καὶ ἄνθη καὶ καρποὺς ἐν τοῖς δένδροις, καὶ τἄλλ' ὁπόσα γεννῶνται ἐκ σπέρματος, καὶ ὅσα περικαλύπτουσιν αὐτά.

sunt non sempiterni, imo sunt anno post annum. Et plantæ sunt non habentes ramos, nec folia, ut fungi et tuberes. Et rami non nascuntur nisi in arboribus. Et cortices et lignum et medulla arboris nascuntur ab humore, et quidam vocant hanc medullam arboris matricem, et quidam vocant eam viscera arboris, et quidam cor. Et nodi et venæ et caro totius plantæ ex quatuor sunt elementis. Et multotiens inveniuntur partes, quæ aptæ sunt ad generandum, ut folia et flores et parvæ virgæ, quæ sunt flores præter plantam; eodem modo et fructus et rami in planta, et quæ nascuntur ex semine, et quod circumdat illud.

CAP. XII.

Καὶ πάλιν τῶν φυτῶν τινα μέν εἰσι δένδρα, τινὰ δὲ μέσον δένδρων καὶ βοτανῶν, καὶ ταῦτα ὀνομάζονται θάμνοι, καί τινα μέν εἰσι βοτάναι, τινὰ δὲ λάχανα. Σχεδὸν μὲν οὖν πάντα τὰ φυτὰ τοῖς τοιούτοις ὑποπίπτουσιν ὀνόμασιν. Πάλιν εἰσὶ δένδρα ἅπερ ἔχουσιν ἐκ τῆς οἰκείας ῥίζης φιτρόν, καὶ γεννῶνται ἐν αὐτοῖς κλάδοι πολλοί, ὡς συκαῖ καὶ ἐλαῖαι· τινὰ δ' οὔ. Πάλιν εἰσὶν ἄλλα φυτὰ μέσον, ὡς εἴπομεν, δένδρων καὶ βοτανῶν σμικρῶν, τὰ λεγόμενα θάμνοι, ἔχοντα ἐν ταῖς ῥίζαις αὐτῶν πολλοὺς κλάδους, ὡς τὰ καλούμενα ἄγνοι καὶ βάτοι. Λάχανα δ' εἰσὶ τὰ ἔχοντα πολλοὺς φιτροὺς ἐκ μιᾶς ῥίζης καὶ πολλοὺς κλάδους, ὡς τὸ πήγανον, αἱ κράμβαι καὶ τὰ τοιαῦτα. Εἰσὶ δὲ καὶ βοτάναι αἵ τινες οὐκ ἔχουσι φιτρὸν ἐκ τῆς οἰκείας ῥίζης, ἀλλὰ παραυτίκα φέρουσι φύλλα, καί τινα μὲν κατὰ πᾶν ἔτος γεννῶνται καὶ ξηραίνονται, ὡς σῖτος καὶ τὰ παραπλήσια, τινὰ δ' οὔ. Οὐ δυνάμεθα δὲ ταῦτα πάντα ἐπίστασθαι εἰ μὴ διὰ συλλογισμῶν καὶ παραδειγμάτων καὶ ὑπογραφῶν. Πάλιν εἰσὶ βοτάναι εἰς δύο ἄκρα κλίνουσαι, ὡς τὸ λεγόμενον λάχανον βασιλικόν. Εἰσὶ δ' ἄλλαι αἱ λεγόμεναι ἐν ταὐτῷ βοτάναι καὶ λάχανα, καί τινες ἄλλαι αἳ ἐν τῷ γεννᾶσθαι μὲν πρώτως φαίνονται ἐν σχήματι στάχυος, μετὰ ταῦτα δὲ γίνονται δένδρα, ὡς οἱ Ἀραβικοὶ βέντελοι καὶ τὸ φυτὸν τὸ λεγόμενον ἡλιοσκόπον. Μυρσίνη δὲ καὶ μηλέα καὶ ὄχνη καὶ τὰ λοιπὰ ὅμοια δένδρα εἰς τοῦτο τὸ γένος περιέχονται, ὧν πολλοὶ καὶ μάταιοί εἰσι κλάδοι, ἐκ τῶν ῥιζῶν αὐτῶν φυόμενοι. Καὶ διὰ τοῦτο πρέπον προσδιορίζειν ταῦτα, ἵν' ὦσιν εἰς παράδειγμα καὶ συλλογισμόν· οὐ γὰρ ὀφείλομεν διερευνᾶν ὁρισμοὺς ἐν πᾶσιν.

Plantarum quædam sunt arbores, quædam inter arbores et herbas, nominanturque illæ ambrachion, et quædam sunt herbæ, et quædam sunt olera. Et fere omnis planta sub his cadit nominibus. Et arbor est, quæ habet ex sua radice stipitem, et nascuntur in eo multi rami, ut olivæ et fici. Sed planta quæ est inter arbores et herbas minutas, quæ dicitur ambrachion, habet in radicibus suis multos ramos, ut id quod dicitur magnus cannæ et rubus. Sed olera sunt quæ multos stipites habent ex una radice et multos ramos, ut ruta et caulis. Sunt autem herbæ quæ non habent stipitem, sed folia ex sua radice, et quædam omni anno nascuntur et arescunt, ut triticum et olera. Et non possumus hæc omnia nisi per syllogismos et exempla et descriptiones manifestare. Et quædam herbæ ad duas extremitates declinant, ut olus quod dicitur olus regium, quia est herba et olus, et similiter acelga. Et quædam nascuntur in primis in figura granorum plantæ, et postea fit arbor, ut vovet et fingekest, i. e. pentaphyllon, et planta quæ dicitur bacca caprarum. Et forte myrtus quoque et malus et pirus sub hoc genere continentur, quia harum omnium multi et superflui sunt stipites de radicibus earum. Et ideo oportet determinare eas, ut sint in exemplum et syllogismum, et non debemus perscrutari omnium definitiones.

CAP. XIII.

Πάλιν τῶν φυτῶν τὰ μέν εἰσι κατοικίδια, τὰ δὲ κηπαῖα, καὶ ἕτερα ἄγρια. Τοιουτοτρόπως δὲ λεγο-

Plantarum quædam est domestica, quædam hortensis, quædam silvestris et eodem modo animalia. Puto quo-

μεν ὄχνας καὶ ἄλλα τοιαῦτα εἴδη φυτῶν ἄγρια, ὅτι οὐκ εἰσὶν ἐξ ἐπιμελείας γεωργικῆς. Πάλιν τῶν φυτῶν τινα μὲν ποιοῦσι καρπόν, τινὰ δ' οὔ, ὡς ἰτέαι καί τινα εἴδη δρυῶν, καί τινα μὲν ποιοῦσιν ἔλαιον, τινὰ δ' οὐχί, καί τινα μὲν ποιοῦσι φύλλα, τινὰ δ' οὔ, καί τινων μὲν πίπτουσι τὰ φύλλα, τινῶν δ' οὔ, καί τισι μὲν γίνονται κλάδοι, τισὶ δ' οὔ. Περὶ διαφορᾶς γοῦν τῶν φυτῶν ἐν μεγέθει καὶ σμικρότητι, ἐν ὡραιότητι καὶ ἀμορφίᾳ, ἐν χρηστότητι καρπῶν καὶ κακίᾳ πολλὰ ἔστιν εἰπεῖν. Πάλιν τὰ ἄγριά δένδρα μᾶλλον καρποφοροῦσι παρὰ τὰ κηπαῖα, καὶ οἱ καρποὶ τῶν κηπαίων κρείττονές εἰσι τῶν ἀγρίων. Καί τινα μὲν τῶν φυτῶν γεννῶνται ἐν τόποις ξηροῖς, τινὰ δ' ἐν θαλάσσῃ, καί τινα μὲν ἐν ποταμοῖς, ἄλλα δ' ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ, καί τινα ἐν τόποις μὲν ἄλλοις μεγάλα, ἐν ἑτέροις δὲ μικρά, καί τινα μὲν γεννῶνται ἐν ὄχθαις ποταμῶν, τινὰ δ' ἐν λίμναις. Καὶ τῶν γεννωμένων ἐν τόποις ξηροῖς τινα μὲν γεννῶνται ἐν ὄρεσι, τινὰ δ' ἐν πεδιάδι, καί τινα ζῶσιν ἐν τόποις ξηροτάτοις, ὡς τὰ ἐν τῇ γῇ τῶν Αἰθιόπων καὶ ἐκεῖσε κρειττόνως αὐξάνουσι παρὸ ἀλλαχοῦ, καί τινα μὲν ζῶσιν ἐν τόποις ὑψηλοῖς, τινὰ δ' ἐν χθαμαλοῖς, καί τινα μὲν ζῶσιν ἐν τόποις ὑγροῖς, τινὰ δ' ἐν ξηροῖς, τινὰ δ' ἐν ἑκατέροις, ὡς ἡ ἰτέα. Τὰ γοῦν φυτὰ κατὰ πολὺ ἐναλλάττονται τῇ διαφορᾷ τῶν τόπων, καὶ ἐντεῦθεν χρὴ κατανοεῖν καὶ τὰς διαφορὰς αὐτῶν. Πάλιν τῶν φυτῶν τινα μὲν τῇ γῇ πεπήγασι καὶ οὐ φιλοῦσι χωρίζεσθαι ἀπ' αὐτῆς· τινὰ δ' ἐν τόποις κρείττοσι μετατίθενται. Ὁμοίως τινὲς τῶν καρπῶν κρείττονές εἰσιν ἐν τῷδε τῷ τόπῳ παρὸ ἐν ἑτέρῳ. Καί τινων μὲν φυτῶν τὰ φύλλα σκληρά εἰσι, τινῶν δε λεῖα, καί τινων μὲν ἐσχισμένα, ὡς τὰ τῶν ἀμπέλων καὶ τῶν συκῶν, τινῶν δ' οὔ· ἑτέρων δὲ κατὰ πολὺ ἐσχισμένα, ὡς τὰ τῆς πεύκης· τινὰ δὲ φυτά εἰσιν ὅλως φλοιὸς μεσιτεύων. Καί τινα ἔχουσι δεσμούς, ὡς οἱ κάλαμοι, τινὰ δ' οὔ, καί τινα ἔχουσιν ἀκάνθας, ὡς αἱ ῥάμνοι, τινὰ δ' ἐστέρηνται ἀκανθῶν, καί τινα ἔχουσι πολλοὺς κλάδους, ὡς ἡ ἀγρία μορέα, τινὰ δ' οὔ, καί τινα μὲν ἔχουσι διαφορὰς ἄλλας ἐξ ὧν προβαίνουσι παραφυάδες καὶ ἐξ ὧν οὐχί· τοῦτο δ' οὐκ ἄλλοθέν ἐστιν εἰ μὴ ἐκ τῆς διαφορᾶς τῶν ῥιζῶν. Τινὰ δ' ἔχουσι μίαν ῥίζαν, ὡς ἡ σκίλλα· αὕτη δὲ γεννᾶται ἐκ τοῦ ἐδάφους, καὶ ἀραιῶς πρόεισιν, ὅτι ὑποκάτω πλατύνεται, καὶ ἀκολουθοῦσα μᾶλλον διακρίνεται τῷ ἡλίῳ· ὅταν γὰρ προσβάλλῃ αὐτῇ, αὐξάνει· οὗτος δὲ ταύτης καὶ τὰς παραφυάδας κάτωθεν ἐκμυζᾷ.

quæ quod omnes species plantæ, quando non fuerint cultæ, silvestres fiunt. Plantarum quoque quædam faciunt fructum, et quædam non, et quædam faciunt oleum, et quædam non, et quædam faciunt folia, et quædam non; quibusdam folia cadunt, quibusdam non; quibusdam insunt rami, quibusdam non. Et diversitas plantarum in magnitudine et parvitate, et pulcritudine et deformitate, et in bonitate fructuum et in malicia est multa. Et arbores silvestres magis fructificant quam hortenses, sed fructus hortensium meliores sunt quam silvestrium. Et quædam plantarum nascuntur in locis siccis, et quædam in maribus, quædam in fluminibus, et quæ nascuntur in mari rubro, erunt illic magnæ, et in aliis locis parvæ, et quædam plantarum nascuntur in ripis fluminum, et quædam in stagnis. Sed plantarum quæ nascuntur in locis siccis, quædam nascuntur in montibus, quædam in planitie, et quædam nascuntur et vivunt in locis aridissimis, ut in terra Æthiopum, quæ dicitur Zara, et ibi melius procreantur quam alibi, et quædam vivunt in locis altis, et quædam in humido loco, et quædam in arido, et quædam vivunt in utroque, ut salix et atharafa. Et planta multum permutatur secundum diversitatem locorum, et ideo oportuit considerare diversitates eorum. [V] Et planta terræ affixa non separatur ab ea. Quidam quoque loci meliores sunt quibusdam. Similiter fructuum quidam meliores sunt in uno loco quam in alio. Et quarundam plantarum folia sunt aspera, et quarundam lævia; quarundam quoque parva sunt folia, quarundam scissa, ut folia vitis, et quædam habent unum corticem, ut ficus, quædam multos, ut pineæ; quædam vero plantæ sunt totæ cortex, ut mediannus. Et quædam habent nodos, ut canne, et quædam spinas, ut alaz, i. e. rhamnus. Et quædam carent ramis, et quædam habent ramos multos, ut morus silvestris, et quædam habent diversitates multas, ut sunt ex quibus prodeunt surculi, et ex aliis non, et non erit hoc nisi ex diversitate radicum, et quædam habent tantum unam radicem, ut squilla, quia illa nascitur in solo ramo, proceditque solum inferius dilatando se, et quanto magis creverit solique accesserit, augebitur, quia sol surculos elicit.

CAP. XIV.

Πάλιν τῶν χυλῶν τῶν ἐν τοῖς καρποῖς οἱ μέν εἰσι ποτοί, οἱ δ' οὐ ποτοί· καὶ ποτοὶ μὲν οἱ τῶν σταφυλῶν καὶ τῶν ῥοιῶν καὶ λοιπῶν ἄλλων πολλῶν, ἄποτοι δ' ἄλλων φυτῶν, καί τινων μέν εἰσι λιπαροί, ὡς οἱ τῆς ἐλαίας, τῆς πεύκης καὶ τῆς καρύας, τινῶν δ' οὔ, καί τινων μὲν γλυκεῖς καὶ μελιηδεῖς, ὡς τῶν φοινίκων

Succorum qui fructibus insunt, quidam sunt potabiles, ut succus uvarum, malorum granatorum, mororum et myrti; quidam vero unctuosi, ut succus olivæ et nucis pineæ; quidam dulces mellares, ut dactyli et ficus; qui-

καὶ τῶν συκῶν, καὶ τινων μὲν θερμοὶ καὶ δριμεῖς, ὡς τοῦ ὀριγάνου καὶ τοῦ σινήπιος, τινῶν δὲ πικροί, ὡς τοῦ ἀψινθίου καὶ τῆς κενταυρέας. Πάλιν τῶν καρπῶν οἱ μὲν εἰσι σύνθετοι ἐκ σαρκῶν καὶ κόκκων καὶ λεμμάτων, ὡς οἱ σικυοί, τινὲς δ' ἐκ χυμοῦ καὶ κόκκων, ὡς αἱ ῥοιαί, καί τινα μὲν τοὺς φλοιοὺς ἔχουσιν ἐκτός, τὴν δὲ σάρκα ἐντός, τινὰ δὲ τὸ ὀστοῦν ἐντὸς καὶ τὴν σάρκα ἐκτός, τινὰ δ' εἰσὶν ἐν οἷς παραυτίκα γίνεται τὸ σπέρμα καὶ τὸ περικάλυμμα ᾧ περικαλύπτεται, ὡς οἱ καρποὶ τῶν φοινίκων καὶ τῶν ἀμυγδαλῶν· τινῶν δ' οὐχί. Καί τινες καρποί εἰσι βρώσιμοι καὶ κατὰ συμβεβηκὸς ἄβρωτοι, καί τινες καρποὶ ἡμῖν μὲν ἄβρωτοι, ἄλλοις δὲ βρώσιμοι, ὡς ὁ ὑοσκύαμος καὶ ὁ ἐλλέβορος ἀνθρώποις μὲν δηλητήριον, τροφὴ δὲ τοῖς ὄρτυξιν. Πάλιν τινὲς τῶν καρπῶν εἰσιν ἐν θήκαις, ὡς οἱ κόκκοι τοῦ κυάμου, τινὲς ἐν περικαλύμματι καὶ ἐν λέμματι, οἷον ὑφάσματί τινι, ὡς ἐν σίτῳ εὑρίσκεται καὶ τοῖς λοιποῖς, καί τινες μὲν ἐν σαρκί εἰσιν, ὡς οἱ τῶν φοινίκων καρποί, τινὲς δ' οἷον ἐν οἰκίσκοις, ὡς αἱ βάλανοι, ἄλλοι δ' ἐν οἰκίσκοις πολλοῖς καὶ λέμμασι καὶ ὀστράκοις, ὡς τὰ κάρυα. Καί τινες μὲν ὀξέως πεπαίνονται, ὡς οἱ καρποὶ τῆς μορέας καὶ τῆς κεράσου, τινὲς δὲ βραδέως, ὡς πάντες οἱ καρποὶ οἱ ἄγριοι, ἢ οἱ πλείονες αὐτῶν. Καί τινα μὲν φυτὰ ὀξέως προάγουσι φύλλα καὶ καρπούς, τινὰ δὲ βραδέως, καὶ τούτων τινὰ τῷ χειμῶνι ἀκολουθοῦσι πρὶν ἂν πεπανθῶσιν. Καὶ πάλιν τὰ χρώματα τῶν φύλλων καὶ τῶν καρπῶν καὶ τῶν οἷον ἐπ' αὐτοῖς ὑφασμάτων λίαν εἰσὶ διάφορα· τινὰ γὰρ τῶν φυτῶν ἐν τῇ οἰκείᾳ ὁλότητί εἰσι χλοάζοντα, καί τινα μὲν ἐκκλίνουσιν εἰς μελανίαν, τινὰ δ' εἰς λευκότητα, καί τινα εἰς ἐρυθρότητα διὰ τὴν θερμότητα τὴν ἐκκαίουσαν τὸν ἀέρα τὸν κεκραμένον μετὰ τοῦ προσγείου. Πάλιν τὰ σχήμα α τῶν καρπῶν, εἰ εἰσὶν ἄγρια, καὶ διαφόρων εἰσὶ θέσεων· οὐδὲ γὰρ πάντες οἱ καρποί εἰσι γωνιώδεις, οὐδὲ πάντες διὰ γραμμῆς εὐθείας.

dam calidi et acuti, ut origani et sinapis, et quidam amari, ut absinthium et centaurea. Fructuum quidam sunt compositi ex carne et osse et grano, ut pruna; quidam ex carne et grano, ut cucumeres, et quidam ex humore et grano, ut mala granata, et quidam corticem habent exterius et carnem interius, et quidam carnem exterius et granum interius, et quidam, in quibus statim fit semen cum cooperculo quo operiuntur, ut dactyli et amygdali; quidam vero non sic. Sed fructus comestibiles et incomestibiles sunt per accidens, et quosdam fructus quidam comedere possunt, quidam vero non, et quosdam quædam animalia comedunt, quædam vero non. Fructuum iterum quidam sunt in siliquis, ut grana; quidam in coopertura et tela, ut triticum; quidam in carne, ut dactyli, et quidam in casta, ut belotæ glandes, et quidam in castis multis et tela et testa, ut nuces. Et quidam cito maturantur, ut mora et cerasa, et quidam tarde, ut omnes fructus silvestres, vel plures eorum. Et plantæ quædam cito folia producunt et fructus, quædam tarde, et earum quædam hiemem consequuntur antequam maturescant. Sed colores fructuum et florum valde sunt diversi, et planta quædam cum totalitate sua est viridis, et quædam declinat ad nigredinem, quædam ad albedinem, quædam ad rubedinem. Sed et figura fructus, si fuerit silvestris, est diversorum modorum, quia non omnes fructus sunt angulosi, nec omnes sunt super rectam lineam.

CAP. XV.

Πάλιν τῶν ἀρωματοφόρων δένδρων τινῶν μὲν ἡ ῥίζα ἀρωματική ἐστιν, τινῶν ὁ φλοιός, τινῶν τὸ ξύλον, ἄλλων τὰ μέρη ὅλα εἰσὶν ἀρωματικά, ὡς τὸ βάλσαμον.

[VI] Arborum aromaticarum quarundam radix aromatica est, quarundam cortex, querundam flos, quarundam lignum, aliarum ro omnes partes aromaticæ, ut balsami.

CAP. XVI.

Πάλιν τῶν δένδρων τὰ μὲν γεννῶνται ἐκ σπέρματος, τὰ δὲ δι' ἑαυτῶν, καὶ πάλιν τὰ μὲν ἀπὸ ῥιζῶν ἐκσπῶνται καὶ μεταφυτεύονται, τὰ δ' ἐκ τοῦ φιτροῦ, τὰ δ' ἐκ τῶν κλάδων, ἢ ἀπὸ τοῦ σπέρματος, καί τινα μὲν δι' ἑαυτῶν κατὰ μικρὸν ἐκτείνονται, τινὰ δ' ἐν τῇ γῇ, καί τινα μὲν ἐν τοῖς δένδροις φυτεύονται, ὡς τὰ ἐγκεντριζόμενα. Ἔστι δὲ βελτίων ὁ ἐγκεντρισμὸς ὁμοίων εἰς ὅμοια· ἔστι δὲ καὶ ἀναλογία ἄλλη τις, δι' ἧς ἀρίστως συμβαίνουσι τὰ ἀνόμοια, ὡς αἱ μηλέαι μετὰ τῶν

Et quædam arbores nascuntur plantatæ, quædam ex semine, quædam vero per se, plantatæ siquidem vel a radice evelluntur, vel a stipite, vel a ramis, vel a semine, vel tota transfertur, quædam vero parum contusæ; quædam iterum in terra, quædam in arboribus plantantur, ut insitæ. Est quoque melior insitio similium in similia et proportionalia : talia enim optime proveniunt, ut mali in

ὀχνῶν· ἐν δὲ τοῖς ὁμοίοις. ὡς συκῆ ἐν συκῆ καὶ ἄμπελος ἐν ἀμπέλῳ καὶ ἀμυγδαλῆ ἐν ἀμυγδαλῆ. Ἔστι δὲ καὶ ἄλλος ἐμφυλλισμὸς ἐν ἄλλοις διαφόροις γένεσιν, ὡς ἀρτεμισία εἰς ἀγρίαν ἀρτεμισίαν καὶ καλλιέλαιος εἰς ἀγριέλαιον καὶ ἡ μορέα εἰς πολλὰ δένδρα, τῶν δένδρων πάλιν τὰ ἄγρια καὶ τὰ κηπαῖα. Καὶ πᾶν φυτὸν οὐ προάγει σπέρμα ὅμοιον τῷ σπέρματι ἐξ οὗ ἀνεφύη ἕκαστον· τινὰ γὰρ κρεῖττον σπέρμα ποιοῦσι, τινὰ χεῖρον, καὶ ἔκ τινων κακῶν σπερμάτων καλὰ δένδρα προβαίνουσιν, ὡς τὰ ἐξ ἀμυγδαλῆς πικρᾶς καὶ ῥοιᾶς ὀξώδους. Τινῶν δένδρων πάλιν σπέρμα ἂν ἀσθενὲς γένηται, ἐκλείπει τὸ γενέσθαι καλὰ αὐτά, ὡς αἱ πεῦκαι καὶ οἱ φοίνικες. Οὐ προέρχονται δὲ ῥᾳδίως ἐκ σπέρματος κακοῦ καλὰ δένδρα, οὐδ' ἐκ σπέρματος ἀγαθοῦ κακὰ δένδρα· τὸ δ' ἐκ πονηροῦ γενέσθαι ἀγαθόν, καὶ τὸ ἐναντίον, ἐν τοῖς ζῴοις πολλάκις εὑρίσκεται.

pirum, et ficus in ficum, et vitis in vitem. Et quandoque fit insitio in diversis generibus, ut artemisiæ in adul silvestri, et olivarum in botam, et mori in multas arbores, arborumque silvestrium in hortenses. Et non omnis planta producit semen simile semini a quo orta est: quædam enim melius faciunt, quædam pejus, et a quibusdam malis seminibus bonæ arbores proveniunt, ut ex amygdalis amaris et malis granatis. Quarundam iterum semen, quum debiles fuerint, deficit, ut pinus et palmæ. Et non provenit de facili ex semine malo planta bona, nec ex bono semine arbor mala; ceterum in animali multociens hæc contingunt.

CAP. XVII.

Πάλιν δένδρον τὸ ἔχον σκληρὸν λίαν τὸν φλοιὸν στεῖρον ἀποκαθίσταται· ἐὰν δὲ σχισθῇ ἡ ῥίζα αὐτοῦ καὶ τῇ σχισμῇ λίθος ἐμβληθῇ, εὔφορον γίνεται. Ἐν δὲ τοῖς φοίνιξιν ἂν φύλλα, ἢ ψῆνες, ἢ φλοιὸς τοῦ ἄρρενος φοίνικος τοῖς φύλλοις τοῦ θήλεος συντεθείη, ἵνα πως συναφθῶσι, ταχέως πεπαίνονται οἱ καρποί, κωλύεται δὲ καὶ ἡ πτῶσις αὐτῶν. Διακρίνεται δ' ὁ ἄρρην ἀπὸ τοῦ θήλεος, ὅτι πρώτως βλαστάνουσι τὰ τούτου φύλλα, ἃ εἰσι παρὰ τὰ τοῦ θήλεος μικρότερα, ἀλλὰ καὶ διὰ τῆς εὐωδίας· ἀλλαχοῦ δ' ἔκ τινος τούτων, ἢ ἐκ πάντων συμβαίνει. Τυχὸν δὲ καὶ εἰ ἐκ τῆς εὐωδίας τοῦ ἄρρενος ἐπαγάγῃ τι ἄνεμος πρὸς τὸν θῆλυν, πεπαίνονται καὶ οὕτως οἱ καρποί, ὥσπερ ὁπόταν τὰ φύλλα τοῦ ἄρρενος τῷ θήλει ἀπαιωρῶνται. Συκαῖ ὡσαύτως ἄγριαι εἰς τὴν γῆν ἐξαπλωθεῖσαι συμβάλλονται τὰ πολλὰ ταῖς κηπαίαις συκαῖς. Τὰ βαλαύστια ταῖς ἐλαίαις συμβάλλουσιν, ὅταν ὁμοῦ φυτεύωνται. Πάλιν τῶν φυτῶν τινα μεταλλάττονται, ὡς φασίν, εἰς ἄλλο εἶδος, ὡς ἡ καρύα, ὅταν γηράσῃ. Λέγουσι πάλιν ὡς ἡ καλαμίνθη μεταβάλλεται εἰς ἡδύοσμον· καὶ τὸ τράγιον δὲ τμηθὲν καὶ φυτευθὲν παρὰ τὴν θάλασσαν τυχὸν ἔσται σισύμβριον. Φασὶ πάλιν ὡς ὁ σῖτος καὶ τὸ λίνον μεταβάλλονται εἰς ἕτερον εἶδος. Βελένιον δὲ τὸ δηλητηριῶδες, τὸ γινόμενον ἐν τῇ Περσίδι, μεταφυτευόμενον ἐν Αἰγύπτῳ, ἢ ἐν Παλαιστίνῃ, γίνεται βρώσιμον. Ὡσαύτως ἀμυγδαλῆ καὶ ῥοιὰ μεταβάλλονται ἀπὸ τῆς ἰδίας κακίας διὰ γεηπονίαν εἰς τὸ χρηστότερον. Ἀλλ' αἱ ῥοιαὶ μέν, χοιρείας κόπρου ἐμβεβλημένης ταῖς ῥίζαις καὶ δι' ὕδατος γλυκέος καὶ ψυχροῦ ποτιζόμεναι, βελτιοῦνται· ἀμυγδαλαῖ δ' ἥλων ἐμπηγνυμένων αὐταῖς, καὶ κόμμεως διὰ πολλοῦ καιροῦ ἐντεῦθεν ἐκβαλλομένου. Πολλὰ δὲ φυτὰ ἄγρια διὰ ταύτης τῆς ἐπιτεχνήσεως γίνονται κηπαῖα. Τόπος δὲ καὶ γεηπονία σφόδρα τούτοις συμβάλλονται, καὶ μᾶλλον ὁ τοῦ ἔτους καιρός, οὗ χρήζουσι μᾶλλον οἱ φυτευταί. Πάλιν τῶν φυτῶν τὰ

Arbor quoque durum corticem habens, sterilis effecta, si findatur radix ejus, et fissuræ illi lapis immittatur, rursus fiet fructifera. In palmis quoque si folia, vel pulvis foliorum, vel cortex masculæ palmæ foliis femineæ palmæ apponantur, ut coeant, cito maturabuntur fructus ejus, prohibebitque casum eorum. Discernitur quidem masculus a femina, quia prius pullulat, foliaque ejus parva sunt, et per odorem, ex quibusdam horum, vel omnibus. Contingetque forte, quod ventus deferet odorem masculi ad feminam, maturabunturque dactyli ejus, simulque cohærebunt, quando folia masculi inter illa fuerint apprehensa. Ficus quoque silvestres in terram expansæ conferunt ficubus hortensibus. Balaustia similiter conferunt olivis, quum simul plantantur. [VII] Item plantarum quædam transmutantur in aliam speciem, ut nux, quum inveterata fuerit. Dicitur quoque, quod calamentum transmutatur in mentam, terugenaque abscissa et plantata secus mare viride fortasse fiet sesebram. Triticum quoque et linum transmutantur in seilam. Belenum quoque perniciosum natum in Persia transmutatur, et transplantatum in Ægyptum et in Jerusalem factum est comestibile. Amygdalæ quoque et mala granata mutantur a malitia tua per culturam. Sed mala granata, stercore porcino fimata et aqua dulci frigida rigata, meliorantur. Sed amygdali quoque clavis confixæ gummi per multum tempus emittunt. Multæque plantæ silvestres per hoc artificium fiunt hortenses. Locus vero et labor huic rei conferunt, et maxime tempus anni in quo plantatur. Plantarum quoque quædam indigent plantatore, quædam non. Plantantur quoque plurimæ in vere,

πλείονα φυτεύονται ἐν ἔαρι, ὀλίγα ἐν χειμῶνι καὶ φθινοπώρῳ, καὶ ὀλίγιστα ἐν θέρει μετὰ τὴν ἐπιτολὴν τοῦ κυνάστρου· ἐν ὀλίγοις δὲ τόποις γίνεται ἡ τοιαύτη φυτεία, καὶ οὐδέποτε γίνεται εἰ μὴ ἀραιῶς ἐν τῇ Ῥώμῃ κατὰ τήνδε τὴν ὥραν· ἐν Αἰγύπτῳ δ' οὐ γίνεται ἡ φυτεία εἰ μὴ ἅπαξ τοῦ ἐνιαυτοῦ.

paucæ in hieme et autumno, paucissimæ in æstate post ortum stellæ caniculæ : in paucis enim locis fit plantatio hoc tempore, et nusquam fit nisi in Coruma hac hora; sed in Ægypto non fit plantatio nisi semel in anno.

CAP. XVIII.

Πάλιν τινὰ τῶν φυτῶν ἐκ τῶν οἰκείων ῥιζῶν φύλλα προβάλλονται, τινὰ ἐκ τῶν οἰκείων κόμμεων ἢ ἐκ τῶν οἰκείων ξύλων, καί τινα μὲν πλησίον τῆς γῆς, τινὰ δὲ πόρρω, τινὰ ἐν μέσῳ. Καί τινα μὲν ἅπαξ τοῦ ἐνιαυτοῦ καρποφοροῦσι, τινὰ δὲ πλειστάκις, ἀλλ' οὐ πεπαίνονται οἱ καρποὶ αὐτῶν, ἀπομένουσι δ' ὠμοί. Καί τινα δένδρα εἰσὶν εὔφορα διὰ πολλῶν χρόνων, ὡς αἱ συκαῖ· τινὰ ἐν ἑνὶ καρποφοροῦσιν ἔτει, ἐν δὲ τῷ ἑτέρῳ ἀνακτῶνται ἑαυτά, ὡς αἱ ἐλαῖαι πολλοὺς κλάδους προβαλλόμεναι οἷς καὶ περικαλύπτονται. Καί τινα μὲν τῶν φυτῶν εὐφορώτερά εἰσιν ἐν γήρᾳ, τινὰ δ' ἐκ τοῦ ἐναντίου μᾶλλον καρποφοροῦσιν ἐν νεότητι, ὡς ἀμυγδαλαῖ καὶ ὄχναι καὶ αἴγειροι. Ἡ διαφορὰ δὲ τῶν φυτῶν τῶν ἀγρίων καὶ τῶν κηπαίων διακρίνεται δι' ἀρρένων καὶ θηλέων, ὁπόταν ἕκαστον αὐτῶν γνωρισθείη διὰ τῶν ἰδιωμάτων τῶν εὑρισκομένων ἐν αὐτοῖς, ὅτι τὸ μὲν ἄρρεν ἐστὶ πυκνότερον, σκληρότερον καὶ πολυκλωνότερον, ἧττον ὑγρόν, καὶ ταχύτερον εἰς πέπανσιν, καὶ φύλλα ἔχον διάφορα καὶ παραφυάδας· τὸ δὲ θῆλυ ἐπ' ἔλαττον ἔχει ταῦτα.

Quædam arbores ex suis radicibus folia producunt, quædam ex suis gemmis, quædam ex suo ligno, quædam ubique; quædam prope terram, quædam longe, quædam in medio; quædam quoque diversis temporibus folia pauca. Et quædam in anno semel fructificant, quædam pluries, et non maturantur fructus earum, sed remanent crudi. Et quædam multum fertiles sunt per multa tempora, ut ficus; et quædam uno anno fructifiant, altero reficiuntur, ut olivæ, licet multos ramos producant, quibus cooperiuntur. Quædam in juventute fertiliores sunt quam in senectute; quædam e converso melius fructificant [*in senectute*], ut amygdali, piri et ilex. Diversitas quoque plantarum silvestrium et hortensium discernitur per masculos suos et feminas, quoniam quamlibet earum cognoscunt per proprietatem inventam in eis, quia masculus spissior, durior, ramosior, minus humorosus, fructus brevior, minus maturabilis, folia diversa, et similiter surculi.

CAP. XIX.

Δεῖ τοίνυν, ὅταν κατανοήσωμεν ταῦτα, πάλιν στοχάσασθαι, πῶς ἂν γνοίημεν τὰ δένδρα καθ' αὑτὰ καὶ τὰ γένη καθ' αὑτά, καὶ περὶ τῶν βοτανῶν ὡσαύτως, πῶς ἂν κατανοήσωμεν ἃ εἶπον οἱ παλαιοί. Πῶς; ἐὰν ἐπιμελῶς σκοπήσωμεν τὰς βίβλους αὐτῶν ἃς ἔγραψαν, καὶ δυνηθείημεν διερευνῆσαι τούτων τὸν μυελὸν ἐρεύνῃ συνοπτικῇ, καὶ γνωρίσαι βοτάνας τὰς ἐλαιώδεις καὶ βοτάνας τὰς σπέρμα μόνον ἐχούσας, καὶ τὰς βοήθειαν χορηγούσας, καὶ τὰς ἰατρικὰς καὶ τὰς φθοροποιούς· ὡσαύτως καὶ τὰ δένδρα μετὰ τῶν βοτανῶν. Πρὸς δὲ τὸ μαθεῖν καὶ τὰς αἰτίας αὐτῶν ὀφείλομεν ζητῆσαι τὴν γένεσιν τούτων, πῶς τινα μὲν γεννῶνται ἔν τισι τόποις, ἐν ἄλλοις δ' οὔ· ἔτι δὲ καὶ τὰς φυτείας αὐτῶν, καὶ τὰς ῥίζας, καὶ τὰς διαφορὰς τῶν χυλῶν καὶ τῶν ὀδμῶν καὶ τοῦ γάλακτος καὶ τοῦ κόμμεως, καὶ τὴν χρηστότητα καὶ τὴν κακίαν ἑκάστων, καὶ τὰς διαμονάς, πῶς τινων μὲν διαμένουσιν οἱ καρποί, τινῶν δ' οὔ, καὶ δι' ἣν αἰτίαν τινῶν μὲν σήπονται συντόμως, τινῶν δὲ βραδέως, ἐρευνῆσαί τε καὶ τὰς ἰδιότητας τῶν φυτῶν, καὶ μᾶλλον τῶν ῥιζῶν· καὶ πῶς τινῶν μὲν καρποὶ μαλθάσσονται, τινῶν δ' οὔ· καὶ πῶς τινες ἀφροδίτην προκα-

Oportet ergo, quando consideramus hæc, conjecturas facere, ut cognoscamus arbores per se et grana per se, et similiter in herbis minutis. Et consideremus, quæ dixerunt in his antiqui, et inspiciamus libros eorum de his scriptos, et nos poterimus perscrutari eorum medullam perscrutatione compendiosa, et est, quod considerabimus herbas oleares, et herbas semina facientes, et plantas vinales, et plantas medicinales, et plantas interficientes. Et hæc omnia nota sunt de arboribus et plantis; sed ad sciendum causas earum, debemus inquirere generationem earum, quare quædam earum nascuntur in quibusdam locis, et in quibusdam non, et quibusdam temporibus, et quibusdam non; et plantationes earum, et radices earum, et diversitatem succorum et odorum et lactis et gummi, et bonitatem et maliciam singulorum, et durationem quorundam fructuum, et quorundam non, quare quidam cito putrefiant, quidam tardius. Et inquiramus proprietates omnium plantarum, et maxime radicum, et quare quidam fructus mollescunt, quidam non, et quare quidam vene-

λοῦνται, τινὲς δ' ὕπνον, τινὲς δὲ καὶ διαφθείρουσι, καὶ πολλὰς ἄλλας διαφοράς· καὶ πῶς τινων μὲν οἱ καρποὶ ποιοῦσι γάλα, τινῶν δ' οὔ.

rem provocant, quidam somnum, quidam interficiunt, et multas alias diversitates, quare quarundam fructus faciunt lac, quarundam non.

LIBER II.

CAP. I.

Τὸ δένδρον τρεῖς ἔχει δυνάμεις, πρώτην ἐκ τοῦ γένους τῆς γῆς, δευτέραν ἐκ τοῦ γένους τοῦ ὕδατος, τρίτην ἐκ τοῦ γένους τοῦ πυρός· ἀπὸ τῆς γῆς γάρ ἐστιν ἡ ἔκφυσις τῆς βοτάνης, ἀπὸ τοῦ ὕδατος ἡ σύμπηξις, ἀπὸ τοῦ πυρὸς ἡ ἕνωσις τῆς συμπήξεως τοῦ φυτοῦ. Βλέπομεν δὲ πολλὰ τούτων καὶ ἐν τοῖς ὀστρακώδεσιν· εἰσὶ γὰρ ἐν τούτοις τρία, πηλός, ἐξ οὗ γίνεται πλίνθος ὀστρακώδης, δεύτερον ὕδωρ, ὅπερ ἐστὶ τὸ στερεοῦν τὰ ὀστρακώδη, τρίτον τὸ πῦρ τὸ συνάγον τὰ μέρη αὐτοῦ, ἕστ' ἂν δι' αὐτοῦ πληρωθείη ἡ τούτου γένεσις. Ἡ φανέρωσις γοῦν ὅλης τῆς ἑνώσεως τούτων ἀπὸ τοῦ πυρός ἐστιν, ὅτι ἀραιότης ἔνεστι τοῖς ὀστρακώδεσι κατὰ τὰ ἴδια μέρη, καὶ ὁπόταν μίξῃ ταῦτα τὸ πῦρ, τελειοῦται ἡ ὕλη τοῦ ὑγροῦ, καὶ συγκολλῶνται τὰ μέρη τοῦ πηλοῦ, προέρχεταί τε ξηρότης ἐν τῷ τόπῳ τοῦ ὑγροῦ, καὶ διὰ τὴν ἐπικράτειαν ἕπεται πέψις ἐν παντὶ ζῴῳ καὶ φυτῷ καὶ μετάλλοις· πέψις γάρ ἐστιν, ὅπου ὑγρότης καὶ θερμότης ἰδίῳ πέρατι ἀκολουθεῖ. Ἔστι δὲ τοῦτο ἐν τῇ πέψει τοῦ λίθου καὶ τῶν μετάλλων ἐκφανές· ἐν τῷ ζῴῳ δὲ καὶ τῷ φυτῷ οὐχ οὕτως, ὅτι τούτων τὰ μέρη οὐκ εἰσὶ συμπεπηγότα εἰς ἓν ὡς τοῖς λίθοις, καὶ ὅτι ἐκ τούτων καταρροή τις προβαίνει. Ἐκ δὲ τῶν λίθων καὶ τῶν μετάλλων οὐκ ἔξεισι καταρροή, ἤ τις ἱδρώς· τὰ γὰρ μέρη αὐτῶν οὐκ εἰσὶν ἀραιά, κἀντεῦθεν οὐδέ τινα ἀπ' αὐτῶν ἐξέρχονται, ὡς ἀπὸ τοῦ ζῴου καὶ τοῦ φυτοῦ, περιττώματα. Οὐδὲ γίνεται ἔξοδός τις ἄλλη [ἢ] ἀπὸ τῆς ἀραιότητος· ἐν ᾧ γὰρ ἀραιότης οὐκ ἔστιν, ἀπ' αὐτοῦ παντελῶς οὐδέν τι ἐξέρχεται. Διὰ τοῦτο στερεόν ἐστιν, εἰς ὃ αὐξάνεσθαί τι οὐ πέφυκεν· καὶ γὰρ τὸ αὐξάνεσθαι πεφυκὸς δεῖται τόπου, ἐν ᾧ ἂν πλατυνθείη καὶ περατωθείη· λίθοι δὲ καὶ ὄστρακα καὶ τὰ τοιαῦτα ἀεί εἰσιν ἐν ταὐτῷ, οὔτ' αὐξάνουσιν, οὔτ' ἐκτείνονται· πάλιν τοῖς φυτοῖς δευτέρῳ τρόπῳ ἔνεστι κίνησις, ἔστι καὶ ἐφέλκυσις, ἥ τίς ἐστι δύναμις ἐκ τῆς γῆς ἐφελκομένη τὸ ὑγρόν· ἔστι δὲ τῇ ἐφελκύσει κίνησις ἥ τις ἔρχεται εἰς τόπον, καὶ τελειοῦταί πως ἡ πέψις. Καὶ διὰ τοῦτο, ὡς ἐπὶ τὸ πλεῖστον, αἱ μικραὶ βοτάναι μιᾷ ὥρᾳ μιᾶς ἡμέρας γεννῶνται, οὐκ ἔστι δὲ τοῦτο καὶ ἐν τοῖς ζῴοις· ἡ γὰρ ὕλη ἐν τοῖς ζῴοις ἐστὶ καθ' ἑαυτὴν καὶ διῃρημένη· οὐκ ἔστι δ' οὐδ' ἡ πέψις εἰ μὴ ἐν χρήσει μάλιστα καὶ αὐτῇ. Ἡ ὕλη δὲ τοῦ φυτοῦ τούτῳ ἐστὶ πλησίον, καὶ διὰ τοῦτο ὀξυτέρα ἐστὶν ἡ τούτου γένεσις, γεννᾶται δὲ καὶ αὐξάνει καὶ ὅπερ

Planta tres habet vires, primam ex genere terræ, secundam ex genere aquæ, tertiam ex genere ignis: a terra enim fixio est plantæ, ab aqua coagulatio, ab igne coadunatio fixionis plantæ. Videmusque multa ex his in fictilibus: sunt enim in his tria: lutum, quod est quasi cementum fictilis; secundum est aqua, quæ est qua uniuntur fictilia; tertium ignis, qui congregat partes illius, donec per ipsum compleatur generatio ejus. Apparitio igitur totius conjunctionis ab igne est, quia raritas inest fictilibus secundum partes suas, et quando usserit illas ignis, finietur materia humoris, et cohærebunt partes luti, provenietque siccitas loco humoris propter victoriam et digestionem in omni animali et planta et minera: digestio enim est, ubi humor est et calor, quando terminum consequuntur; eritque in digestione lapidum et minerarum. In animali vero et planta non sic, quia partes eorum non sunt compactæ, unde et ab eis fluxus venit; sed in mineris non est fluxus, nec sudor, quia partes earum non sunt raræ, et ideo nihil ab ipsis præter ipsa egreditur, ut ab animali et planta superflua quædam. Nec fit exitus nisi ex raritate: in quo ergo raritas non est, ab eo nihil omnino egreditur. Ideoque solidum est quod augeri non potest, quia quod augeri potest, indiget loco in quo dilatetur et crescat, ideoque lapides, sales, terra, unius modi sunt semper, nec augentur, nec crescunt; plantæ vero secundo modo inest motus, et est attractio, quæ est vis terræ quæ attrahit humorem, eritque in attractione motus, venitque ad locum, finiturque quodammodo digestio. Et ideo utplurimum herbæ minutæ in una hora unius diei generantur, non sicut animal: natura enim animalis a se diversa est: non enim erit digestio nisi in usu materiæ ab animali. Sed materia plantæ illi est vicina, et ideo velox est ejus generatio, nasciturque et crescit quod subtile est, citius quam spissum:

μᾶλλόν ἐστι λεπτὸν ἐν αὐτῷ παρὰ τὸ πυκνόν· τὸ γὰρ πυκνὸν πολυτρόπων δεῖται δυνάμεων διά τε τὴν διαφορὰν τοῦ οἰκείου σχήματος καὶ διὰ τὸ μῆκος τῶν μερῶν αὐτοῦ πρὸς ἄλληλα. Κἀντεῦθεν ὀξυτέρα καὶ φυτοῦ γένεσις, διὰ τὴν λεπτότητα ἑτέρου πρὸς ἕτερον, καὶ ταχυτέρα ἡ τελείωσις. Τὰ μέρη τῶν φυτῶν, ὡς ἐπὶ τὸ πλεῖστον, εἰσὶν ἀραιά, ὅτι ἡ θερμότης αὐτῶν τὴν ὑγρότητα πρὸς τὰ ἄκρα τῶν φυτῶν ἐφέλκεται, διασπείρεταί θ' ἡ ὕλη ἡ θρεπτικὴ εἰς ὅλα τὰ μέρη αὐτῶν· ὃ δὲ περιττεύει, ἐκχεῖται. Ὥσπερ δ' ἐν τοῖς βαλανείοις ἡ θερμότης τὴν ὑγρότητα ἐφέλκεται καὶ ταύτην εἰς ἀτμίδα μεταστρέφει, αὕτη δὲ κουφιζομένη, ὁπόταν περιττεύσῃ, μεταβάλλεται εἰς σταγόνας, οὕτω καὶ ἐν τοῖς ζῴοις καὶ ἐν τοῖς φυτοῖς τὰ περιττώματα ἀναβαίνουσιν ἀπὸ τῶν κατωτέρων εἰς τὰ ἀνώτερα, καὶ καταβαίνουσιν ἀπὸ τῶν ἀνωτέρων εἰς τὰ κατώτερα.

spissum enim multis indiget viribus propter diversitatem suæ figuræ et elongationem partium ejus ab invicem. Et ideo velox est generatio propter similitudinem alterius ad alterum, citiusque completum est. Partes autem plantarum secundum plurimum sunt raræ, quia calor humorem ad extremitatem plantæ trahit, dispergiturque materia per omnes partes ejus, et quod superfluit, emanabit. Ut in balneo calor humorem attrahit, et in vaporem convertit, qui elevatur, et quando superfluus fuerit, vertetur in guttas, similiter quoque in animali et planta superfluitates ascendunt ab inferioribus ad superiora, et descendunt a superioribus ad inferiora in actionibus suis.

CAP. II.

Τοιουτοτρόπως δὲ καὶ οἱ ποταμοὶ οἱ ὑπὸ τὴν γῆν γεννῶνται ἀπὸ τῶν ὀρέων· ὕλη γὰρ αὐτῶν εἰσιν οἱ ὑετοί, καὶ ὅταν πληθυνθῶσι τὰ ὕδατα καὶ στενοχωρῶνται ἐντός, γίνεται ἐκ τούτων ἀτμὶς περιττή, ἥ τις διὰ τὸν ἐντὸς συμπιεσμὸν σχίζει τὴν γῆν, καὶ οὕτω φαίνονται πηγαὶ καὶ ποταμοὶ οἱ πρότερον μὴ φαινόμενοι, ἀλλ' ἐγκεκρυμμένοι τυγχάνοντες. Ἐκτεθείκαμεν δ' αἰτίας περὶ τῆς γενέσεως τῶν πηγῶν καὶ τῶν ποταμῶν ἐν τῷ ἡμετέρῳ βιβλίῳ τῷ περὶ μετεώρων, ἐν ᾧ εἴπομεν καὶ περὶ σεισμῶν, ὅτι πολλάκις δεικνύουσιν οὗτοι πηγὰς καὶ ποταμούς, οἳ πρότερον οὐκ ἐφαίνοντο, οἷον ὅτε σχίζεται ἡ γῆ ἐκ τῆς ἀναθυμιάσεως. Πολλάκις δ' εὑρίσκομεν ὅτι καὶ πηγαὶ καὶ ποταμοὶ συζεύγνυνται, ὅτε γίνεται σεισμός· τοῦτο δὲ τῷ φυτῷ οὐ συμβαίνει, ὅτι ἀὴρ ἐν τῇ ἀραιότητι τῶν μερῶν αὐτοῦ ἐστιν. Καὶ τοῦδε πάλιν σημεῖον· οὐδὲ σεισμὸς οὐδ' ἐν τοῖς τόποις τοῖς ψαμμώδεσι πέφυκε γίνεσθαι, ἀλλ' ἐν τόποις πυκνοῖς καὶ σκληροῖς, ὁποῖοί εἰσιν οἱ τῶν ὑδάτων καὶ τῶν ὀρέων· καὶ γὰρ συμβαίνει σεισμὸς ἐν τοῖς τόποις τούτοις, ὅτι τὸ ὕδωρ ἐστὶ στερρὸν καὶ οἱ λίθοι στερροί· τῇ φύσει δὲ τοῦ ἀέρος τοῦ θερμοῦ καὶ ξηροῦ ἔνεστι τὸ ἀναβαίνειν ἐκ τῆς κουφότητος. Ὅταν γοῦν συνέλθωσι τὰ μέρη αὐτοῦ καὶ κατακυριεύσωσι, συνωθοῦσι τὸν τόπον, καὶ ἐντεῦθεν ἐξέρχεται ἀπ' αὐτοῦ βιαία ἀναθυμίασις. Ἐὰν δ' ὁ τόπος ἦν ἀραιός, οὐκ ἂν ἐξήρχετο οὕτως, ἀλλ' ὡς ἐπὶ τῆς ψάμμου συμβαίνει· ἐξέρχεται γὰρ καὶ ἐντεῦθεν ἀναθυμίασις, ἀλλὰ κατὰ βραχύ, καὶ διὰ τοῦτο οὐ γίνεται σεισμός. Ἁπλῶς οὖν ἐν τοῖς στερεοῖς πᾶσι τοῦτο οὐ συμβαίνει, λέγω τὸ κατὰ βραχὺ τὸν ἀέρα ἐξέρχεσθαι· συναγόμενα γὰρ τὰ μέρη τούτου δύνανται τὴν γῆν σχίζειν, καὶ τοῦτ' ἐστὶν αἰτία τοῦ σεισμοῦ ἐν σώμασι στερεοῖς, ἐν τοῖς μέρεσι δὲ τῶν φυτῶν καὶ τῶν ζῴων σεισμὸς οὐ γίνεται, ἀλλ' ἐν ἄλλοις πᾶσι, καὶ πλειστάκις ἔν τε τοῖς ὀστρακώδεσι καὶ ἐν ὑέλῳ καὶ λοιποῖς μετάλλοις· ἐν ᾧ γὰρ σώματί ἐστι

Et eodem modo fluvii, qui sub terra generantur a montibus, materiaque eorum pluvie sunt. Quando ergo multiplicantur aquæ, et constrictæ interius fuerint, fiet ex eis vapor superfluus propter compressionem interius, scindetque terram, et apparebunt fontes et flumina, quæ prius cooperta erant. [II.] Præmisimus autem generationes fontium et fluviorum in libro Meteororum. Et terræ motus ostendunt sæpe fontes et flumina, quæ prius non apparuerant, quando scinditur terra ex vapore. Sæpe etiam invenimus fontes et flumina submergi, quando fiunt terræ motus; sed hoc plantæ non contingit, quia aer est in raritate partium ejus. Signum autem est, quod terræ motus in arenosis locis non fit, sed in locis duris, quæ sunt loca aquarum et montium. Similiter quoque ascendit terræ motus in eis, quia aqua est solida lapidesque solidi, naturaque aeris calidi et sicci est ascendere. Quum ergo convenerint ejus partes, corroboratur, impelletque locum, exitque ab eo ille vapor, qui, si locus rarus esset, exiret vapor primitus paulatim; sed quia solidus, hoc ei non evenit, ut paulatim exiret, congregatisque partibus suis, potuit terram scindere. Hoc ergo est causa terræ motus in corporibus solidis, et ideo in partibus plantæ et animalis terræ motus non erit, in aliis vero erit, multotiensque in fictilibus et in vitro et in mineris alicubi; sed cujus fuerit multa raritas,

πολλὴ ἀραιότης, ἔθος καὶ τὴν ἀναθυμίασιν ἀναβαίνειν· ὑποκουφίζει γὰρ αὐτὴν ὁ ἀήρ. Καὶ συχνάκις τοῦτο βλέπομεν, ὅταν βάλλωμεν χρυσὸν εἰς τὸ ὕδωρ, ἢ ἄλλο τι βαρύ, καὶ παραυτίκα βυθίζεται· καὶ πάλιν ὅταν βάλλωμεν ξύλον ἀραιόν, ἢ βραχύ, καὶ ἐπιπλέει, καὶ οὐ βυθίζεται. Ὅθεν οὐ διὰ τὰ φύλλα οὐ καταδύεται τὸ καταδυόμενον πολλάκις ξύλον, οὐδὲ διὰ τὸ ὑποκείμενον τὸ βαρύ, ἀλλ' ὅτι τὸ μὲν ἐστι στερρὸν καὶ πυκνόν, τὸ δ' ἀραιόν· τὸ δ' ἀραιὸν παντάπαν οὐ βυθίζεται· ἔβενος δὲ καὶ τὰ αὐτῷ παραπλήσια βυθίζονται, ὅτι μικρά ἐστιν ἐν τούτοις ἡ ἀραιότης, καὶ οὐδ' ἔστιν ἐν αὐτοῖς ἀὴρ ὁ δυνάμενος ταῦτα κουφίσαι. Καταδύονται δέ, ὅτι τὰ μέρη αὐτῶν λίαν εἰσὶ πυκνὰ καὶ στερρά· πᾶν δ' ἔλαιον καὶ πάντα τὰ φύλλα τοῦ ὕδατος ὑπερνήχονται. Καὶ τοῦτο ἤδη ἀποδεικνύομεν· ἔγνωμεν γὰρ ὅτι ἐν τούτοις ἐστὶν ὑγρότης καὶ θερμότης, καὶ ἔθος τοῦ ὑγροῦ ἐστι τοῖς τοῦ ὕδατος μέρεσι συνάπτεσθαι· ἡ δὲ θερμότης ποιεῖ ἀνάγεσθαι τὸ ὑγρόν, καθὼς παρέπεται ἐν τῷ καιρῷ τοῦ ἔαρος· ἔθος δὲ καὶ τοῦ ὕδατος τὸ κουφίζειν πάντα πρὸς τὴν ἰδίαν ἐπιφάνειαν ἕως τῆς τοῦ ἀέρος ἐπιφανείας, ὥστε ποιεῖν αὐτὸν ἀνέρχεσθαι· τὴν δ' ἐπιφάνειαν αὐτοῦ οὐχ ὑπερβαίνει τὸ ὕδωρ· ἡ γὰρ ὅλη ἐπιφάνεια αὐτοῦ μία ἐστὶ μετὰ τῆς τοῦ ἀέρος, καὶ διὰ τοῦτο ἄνεισι καὶ τὸ ἔλαιον ὑπεράνω τοῦ ὕδατος. Εἰσὶ δὲ καί τινες λίθοι οἳ τοῦ ὕδατος ὑπερνήχονται διὰ τὸ κενὸν μόνον τὸ ἐν τούτοις μεῖζον ὂν τῶν ἐν αὐτοῖς μερῶν, καὶ διὰ τὸ τὸν τόπον τοῦ ἀέρος μείζονα εἶναι τοῦ τόπου τοῦ σώματος τῆς γῆς· φύσις γάρ ἐστι τοῦ ὕδατος ὑπεράνω βαίνειν τῆς γῆς, τοῦ δ' ἀέρος τὸ ὑπεράνω βαίνειν τοῦ ὕδατος. Ἡ τοῦ ἀέρος τοίνυν φύσις τοῦ ἐγκλειομένου τῷ λίθῳ ἀναβαίνει ἐπάνω τοῦ ὕδατος, καὶ τῷ ὅλῳ ἀέρι συνάπτεται· καὶ γὰρ ἕκαστον τὸ οἰκεῖον ὅμοιον ἐφέλκεται, καὶ συνακολουθεῖ ἡ φύσις τοῦ μέρους τῷ ὅλῳ ᾧ συζεύγνυται. Εἰ τοίνυν ἔσται τις ῥαχία κούφη, τὸ μὲν ἥμισυ αὐτῆς καταδύσεται ἐν ὕδατι, τὸ δὲ λοιπὸν ὑπερνήξεται, ὅτι μείζων ἐν αὐτῷ ὁ ἀὴρ τοῦ λοιποῦ σώματος τοῦ λίθου. Διὰ τοῦτο πάντα τὰ δένδρα βαρύτερά εἰσι τῶν τοιούτων λίθων. Οἱ ἐν τοῖς ὕδασι δὲ λίθοι γίνονται ἐκ τῆς συγκρούσεως τῶν ὑδάτων τῆς ἰσχυρᾶς· γίνεται γὰρ πρῶτον ἀφρός, εἶτα συμπήγνυται οὕτως οἷόν τι γάλα λιπαρόν, καὶ ὅτε τὸ ὕδωρ τῇ ψάμμῳ προστρίβεται, συναθροίζει ἡ ψάμμος τὴν λιπότητά πως τοῦ ἀφροῦ, ξηραίνει τ' αὐτὴν ἡ ξηρότης τῆς θαλάσσης μετὰ περιττῆς τῆς ἁλυκότητος, καὶ οὕτω συνάγονται τὰ μέρη τῆς ψάμμου, καὶ τῷ ἐπιμήκει τοῦ χρόνου γίνονται λίθοι.

consuevit ascendere : sublevat enim ipsum aer. Multotiens quoque hoc videmus, quum projicimus auream in aquam, vel aliud ponderosum, et mergitur statim, et projicimus lignum rarum, et non mergitur. Ergo non propter folia mergitur, nec propter ponderositatem, sed quia est solidum; sed rarum non mergitur omnino. Ebenus quoque et quæ sunt illi vicina, merguntur, quia in eis est parva raritas, unde non erit in ipso aer, qui ipsum posset extollere. Merguntur ergo : partes enim ejus ut multum solidæ sunt; sed oleum omne et folia aquæ supernatant. Id autem jam ostendimus : scimus enim, quod in his est calor et humor, et consuetudo humoris est partibus aquæ adhærere, et caloris quod facit ascendere et quod consequitur ad partes aeris, et mos aquæ quod elevat ea ad superficiem, ususque aeris ut faciat se ipsum ascendere, et ideo ad superficiem ejus non ascendit aqua, quia tota superficies aquæ una est, ideoque ascendit cum oleo super aquam. Lapides quoque quidam aquæ supernatant propter inanitatem, quæ est in eis major quam quantitas suarum partium, eritque idem locus aeris major loco corporis terræ, naturaque aquæ super terram ascendere, aeris vero super aquam. Materia ergo lapidis, quæ est ex genere terræ, mergitur in aquam, naturaque aeris inclusi in lapide ascendit super aquam. Quidlibet ergo suum simile attrahit e contrario naturæ ejus cum quo conjungitur. Si ergo mutakefia (*hoc est proportio commixta*), mergetur medietas lapidis in aquam, medietasque supereminebit; quodsi major fuerit aer, natabit lapis super aqua. Eodem modo omnes arbores ponderant. Sed lapides qui sunt ex collisione undarum forti, sunt primum spuma, coagulabunturque ut lac unctuosum, et quando unda arenæ illiditur, congregabit arena unctuositatem spumæ, siccabitque illam siccitas maris cum superflua salsedine, et congregabuntur partes arenæ, et hæ per longitudinem temporis fient lapides.

CAP. III.

Ἡ δήλωσις δ' ὅτι ἡ θάλασσα ποιεῖ καθ' ἑαυτὴν ψάμμον, οὕτως ἐστίν, ὅτι πᾶσα γῆ οὐκ ἔστι γλυκεῖα. Ὅτε οὖν στῇ ἐν αὐτῇ τι ὕδωρ, κωλύεται ὁ ἀὴρ ἀλλοιώ-

Significatio vero, quod mare sit super arenas, est quod omnes terræ sunt dulces in gustu. Et quando steterit aqua, prohibetur a sua alteratione facietque in loco illo aquam

σαι αὐτό. Ἔτι δὲ χρονίζοντος τῷ τόπῳ τοῦ ἐμπεριειλημμένου ὕδατος, ἐπεὶ οὐ δύναται τοῦτο παρομοιῶσαι ἑαυτῷ ὁ ἀήρ (κυριεύουσι γὰρ ἐν αὐτῷ τῷ ὕδατι τὰ μέρη τὰ γεώδη, ἅ εἰσιν ἁλυκά), ἀνάγκη ἐπὶ πλέον θερμανθέντα κατὰ βραχὺ καὶ ἄμφω ποιῆσαι πηλὸν ἔμφυτον. Τοῦτο δ' οὐ δύναται γενέσθαι ἐν ὕδασι γλυκεροῖς διὰ τὴν γλυκύτητα καὶ τὴν λεπτότητα αὐτῶν, ἀλλ' ἐν τοῖς ἁλμυροῖς, ὅτι κυριεύει ἐν τούτοις ἡ ξηρότης τῆς γῆς, καὶ ἢ μεταβάλλει τὸ ὕδωρ εἰς τὸ εἶδος αὐτῆς, ἢ πλησίον αὐτῆς τοῦτο ποιεῖ, καὶ ἑκάτερον ἀλλοιοῦται. Σκληρύνουσα δ' ἡ σκληρότης τῆς γῆς κατὰ τὴν δύναμιν τῆς συμπήξεως αὐτῆς τὴν ὑπόστασιν τοῦ ὕδατος, διαιρεῖ τὸν πηλὸν εἰς ἴδια μέρη σμικρά, καὶ διὰ τοῦτο γίνεται ἡ γῆ ἡ τῇ θαλάσσῃ πλησιάζουσα ψαμμώδης. Οὕτω καὶ αἱ πεδιάδες, αἵ τινες οὐκ ἔχουσιν ὅπερ ἂν περικαλύψῃ αὐτὰ ἀπὸ τοῦ ἡλίου, εἰσί τε καὶ μεμακρυσμέναι ἀφ' ὕδατος γλυκεροῦ· ξηραίνει γὰρ ὁ ἥλιος τὰ μέρη τῆς ὑγρότητος τῆς γλυκείας, ἀπομένει δ' ὅ ἐστιν ἐκ τοῦ γένους τῆς γῆς, καὶ διότι ἐνδιατρίβει ὁ ἥλιος ἐν τούτῳ τῷ τόπῳ τῷ ἀπερικαλύπτῳ, διαχωρίζονται τὰ μέρη τοῦ πηλοῦ, καὶ γίνεται ἐντεῦθεν ψάμμος. Τούτου δὲ σημεῖόν ἐστιν, ὅτι ἐν τοιούτῳ τόπῳ βαθὺ κοιλαίνομεν καὶ εὑρίσκομεν πηλὸν ἔμφυτον, καὶ ἔστιν οὗτος ῥίζα ψάμμου. Οὐ γίνεται δὲ ψάμμος εἰ μὴ κατὰ συμβεβηκός· συμβαίνει δὲ τοῦτο, ὅτι ἔστι διατριβὴ τῆς κινήσεως τοῦ ἡλίου, ὡς ἔφημεν, καὶ μακρυσμὸς ἀφ' ὕδατος γλυκεροῦ. Τοιουτοτρόπως νοητέον καὶ περὶ τῆς ἁλμυρότητος τῶν ὑδάτων τῆς θαλάσσης· ἡ ῥίζα μὲν γὰρ πάντων τῶν ὑδάτων ἐστὶ γλυκερά, καὶ οὐκ ἄλλως συμβαίνει αὐτῇ ἁλμυρότης εἰ μὴ κατὰ τὸν τρόπον τὸν λεχθέντα. Καὶ τοῦτο σημεῖόν ἐστιν αἰσθητὸν ὅτι ἡ γῆ μέν ἐστιν ὑποκάτω τοῦ ὕδατος, τὸ δ' ὕδωρ ὑπεράνω ἐξ ἀνάγκης καὶ φυσικῶς, κἀντεῦθεν καὶ κυριώτερον συμβέβηκε τῷ ὕδατι τὸ εἶναι στοιχείῳ παρὰ τῇ γῇ. Ἐφρόνησαν δέ τινες στοιχεῖον εἶναι τὸ πάντων τῶν ὑδάτων πλεῖστον· πλεῖστον δ' ἐστὶ τὸ ὕδωρ τῆς θαλάσσης, καὶ διὰ τοῦτο καὶ στοιχεῖον πάντων ἐκρίθη τῶν ὑδάτων. Ἔστι δὲ τὸ ὕδωρ φυσικῶς ὑπερέχον τῆς γῆς καὶ λεπτότερον αὐτῆς, καὶ διὰ τοῦτο ἀπεδείξαμεν ὅτι καὶ τὸ ὕδωρ πάντως κουφότερόν ἐστι τὸ γλυκὺ τοῦ ἁλμυροῦ. Πλὴν λάβωμεν καὶ ὡς ἐν παραδείγματι δύο σκεύη ἴσα, καὶ θῶμεν ἐν αὐτοῖς ὕδωρ γλυκὺ καὶ ὕδωρ ἁλμυρόν· μετὰ ταῦτα προσλάβωμεν ᾠόν, θῶμεν δὲ τοῦτο ἐν τῷ ὕδατι τῷ γλυκεῖ, καὶ αὐτίκα καταδύσεται. Μετὰ ταῦτα θῶμεν αὐτὸ καὶ ἐν τῷ ὕδατι τῷ ἁλμυρῷ, καὶ ὑπερνήξεται, καὶ ἀναβήσεται ἐπάνω τῶν μερῶν τοῦ τοιούτου ὕδατος, διότι τὰ μέρη τούτου οὐ διαζεύγνυνται ὡς τὰ μέρη τοῦ ὕδατος τοῦ γλυκεροῦ· ἐκείνου μὲν γὰρ τὰ μέρη οὐ δύνανται ὑπομένειν διὰ τὴν λεπτότητα βάρος, τούτου δὲ διὰ τὴν παχύτητα δύνανται, καὶ διὰ τοῦτο οὐ καταδύεται τὸ ἐπιτεθὲν αὐτῷ. Οὕτω φυσικῶς ἐν τῇ νεκρᾷ θαλάσσῃ οὔτε καταδύεται ζῷον, οὔτε γεννᾶται· κυριεύει γὰρ ἡ ξηρότης ἐν αὐτῷ, καὶ ἐν παντὶ ὅπερ ἐστὶ πλησίον

trochlea autem idem facit quod vectis: quare unica trochlea facilius trahet, et uno adtractu longe majus movebit pondus quam qui manu id tenet? Hoc autem duæ trochleæ plus quam duplici velocitate elevant: altera enim, si ab altera veniens injectus fuerit funis, minus trahit quam si sola per se traheret: illa enim minus etiam pondus effecit. Sic quoque si pluribus injiciatur trochleis funis, in paucis trochleis magna fit differentia: ita ut si pondus primæ trochleæ subditum quatuor minas pendat, ultima multo minus trahat. In ædibus quoque exstruendis facile magna pondera movent: transferunt enim ab eadem trochlea in aliam, atque rursus ab hac in suculas et vectes; hoc autem idem est ac si multas sumerent trochleas.

CAP. XX.

Διὰ τί, ἐὰν μέν τις ἐπιθῇ ἐπὶ τὸ ξύλον πέλεκυν μέγαν καὶ φορτίον μέγα ἐπ' αὐτῷ, οὐ διαιρεῖ τὸ ξύλον, ὅ τι καὶ λόγου ἄξιον· ἐὰν δ' ἄρας τὸν πέλεκύν τις πατάξῃ αὐτῷ, διασχίζει, ἔλαττον βάρος ἔχοντος τοῦ τύπτοντος πολὺ μᾶλλον ἢ τοῦ ἐπικειμένου καὶ πιέζοντος; Ἢ διότι πάντα τῇ κινήσει ἐργάζεται, καὶ τὸ βαρὺ τὴν τοῦ βάρους κίνησιν λαμβάνει μᾶλλον κινούμενον ἢ ἠρεμοῦν; Ἐπικείμενον οὖν οὐ κινεῖται τὴν τοῦ βάρους κίνησιν, φερόμενον δὲ ταύτην τε καὶ τὴν τοῦ τύπτοντος. Ἔτι δὲ καὶ γίνεται σφὴν ὁ πέλεκυς· ὁ δὲ σφὴν μικρὸς ὢν μεγάλα διίστησι διὰ τὸ εἶναι ἐκ δύο μοχλῶν ἐναντίως συγκειμένων.

Cur, si quis ligno imposuerit magnam securim et super ea magnum onus, lignum tamen, quod sit memoratu dignum, non dividit; quodsi vero securim adtollit quis eaque percutit, divellit, etiamsi multo minus pondus pendat id quod percutit quam onus impositum atque premens? An quia cuncta motu agunt, et res gravis motum gravitatis magis adipiscitur, ubi movetur quam quiescens? Incumbens igitur onus non movetur motu gravitatis; ubi vero motu fertur, cum gravitatis motu, tum eo quem a percutiente habet, cietur. Præterea securis etiam fit cuneus, cuneus vero, etiamsi parvus, magna dividit corpora, quia ex duobus vectibus constat sibi invicem ex adverso oppositis.

CAP. XXI.

Διὰ τί αἱ φάλαγγες τὰ κρέα ἱστᾶσιν ἀπὸ μικροῦ ἀρτήματος μεγάλα βάρη, τοῦ ὅλου ἡμιζυγίου ὄντος; οὗ μὲν γὰρ τὸ βάρος ἐντίθεται, κατήρτηται μόνον ἡ πλάστιγξ, ἐπὶ θάτερον δ' ἡ φάλαγξ ἐστὶ μόνον. Ἢ ὅτι ἅμα συμβαίνει ζυγὸν καὶ μοχλὸν εἶναι τὴν φάλαγγα; ζυγὸν μὲν γάρ, ᾗ τῶν σπαρτίων ἕκαστον γίνεται τὸ κέντρον τῆς φάλαγγος. Τὸ μὲν οὖν ἐπὶ θάτερα ἔχει πλάστιγγα, τὸ δ' ἐπὶ θάτερα ἀντὶ τῆς πλάστιγγος τὸ σφαίρωμα, ὃ τῷ ζυγῷ ἔγκειται, ὥσπερ εἴ τις τὴν ἑτέραν πλάστιγγα καὶ τὸν σταθμὸν ἐπιθείη ἐπὶ τὸ ἄκρον τῆς φάλαγγος· δῆλον γὰρ ὅτι ἕλκει τοσοῦτον βάρος ἐν τῇ ἑτέρᾳ κείμενον πλάστιγγι. Ὅπως δὲ τὸ ἓν ζυγὸν πολλὰ ᾖ ζυγά, τοιαῦτα τὰ σπαρτία πολλὰ ἔγκειται ἐν τῷ τοιούτῳ ζυγῷ, ὧν ἑκάστου τὸ ἐπὶ τάδε ἐπὶ τὸ σφαίρωμα τὸ ἥμισυ τῆς φάλαγγός ἐστι, καὶ ὁ σταθμός, δι' ἴσου τῶν ἀπ' ἀλλήλων τῶν σπαρτίων κινουμένων, ὥστε συμμετρεῖσθαι πόσον βάρος ἕλκει τὸ ἐν τῇ πλάστιγγι κείμενον· ὥστε γινώσκειν, ὅταν ὀρθὴ ἡ φάλαγξ ᾖ, ἀπὸ ποίου σπάρτου πόσον βάρος ἔχει ἡ πλάστιγξ, καθάπερ εἴρηται. Ὅλως μέν ἐστι τοῦτο ζυγόν, ἔχον μίαν μὲν πλάστιγγα, ἐν ᾗ ἵσταται τὸ βά-

Cur statera magna pondera carnis parvo trutinant adpendiculo, quum tota dimidiata sit libra? ubi enim onus imponitur, ibi tantummodo lanx suspensa est, ab altera vero parte nihil est nisi statera. An quia evenit, ut statera simul sit libra et vectis? libra enim est, quatenus unusquisque funis centrum fit stateræ. Altera itaque pars lancem habet, altera vero pro lance æquipondium, quod jugo adaptatum est, eodem modo ac si quis alteram lancem cum pondere extremæ stateræ imponeret: constat enim, eam tantumdem pendere pondus, quod scilicet alteri lanci impositum est. Ut vero una libra multarum officio fungatur, eo modo tali libræ multi adaptati sunt ejusmodi funes, ut jugi pars ab altera uniuscujusque eorum parte sita usque ad æquipondium dimidium sit stateræ, atque æquipondium, quum funes a se invicem distantes semper per æquale spatium transferuntur, ad commetiendum inservit, quantum pondus pendat onus lanci impositum: ita ut, quando recta est statera, e fune disci possit, quantum pondus contineat lanx, sicuti dictum est. In universum autem hæcce libra est, unam quidem habens lancem, in qua penditur onus, alteram vero, in qua pon-

ρος, τὴν δ' ἑτέραν, ἐν ᾗ τὸ σταθμόν, ἐν τῇ φάλαγγι· διὸ σφαίρωμά ἐστιν ἡ φάλαγξ ἐπὶ θάτερον. Τοιοῦτον δ' ὂν πολλὰ ζυγά ἐστι, καὶ τοσαῦτα ὅσα πέρ ἐστι τὰ σπαρτία. Ἀεὶ δὲ τὸ ἐγγύτερον σπαρτίον τῆς πλάστιγγος καὶ τοῦ ἱσταμένου βάρους μεῖζον ἕλκει βάρος, διὰ τὸ γίνεσθαι τὴν μὲν φάλαγγα πᾶσαν μοχλὸν ἀνεστραμμένον· ὑπομόχλιον μὲν γὰρ τὸ σπαρτίον ἕκαστον ἄνωθεν ὄν, τὸ δὲ βάρος τὸ ἐνὸν ἐν τῇ πλάστιγγι. Ὅσῳ δ' ἂν μακρότερον ᾖ τὸ μῆκος τοῦ μοχλοῦ τὸ ἀπὸ τοῦ ὑπομοχλίου, τοσούτῳ ἐκεῖ μὲν ῥᾷον κινεῖ, ἐνταῦθα δὲ σήκωμα ποιεῖ, καὶ ἵστησι τὸ πρὸς τὸ σφαίρωμα βάρος τῆς φάλαγγος.

dus staterae impositum est: idcirco adpendiculus est statera ab altera parte. Talis autem quum sit, multarum librarum vice fungitur, atque tot quidem, quot sunt funes. Semper quo propius ad lancem et onus pensitandum accedit funis, eo majus pendit pondus, quia tota statera fit vectis inversus: hypomochlium enim fit unusquisque funis qui superne est, onus vero id quod lanci impositum est. Quanto autem productior fuerit longitudo vectis inde ab hypomochlio, tanto facilius ibi quidem movet, hic vero aequilibrium facit, pondusque staterae trutinat illud quod est ad adpendiculum.

CAP. XXII.

Διὰ τί οἱ ἰατροὶ ῥᾷον ἐξαιροῦσι τοὺς ὀδόντας προσλαμβάνοντες βάρος τὴν ὀδοντάγραν ἢ τῇ χειρὶ μόνῃ ψιλῇ; Πότερον διὰ τὸ μᾶλλον ἐξολισθαίνειν διὰ τῆς χειρὸς τὸν ὀδόντα ἢ ἐκ τῆς ὀδοντάγρας; Ἢ μᾶλλον ὀλισθαίνει τῆς χειρὸς ὁ σίδηρος, καὶ οὐ περιλαμβάνει αὐτὸν κύκλῳ; μαλθακὴ γὰρ οὖσα ἡ σὰρξ τῶν δακτύλων καὶ προσμένει μᾶλλον καὶ περιαρμόττει. Ἀλλ' ὅτι ἡ ὀδοντάγρα δύο μοχλοί εἰσιν ἀντικείμενοι, ἓν τὸ ὑπομόχλιον ἔχοντες τὴν σύναψιν τῆς θερμαστρίδος. Τοῦ ῥᾷον οὖν κινῆσαι χρῶνται τῷ ὀργάνῳ πρὸς τὴν ἐξαίρεσιν. Ἔστω γὰρ τῆς ὀδοντάγρας τὸ μὲν ἕτερον ἄκρον ἐφ' ᾧ τὸ Α, τὸ δ' ἕτερον, τὸ Β, ὃ ἐξαιρεῖ· ὁ δὲ μοχλὸς ἐφ' ᾧ ΑΔΖ, ὁ δ' ἄλλος μοχλὸς ἐφ' ᾧ ΒΓΕ, ὑπομόχλιον δὲ τὸ ΓΘΔ· ὁ δ' ὀδοὺς ἐφ' οὗ Ι, σύναψις· ὁ δὲ τὸ βάρος. Ἑκατέρῳ οὖν τῶν Β Ζ καὶ ἅμα λαβὼν κινεῖ. Ὅταν δὲ κινήσῃ, ἐξεῖλε ῥᾷον τῇ χειρὶ ἢ τῷ ὀργάνῳ.

Cur medici facilius dentes extrahunt, adjecto dentiduci onere quam sola manu nuda? An quia per manum facilius elabitur dens quam e dentiduco? An magis delebitur ferrum quam manus, neque undique comprehendit dentem? caro enim digitorum, mollis quum sit, magis incumbit et complectitur. Verum quia dentiducus e duobus constat vectibus sibi invicem oppositis, unum idemque habentibus hypomochlium, forcipis scilicet commissuram. Itaque, ut facilius moveant, hoc instrumento utuntur ad eximendum. Nam sit A quidem alterum forcipis extremum, alterum vero quod extrahit, B; vectis autem cui ADF inscriptum est, alter vero vectis cui BCE, hypomochliumque CHD; dens autem cui I inscriptum est, contactus idemque onus. Utroque igitur punctorum B et F dentem simul comprehendens movet medicus; ubi vero moverit, facilius manu eximeret quam instrumento.

CAP. XXIII.

Διὰ τί τὰ κάρυα ῥᾳδίως καταγνύουσιν ἄνευ πληγῆς ἐν τοῖς ὀργάνοις ἃ ποιοῦσι πρὸς τὸ καταγνύναι αὐτά; πολλὴ γὰρ ἀφαιρεῖται ἰσχὺς ἡ τῆς φορᾶς καὶ βίας. Ἔτι δὲ σκληρῷ καὶ βαρεῖ συνθλίβων θᾶττον ἂν κατάξαι ἢ ξυλίνῳ καὶ κούφῳ τῷ ὀργάνῳ. Ἢ διότι οὕτως ἐπ' ἀμφότερα θλίβεται ὑπὸ δύο μοχλῶν τὸ κάρυον, τῷ δὲ μοχλῷ ῥᾳδίως διαιρεῖται τὰ βάρη; τὸ γὰρ ὄργανον ἐκ δύο σύγκειται μοχλῶν, ὑπομόχλιον ἐχόντων τὸ αὐτό, τὴν συναφὴν ἐφ' ἧς τὸ Α. Ὥσπερ οὖν εἰ ἦσαν ἐκβεβλημέναι, ὑφ' ὧν κινουμένων εἰς τὰ τῶν Γ Δ ἄκρα, αἱ Ε Ζ συνήγοντο ῥᾳδίως ἀπὸ μικρᾶς ἰσχύος, ἣν οὖν ἐν τῇ πληγῇ τὸ βάρος ἐποίει, ταύτην, ἢ κρείττονα ταύτης αἱ ΕΓ καὶ ΖΔ, μοχλοὶ ὄντες, ποιοῦσιν· τῇ ἄρσει γὰρ εἰς τοὐναντίον αἴρονται, καὶ θλίβοντες καταγνύουσι τὸ ἐφ' ᾧ Κ. Δι' αὐτὸ δὲ τοῦτο καὶ ὅσῳ ἂν ἐγγύτερον ᾖ τῆς Α τὸ Κ, συντρίβεται θᾶττον· ὅσῳ γὰρ ἂν πλεῖον ἀπέχῃ τοῦ ὑπομοχλίου ὁ μοχλός, ῥᾷον κινεῖ καὶ πλεῖον ἀπὸ τῆς ἰσχύος τῆς αὐτῆς.

Cur facile sine ictu frangunt nuces instrumentis inditas quae ad hunc usum facere solent? magna enim aufertur vis, motionis scilicet et violenti impetus. Praeterea qui duro et gravi instrumento comprimeret, citius eas confringeret quam qui ligneo et levi. An quia sic utrinque a duobus vectibus comprimitur nux, vecte autem facile onera dirimuntur? instrumentum enim duobus constat vectibus idem habentibus hypomochlium, commissuram nempe cui A inscriptum est. Quemadmodum igitur si diductae essent, ubi moverentur a potentiis extrema C et D impellentibus, facile a parva vi committerentur E et F, quam vim in percussione exseruisset pondus, hanc, inquam, vel majorem etiam, EC et FD, vectes quum sint, exserunt: elevatione enim in contrariam partem elevantur atque comprimentes confringunt id cui K inscriptum est. Hanc etiam ob causam, quo vicinior K fuerit puncto A, eo facilius conteritur: quo longius enim ab hypomochlio vectis distat, eo facilius et amplius movet eadem vi. Est igitur A

Ἔστιν οὖν τὸ μὲν Α ὑπομόχλιον, ἡ δὲ ΔΑΖ μοχλός, καὶ ἡ ΓΑΕ. Ὅσῳ ἂν οὖν τὸ Κ ἐγγυτέρω ᾖ τῆς γωνίας τοῦ Α, τοσούτῳ ἐγγύτερον γίνεται τῆς συναφῆς τῆς Α· τοῦτο δ' ἐστὶ τὸ ὑπομόχλιον. Ἀνάγκη τοίνυν ἀπὸ τῆς αὐτῆς ἰσχύος συναγούσης τὰ Ζ Ε αἴρεσθαι πλέον· ὥστ' ἐπεί ἐστιν ἐξ ἐναντίας ἡ ἄρσις, ἀνάγκη θλίβεσθαι μᾶλλον· τὸ δὲ μᾶλλον θλιβόμενον κατάγνυται θᾶττον.

quidem hypomochlium, DAF vero vectis, itemque CAE. Quanto itaque vicinius K fuerit angulo in A, tanto propius accedet ad commissuram in A; hoc vero hypomochlium est. Necesse ergo est ab eadem potentia quæ committit puncta F et E, vectem magis elevari : quare quum ex oppositis partibus fit elevatio, necessario major fiet compressio; quod autem magis comprimitur, citius confringitur.

CAP. XXIV.

Διὰ τί φερομένων δύο φορὰς ἐν τῷ ῥόμβῳ τῶν ἄκρων σημείων ἀμφοτέρων, οὐ τὴν ἴσην ἑκάτερον αὐτῶν εὐθεῖαν διέρχεται, ἀλλὰ πολλαπλασίαν θάτερον; Ὁ αὐτὸς δὲ λόγος καὶ διὰ τί τὸ ἐπὶ τῆς πλευρᾶς φερόμενον ἐλάττω διέρχεται τῆς πλευρᾶς· τὸ μὲν γὰρ τὴν διάμετρον τὴν ἐλάττω, ἡ δὲ τὴν πλευρὰν τὴν μείζω, καὶ ἡ μὲν μίαν, τὸ δὲ δύο φέρεται φοράς. Φερέσθω γὰρ ἐπὶ τῆς ΑΒ τὸ μὲν Α πρὸς τὸ Β, τὸ δὲ Β πρὸς τὸ Α τῷ αὐτῷ τάχει· φερέσθω δὲ καὶ ἡ ΑΒ ἐπὶ τῆς ΑΓ παρὰ τὴν ΓΔ τῷ αὐτῷ τάχει τούτοις. Ἀνάγκη δὴ τὸ μὲν Α ἐπὶ τῆς ΑΔ διαμέτρου φέρεσθαι, τὸ δὲ Β ἐπὶ τῆς ΒΓ, καὶ ἅμα διεληλυθέναι ἑκατέραν, καὶ τὴν ΑΒ τὴν ΑΓ πλευράν· ἐνηνέχθω γὰρ τὸ μὲν Α τὴν ΑΕ, ἡ δὲ ΑΒ τὴν ΑΖ, καὶ ἔστω ἐκβεβλημένη ἡ ΖΗ παρὰ τὴν ΑΒ, καὶ ἀπὸ τοῦ Ε παραπεπληρώσθω. Ὅμοιον οὖν γίνεται τὸ παραπληρωθὲν τῷ ὅλῳ. Ἴση ἄρα ἡ ΑΖ τῇ ΑΕ, ὥστε τὸ Α ἐπὶ τῆς πλευρᾶς ἐνήνεκται τῆς ΑΕ, ἡ δὲ ΑΒ τὴν ΑΖ εἴη ἂν ἐνηνεγμένη. Ἔστιν ἄρα ἐπὶ τῆς διαμέτρου κατὰ τὸ Θ, καὶ αἰεὶ δ' ἀνάγκη αὐτὸ φέρεσθαι κατὰ τὴν διάμετρον, καὶ ἅμα ἡ πλευρὰ ἡ ΑΒ τὴν πλευρὰν τὴν ΑΓ δίεισι, καὶ τὸ Α τὴν διάμετρον δίεισι τὴν ΑΔ. Ὁμοίως δὲ δειχθήσεται καὶ τὸ Β ἐπὶ τῆς ΒΓ διαμέτρου φερόμενον· ἴση γάρ ἐστιν ἡ ΒΕ τῇ ΒΗ. Παραπληρωθέντος οὖν ἀπὸ τοῦ Η, ὅμοιόν ἐστι τῷ ὅλῳ τὸ ἐντός, καὶ τὸ Β ἐπὶ τῆς διαμέτρου ἔσται κατὰ τὴν σύναψιν τῶν πλευρῶν, καὶ ἅμα δίεισιν ἥ τε πλευρὰ τὴν πλευρὰν καὶ τὸ Β τὴν ΒΓ διάμετρον. Ἅμα ἄρα καὶ τὸ Β τὴν πολλαπλασίαν τῆς ΑΒ δίεισι καὶ ἡ πλευρὰ τὴν ἐλάττονα πλευράν, τῷ αὐτῷ τάχει φερόμενα, καὶ ἡ πλευρὰ μείζω τοῦ Α διελήλυθε μίαν φορὰν φερομένη· ὅσῳ γὰρ ἂν ὀξύτερος γένηται ὁ ῥόμβος, ἡ μὲν διάμετρος ἡ ΑΔ ἐλάττων γίνεται, ἡ δὲ ΒΓ μείζων, ἡ δὲ πλευρὰ τῆς ΒΓ ἐλάττων· ἄτοπον γάρ, ὥσπερ ἐλέχθη, τὸ δύο φορὰς φερόμενον ἐνίοτε βραδύτερον φέρεσθαι τοῦ μίαν, καὶ ἀμφοτέρων ἰσοταχῶν σημείων δοθέντων μείζω διεξιέναι θάτερον. Αἴτιον δ' ὅτι τοῦ μὲν ἀπὸ τῆς ἀμβλείας φερομένου σχεδὸν ἐναντίαι ἀμφότεραι γίνονται, ἥν τ' αὐτὸ φέρεται καὶ ἣν ὑπὸ τῆς πλευρᾶς ὑποφέρεται, τοῦ δ' ἀπὸ τῆς ὀξείας ὥσπερ συμβαίνει φέρεσθαι ἐπὶ τὸ αὐτό· συνεπουρίζει γὰρ ἡ τῆς πλευρᾶς τὴν ἐπὶ τῆς διαμέτρου, καὶ ὅσῳ ἂν τὴν μὲν ὀξυτέραν ποιήσῃς, τὴν δ' ἀμβλυ-

Cur, si duo extrema in rhombo puncta duobus impetibus ferantur, æqualem lineam rectam non percurrunt ambo, sed alterum quæ alteram sæpius superat? Eadem autem est ratio si quæratur, cur quod super latere fertur, minorem ipso latere lineam percurrat : alterum enim extremum minorem percurrit diametrum, latus vero latus quod majus est, atque illud quidem duobus impetibus fertur, hoc vero uno. Moveatur enim in AB punctum A ad B, et punctum B ad A eadem velocitate; moveatur prælerea AB super AC parallelos lineæ CD eadem velocitate qua superiora illa. Necesse est igitur, punctum A super diametro AD ferri, B vero super BC, eaque eodem tempore utramque lineam pertransivisse quo AB latus AC. Ponamus enim punctum A percucurrisse lineam AE, et lineam AB lineam AF, atque ducatur linea FG parallelos lineæ AB, et compleatur parallelogrammum inde ab E. Similis igitur fit figura completa toti. Æqualis itaque erit linea AF lineæ AE, ita ut punctum A super latere lineam AE percucurrerit, et linea AB lineam AF. Erit igitur super diametro in H, atque necesse est illud semper ferri super diametro, simulque latus AB percurrit latus AC, et punctum A diametron AD. Eodem quoque modo demonstrabitur, punctum B super diametro BC moveri : æqualis enim est linea BE lineæ BG. Quodsi igitur inde a G compleatur parallelogrammum, interius simile est toti, atque punctum B erit super diametro in commissura laterum, simulque latus percurrit latus, et punctum B diametron BC. Simul itaque et punctum B lineam percurrit, lineam AB multis vicibus superantem, atque latus latus quod minus est, etiamsi eadem velocitate ferantur, et latus, licet uno tantum impetu feratur, majorem percucurrit lineam quam A : quo acutior enim rhombus fuerit, eo minor quidem fit diametros AD, major vero BC, eoque magis latus linea BC inferius fit longitudine : absurdum enim est, ut supra diximus, id quod duobus impetibus movetur, tardius interdum ferri quam quod unico, atque datis duobus punctis quæ æquali velocitate feruntur, majorem lineam percurrere alterum. Causa autem est, quod puncti quod ab angulo obtuso movetur, ambo fere contrarii exsistunt motus, motus scilicet quo ipsum per se fertur, et motus quo a latere subducitur; illi vero puncto, quod ab acuto movetur angulo, contingit ut quasi ad eumdem locum feratur : lateris enim motus motui super diametro favet, atque quo acutiorem quidem feceris alterum angu-

5.

τέραν, ἡ μὲν βραδυτέρα ἔσται, ἡ δὲ θάττων· αἱ μὲν γὰρ ἐναντιώτεραι γίνονται διὰ τὸ ἀμβλυτέραν γίνεσθαι τὴν γωνίαν, αἱ δὲ μᾶλλον ἐπὶ τὰ αὐτὰ διὰ τὸ συνάγεσθαι τὰς γραμμάς· τὸ μὲν γὰρ Β σχεδὸν ἐπὶ τὸ αὐτὸ φέρεται κατ' ἀμφοτέρας τὰς φοράς. Συνεπουρίζεται οὖν ἡ ἑτέρα, καὶ ὅσῳ ἂν ὀξυτέρα γίνηται ἡ γωνία, τοσούτῳ μᾶλλον· τὸ Α δ' ἐπὶ τοὐναντίον· αὐτὸ μὲν γὰρ πρὸς τὸ Β φέρεται, ἡ δὲ πλευρὰ ὑποφέρει αὐτὸ πρὸς τὸ Δ. Καὶ ὅσῳ ἂν ἀμβλυτέρα ἡ γωνία ᾖ, ἐναντιώτεραι αἱ φοραὶ γίνονται· εὐθυτέρα γὰρ ἡ γραμμὴ γίνεται. Εἰ δ' ὅλως εὐθεῖα γένοιτο, παντελῶς ἂν εἴησαν ἐναντίαι. Ἡ δὲ πλευρὰ ὑπ' οὐθενὸς κωλύεται μίαν φερομένη φοράν· εὐλόγως οὖν τὴν μείζω διέρχεται.

lum, alterum vero obtusiorem, alter quidem motus tardior erit, alter vero celerior: magis enim contrarii evadunt alii motus eo quod angulus obtusior fit; alii vero eo magis ad eumdem feruntur locum, quoniam congrediuntur lineæ: punctum enim B utroque motu fere ad eumdem locum fertur. Alter igitur motus adjuvatur, eoque magis, quo acutior evadat angulus; punctum A vero in contrarium movetur: ipsum enim ad B fertur, latus vero illud ad D subducit, et quo obtusior fuerit angulus, eo magis contrarii fiunt motus. rectior enim efficitur linea. Quodsi autem plane recta facta fuerit, prorsus erunt contrarii. Latus autem, quod uno tantum motu fertur, nihilo præpeditur: rationi igitur consonum est, id majorem lineam percurrere.

CAP. XXV.

Ἀπορεῖται διὰ τί ποτε ὁ μείζων κύκλος τῷ ἐλάττονι κύκλῳ ἴσην ἐξελίττεται γραμμήν, ὅταν περὶ τὸ αὐτὸ κέντρον τεθῶσιν· χωρὶς δ' ἐκκυλιόμενοι, ὥσπερ τὸ μέγεθος αὐτῶν πρὸς τὸ μέγεθος ἔχει, οὕτω καὶ αἱ γραμμαὶ αὐτῶν γίνονται πρὸς ἀλλήλας· ἔτι δ' ἑνὸς καὶ τοῦ αὐτοῦ κέντρου ὄντος ἀμφοῖν, ὁτὲ μὲν τηλικαύτη γίνεται ἡ γραμμὴ ἣν ἐκκυλίονται, ἡλίκην ὁ ἐλάττων κύκλος καθ' αὑτὸν ἐκκυλίεται, ὁτὲ δ' ὅσην ὁ μείζων. Ὅτι μὲν οὖν μείζω ἐκκυλίεται ὁ μείζων, φανερόν· γωνία μὲν γὰρ δοκεῖ κατὰ τὴν αἴσθησιν εἶναι ἡ περιφέρεια ἑκάστου τῆς οἰκείας διαμέτρου, ἡ τοῦ μείζονος κύκλου μείζων, ἡ δὲ τοῦ ἐλάττονος ἐλάττων, ὥστε τὸν αὐτὸν τοῦτον ἕξουσι λόγον καθ' ἃς ἐξεκυλίσθησαν, αἱ γραμμαὶ πρὸς ἀλλήλας κατὰ τὴν αἴσθησιν. Ἀλλὰ μὴν καὶ ὅτι τὴν ἴσην ἐκκυλίονται, ὅταν περὶ τὸ αὐτὸ κέντρον κείμενοι ὦσι, δῆλον, καὶ οὕτω γίνεται ὁτὲ μὲν ἴση τῇ γραμμῇ ἣν ὁ μείζων κύκλος ἐκκυλίεται, ὁτὲ δὲ τῇ ἣν ὁ ἐλάττων. Ἔστω γὰρ κύκλος ὁ μείζων μὲν ἐφ' οὗ τὰ ΔΖΓ, ὁ δ' ἐλάττων ἐφ' οὗ τὰ ΕΗΒ, κέντρον δ' ἀμφοῖν τὸ Α· καὶ ἣν μὲν ἐξελίττεται καθ' αὑτὸν ὁ μέγας, ἡ ἐφ' ἧς ΖΙ ἔστω, ἣν δ' ὁ ἐλάττων καθ' αὑτόν, ἡ ἐφ' ἧς ΗΚ, ἴση τῇ ΛΖ. Ἐὰν δὴ κινῶ τὸν ἐλάττονα, τὸ αὐτοῦ κέντρον κινῶ, ἐφ' οὗ τὸ Α· ὁ δὲ μέγας προσηρμόσθω. Ὅταν οὖν ἡ ΑΒ ὀρθὴ γένηται πρὸς τὴν ΗΚ, ἅμα καὶ ἡ ΑΓ γίνεται ὀρθὴ πρὸς τὴν ΖΛ, ὥστ' ἔσται ἴσην ἀεὶ διεληλυθυῖα, τὴν μὲν ΗΚ, ἐφ' ᾧ ΗΒ περιφέρεια, τὴν δὲ ΖΛ ἡ ἐφ' ἧς ΖΓ. Εἰ δὲ τὸ τέταρτον μέρος ἴσην ἐξελίττεται, δῆλον ὅτι καὶ ὁ ὅλος κύκλος τῷ ὅλῳ κύκλῳ ἴσην ἐξελιχθήσεται, ὥσθ' ὅταν ἡ ΒΗ γραμμὴ ἔλθῃ ἐπὶ τὸ Κ, καὶ ἡ ΖΓ ἔσται περιφέρεια ἐπὶ τῆς ΖΛ, καὶ ὁ κύκλος ὅλος ἐξειλιγμένος. Ὁμοίως δὲ καὶ ἐὰν τὸν μέγαν κινῶ, ἐναρμόσας τὸν μικρόν, τοῦ αὐτοῦ κέντρου ὄντος, ἅμα τῇ ΑΓ ἡ ΑΒ κάθετος καὶ ὀρθὴ ἔσται, ἡ μὲν πρὸς τὴν ΖΙ, ἡ δὲ πρὸς τὴν ΗΘ, ὥσθ' ὅταν ἴσην, ἡ μὲν τῇ ΗΘ ἔσται διεληλυθυῖα, ἡ δὲ τῇ ΖΙ, καὶ γένηται ὀρθὴ πάλιν ἡ ΖΑ πρὸς τὴν ΖΛ, καὶ ἡ ΑΗ ὀρθὴ πάλιν πρὸς τὴν ΗΚ, ὡς τὸ ἐξ ἀρχῆς ἔσον-

Quæritur, cur tandem major circulus per æqualem minori circulo rotetur lineam, ubi eidem centro circumpositi fuerint; ubi vero seorsum rotantur, quemadmodum alterius magnitudo se habet ad magnitudinem alterius, eamdem quoque rationem inter se sortiantur lineæ eorum; præterea quare, quum unum idemque sit ambobus centrum, modo quidem linea super quam evolvuntur, æqualis exsistat ei, super quam per se evolvitur minor circulus, modo vero ei super quam major. Majorem itaque circulum super majorem lineam evolvi, liquido constat: sensui enim patere videtur, circumferentiam utriusque circuli (quovis sui puncto) cum propria diametro angulum facere, atque majoris quidem majorem, minoris vero minorem: quare sensui manifestum est, eamdem hanc rationem intercessuram esse inter lineas super quas evolvuntur. Verum enimvero constat etiam, eos super æqualem lineam evolvi, ubi eidem centro circumpositi fuerint, atque sic hæc linea modo quidem æqualis fit ei super quam major circulus evolvitur, modo vero ei super quam minor. Sit enim circulus major quidem cui DFC inscripta sunt, minor vero cui EGB, utriusque autem centrum A; linea porro secundum quam per se evolvitur circulus magnus quidem, cui FI inscriptum est; secundum quam vero minor per se, cui GK, æqualis lineæ LF. Quodsi ergo minorem moveam, ejus centrum moveo cui A inscriptum est; at jam adaptatus sit major circulus. Ubi igitur AB perpendicularis factus fuerit ad GK, simul etiam AC perpendicularis fit ad FL, ita ut semper æqualem lineam percucurrerit uterque circulus, circumferentia quidem, cui GB inscriptum est, lineam GK, cui vero FC, lineam FL. Quodsi autem quarta circuli pars per æqualem evolvitur lineam, manifestum est, totum circulum quoque toti circulo per æqualem lineam evolvi debere: ita ut, ubi linea BG pervenerit ad punctum K, circumferentia FC etiam lineæ FL imposita erit, atque universus circulus erit evolutus. Eodem quoque modo, si majorem circulum moveam, innexo ipsi circulo minore, ita ut ambobus idem sit centrum, simul cum AC etiam AB erit perpendicularis et recta, illa quidem ad FI, hæc vero ad GH: ita ut, si æqualem lineam percucurrerint, altera quidem lineam lineæ GH æqualem, altera vero lineam lineæ FI æqualem permeaverit, atque ubi rursus FA perpendicularis facta fuerit ad FL, atque AG rursus perpendicularis ad GK, in punctis H et I eadem

ται ἐπὶ τῶν Θ Ι. Τὸ δὲ μήτε στάσεως γινομένης τοῦ μείζονος τῷ ἐλάττονι, ὥστε μένειν τινὰ χρόνον ἐπὶ τοῦ αὐτοῦ σημείου· κινοῦνται γὰρ συνεχῶς ἄμφω ἀμφοτεράκις· μήθ' ὑπερπηδῶντος τοῦ ἐλάττονος μηθὲν σημεῖον, τὸν μὲν μείζω τῷ ἐλάττονι ἴσην διεξιέναι, τὸν δὲ τῷ μείζονι, ἄτοπον. Ἔτι δὲ μιᾶς κινήσεως οὔσης, ἀεὶ τὸ κέντρον τὸ κινούμενον ὁτὲ μὲν τὴν μεγάλην, ὁτὲ δὲ τὴν ἐλάττονα ἐκκυλίεσθαι, θαυμαστόν· τὸ γὰρ αὐτὸ τῷ αὐτῷ τάχει φερόμενον ἴσην πέφυκε διεξιέναι· τῷ αὐτῷ δὲ τάχει ἴσην ἔστι κινεῖν ἀμφοτεράκις. Ἀρχὴ δὲ ληπτέα ἥδε περὶ τῆς αἰτίας αὐτῶν, ὅτι ἡ αὐτὴ δύναμις καὶ ἴση τὸ μὲν βραδύτερον κινεῖ μέγεθος, τὸ δὲ ταχύτερον. Εἰ δή τι εἴη ὃ μὴ πέφυκεν ὑφ' ἑαυτοῦ κινεῖσθαι, ἐὰν τοῦτο ἅμα καὶ αὐτὸ κινῇ τὸ πεφυκὸς κινεῖσθαι, βραδύτερον κινηθήσεται ἢ εἰ αὐτὸ καθ' αὑτὸ ἐκινεῖτο. Καὶ ἐὰν μὲν πεφυκὸς ᾖ κινεῖσθαι, μὴ συγκινῆται δὲ μηθέν, ὡσαύτως ἕξει. Καὶ ἀδύνατον δὴ κινεῖσθαι πλέον ἢ τὸ κινοῦν· οὐ γὰρ τὴν αὑτοῦ κινεῖται κίνησιν, ἀλλὰ τὴν τοῦ κινοῦντος. Εἴη δὴ κύκλος ὁ μὲν μείζων ἐφ' ᾧ τὸ Α, ὁ δ' ἐλάττων ἐφ' ᾧ Β. Εἰ ὠθοίη δ' ὁ ἐλάττων τὸν μείζω, μὴ κυλιομένου αὐτοῦ, φανερὸν ὅτι τοσοῦτον δίεισι τῆς εὐθείας ὁ μείζων, ὅσον ἐώσθη ὑπὸ τοῦ ἐλάττονος, τοσοῦτον δέ γ' ἐώσθη ὅσον ὁ μικρὸς ἐκινήθη. Ἴσην ἄρα τῆς εὐθείας διεληλύθασιν. Ἀνάγκη τοίνυν καὶ εἰ κυλιόμενος ὁ ἐλάττων τὸν μείζω ὠθοίη, κυλισθῆναι μὲν ἅμα τῇ ὤσει, τοσοῦτον δ' ὅσον ὁ ἐλάττων ἐκυλίσθη, εἰ μηθὲν αὐτὸς τῇ αὑτοῦ κινήσει κινεῖται· ὡς γὰρ καὶ ὅσον ἐκίνει τὸ κινοῦν, τοσοῦτον κεκινῆσθαι ἀνάγκη τὸ κινούμενον ὑπ' ἐκείνου. Ἀλλὰ μὴν ὅτε (γε?) κύκλος ὁ μικρὸς τοσοῦτον ἐκίνησε τὸ αὐτό (τοιοῦτο?), κύκλῳ τε καὶ ποδιαίαν· ἔστω γὰρ τοσοῦτον ὃ ἐκινήθη. Καὶ· ὁ μέγας ἄρα τοσοῦτον ἐκινήθη. Ὁμοίως δὲ κἂν ὁ μέγας τὸν μικρὸν κινήσῃ, ἔσται κεκινημένος ὁ μικρὸς ὡς καὶ ὁ μείζων. Καθ' αὑτὸν μὲν δὴ κινηθεὶς ὁποτεροσοῦν, ἐάν τε ταχύ, ἐάν τε βραδέως ...... τῷ αὐτῷ δὲ τάχει εὐθὺς ὅσην ὁ μείζων πέφυκεν ἐξελιχθῆναι γραμμήν· ὅπερ καὶ ποιεῖ τὴν ἀπορίαν, ὅτι οὐκέτι ὁμοίως ποιοῦσιν ὅταν συναρμοσθῶσιν. Τὸ δ' ἐστιν, εἰ ὁ ἕτερος ὑπὸ τοῦ ἑτέρου κινεῖται, οὐχ ἣν πέφυκεν, οὐδὲ τὴν αὑτοῦ κίνησιν· οὐθὲν γὰρ διαφέρει περιθεῖναι καὶ ἐναρμόσαι, ἢ προσθεῖναι ὁποτερονοῦν ὁποτέρῳ· ὁμοίως γάρ, ὅταν ὁ μὲν κινῇ, ὁ δὲ κινῆται ὑπὸ τούτου, ὅσον ἂν κινῇ ἅτερος, τοσοῦτον κινηθήσεται ἅτερος. Ὅταν μὲν οὖν προσκείμενον κινῇ, ἢ προσκρεμάμενον, οὐκ ἀεὶ κυλίει τις· ὅταν δὲ περὶ τὸ αὐτὸ κέντρον τεθῶσιν, ἀνάγκη κυλίεσθαι ἀεὶ τὸν ἕτερον ὑπὸ τοῦ ἑτέρου. Ἀλλ' οὐθὲν ἧττον οὐ τὴν αὑτοῦ κίνησιν ἅτερος κινεῖται, ἀλλ' ὥσπερ ἂν εἰ μηδεμίαν εἶχε κίνησιν, κἂν ἔχῃ, μὴ χρῆται δ' αὐτῇ, ταὐτὸ συμβαίνει. Ὅταν μὲν οὖν ὁ μέγας κινῇ ἐνδεδεμένον τὸν μικρόν, ὁ μικρὸς κινεῖται ὅσην περ οὗτος· ὅταν δ' ὁ μικρός, πάλιν ὁ μέγας ὅσην οὗτος· χωριζόμενος δ' ἑκάτερος αὐτὸν κινεῖ αὐτός. Ὅτι δὲ τοῦ αὐτοῦ κέντρου ὄντος καὶ κινοῦντος τῷ αὐτῷ τάχει συμβαίνει ἄνισον διεξιέ-

erit circulorum conditio quæ ab initio. Quod vero, quum neque major circulus a minore subsistere cogitur, ita ut per aliquod tempus in eodem maneat puncto (ambo enim continenter moventur utroque modo), neque minor ullum punctum transsilit, major tamen circulus æqualem minori lineam percurrit, itemque hic majori, absurdum est. Præterea etiam hoc mirandum est quod, quum unus sit motus, semper centrum quod movetur, modo quidem per magnam lineam evolvitur, modo vero per minorem: eadem enim res, ubi eadem celeritate movetur, æqualem lineam suapte natura percurrere solet; eadem vero celeritate potest quis utroque modo movere per æqualem lineam. De harum autem rerum causa hoc principium sumendum est, quod eadem atque æqualis potentia aliam quidem magnitudinem tardius movet, aliam vero celerius. Quodsi itaque aliquid esset, quod suapte natura ex se motum non haberet, atque id ipsum simul moveretur ab eo quod suapte natura movetur, hocce tardius ita movebitur quam si ipsum per se moveretur. Atque si natura quidem sua motum res habeat, simul vero nihil aliud moveat, eodem modo se habebit. Fieri itaque non potest, ut majori feratur motu quam res movens: non enim suo ipsius fertur motu, sed rei moventis. Sit itaque circulus major quidem cui A inscriptum est, minor vero cui B. Si autem minor circulus pellat majorem, ita ut ipse non volvatur, constat, majorem tantam lineæ rectæ partem percurrere, per quantam a minore pulsus fuerit; per tantum autem spatium pellebatur, per quantum minor ferebatur. Æqualem igitur lineæ rectæ partem percucurrerunt. Necesse igitur est etiam, ubi minor circulus volvitur, dum majorem pellit, hunc simul volvi ac pelli, idque per tantum spatium, per quantum minor volutus fuerit, quandoquidem nequaquam suo ipsius motu fertur ipse: quo modo enim, et quantum pellebat id quod movet, tantum moveri necesse est quod ab illo movetur. Verum enimvero parvus circulus per tantum spatium movebat tali motu, exempli gratia in orbem, atque per pedis spatium: ponam enim ipsum per tantum spatium sese movisse. Itaque magnus quoque circulus per tantum spatium pulsus fuerit. Nec minus si major circulus minorem pepulerit, eodem modo motus fuerit minor quo major. Per se igitur ubi movetur utervis circulus, sive celeriter, sive tarde.... at jam eadem celeritate per lineam æqualem ei, secundum quam major natura sua evolvitur: quod etiam difficultatem facit, quod non amplius eodem modo agunt, ubi conjuncti fuerint, id est, si alter ab altero moveatur, non quem sua habet natura, neque sui ipsius motu: nihil enim refert, an utrumvis circulum utrivis circumponamus ac inseramus, an vero adponamus: etenim eodem modo, ubi alter quidem movet, alter vero ab hoc movetur, per quantum spatium alter moverit, per tantum alter movebitur. Itaque si adjacentem quidem, vel adpensum circulum moveat alter quidam, non semper volvit; sin vero eidem centro circumponantur, necesse est alterum semper ab altero volvi. Sed nihilo minus alter sui ipsius motu non movetur, sed idem contingit ac si nullum ipse motum haberet, vel, etiamsi haberet, eo non uteretur. Ubi igitur major circulus minorem illigatum movet, minor movetur per æquale spatium ac major; ubi vero minor, rursus major per æquale spatium ac ille; seorsum autem uterque se ipsum movet. Quod vero, quum idem sit centrum atque eadem celeritate moveat, eveniat ut inæqualem

ναι αὐτοὺς γραμμήν, παραλογίζεται ὁ ἀπορῶν σοφιστικῶς· τὸ αὐτὸ μὲν γάρ ἐστι κέντρον ἀμφοῖν, ἀλλὰ κατὰ συμβεβηκός, ὡς μουσικὸν καὶ λευκόν· τῷ γὰρ εἶναι ἑκατέρου κέντρον τῶν κύκλων οὐ τῷ αὐτῷ χρῆται. Ὅταν μὲν οὖν ὁ κινῶν ᾖ ὁ μικρός, ὡς ἐκείνου κέντρον καὶ ἀρχή, ὅταν δ' ὁ μέγας, ὡς ἐκείνου. Οὔκουν τὸ αὐτὸ κινεῖ ἁπλῶς, ἀλλ' ἔστιν ὥς.

percurrant lineam, hoc sophistarum more prava ratiocinatione concludit qui hanc dubitationem movet: idem enim est centrum utriusque, sed per accidens, ut musicum et album: eo enim quod ad utrumque circulum pertinet centrum, non tamen idcirco eodem utitur. Quando igitur parvus is est qui movet, tamquam illius centrum ac principium considerari debet, quando vero magnus, tamquam hujus. Itaque non simpliciter idem movet, sed quadamtenus.

CAP. XXVI.

Διὰ τί τὰς κλίνας ποιοῦσι διπλασιοπλεύρους, τὴν μὲν ἓξ ποδῶν καὶ μικρῷ μείζω πλευράν, τὴν δὲ τριῶν; καὶ διὰ τί ἐντείνουσιν οὐ κατὰ διάμετρον; ἢ τὸ μὲν μέγεθος τηλικαύτας, ὅπως τοῖς σώμασιν ὦσι σύμμετροι; γίνονται γὰρ οὕτω διπλασιόπλευροι, τετραπήχεις μὲν τὸ μῆκος, διπήχεις δὲ τὸ πλάτος· ἐντείνουσι δ' οὐ κατὰ διάμετρον, ἀλλ' ἀπ' ἐναντίας, ὅπως τά τε ξύλα ἧττον διασπᾶται· τάχιστα γὰρ σχίζεται κατὰ φύσιν διαιρούμενα ταύτῃ, καὶ ἑλκόμενα πονεῖ μάλιστα. Ἔτι ἐπειδὴ δεῖ βάρος δύνασθαι τὰ σπαρτία φέρειν, οὕτως ἧττον πονέσει λοξοῖς τοῖς σπαρτίοις ἐπιτιθεμένου τοῦ βάρους ἢ πλαγίοις. Ἔτι δ' ἔλαττον οὕτω σπαρτίον ἀναλίσκεται. Ἔστω γὰρ κλίνη ἡ ΑΖΗΙ, καὶ δίχα διῃρήσθω ἡ ΖΗ κατὰ τὸ Β. Ἴσα δὴ τρυπήματά ἐστιν ἐν τῇ ΖΒ καὶ ἐν τῇ ΖΑ· καὶ γὰρ αἱ πλευραὶ ἴσαι εἰσίν· ἡ γὰρ ὅλη ΖΗ διπλασία ἐστίν. Ἐντείνουσι δ' ὡς γέγραπται, ἀπὸ τοῦ Α ἐπὶ τὸ Β, εἶτα οὗ τὸ Γ, εἶτα οὗ τὸ Δ, εἶτα οὗ τὸ Θ, εἶτα οὗ τὸ Ε, καὶ οὕτως ἀεί, ἕως ἂν εἰς γωνίαν καταστρέψωσιν ἄλλην· δύο γὰρ ἔχουσι γωνίαι τὰς ἀρχὰς τοῦ σπαρτίου. Ἴσα δ' ἐστὶ τὰ σπαρτία κατὰ τὰς κάμψεις, τό τε ΑΒ καὶ ΒΓ τῷ ΓΔ καὶ ΔΘ, καὶ τὰ ἄλλα δὲ τὰ τοιαῦτά ἐστιν ὅτι οὕτως ἔχει ἡ αὐτὴ ἀπόδειξις· ἡ μὲν γὰρ ΑΒ τῇ ΕΘ ἴση· ἴσαι γάρ εἰσιν αἱ πλευραὶ τοῦ ΒΗΚΑ χωρίου, καὶ τὰ τρυπήματα ἴσα διέστηκεν. Ἡ δὲ ΒΗ ἴση τῇ ΚΑ· ἡ γὰρ Β γωνία ἴση τῇ Η· ἐν ἴσοις γὰρ ἡ μὲν ἐκτός, ἡ δ' ἐντός. Καὶ ἡ μὲν Β ἐστὶν ἡμίσεια ὀρθῆς· ἡ γὰρ ΖΒ ἴση τῇ ΖΑ, καὶ γωνία δ' ἡ κατὰ τὸ Ζ ὀρθή. Ἡ δὲ Β γωνία ἴση τῇ κατὰ τὸ Η· ἡ γὰρ κατὰ τὸ Ζ ὀρθή, ἐπειδὴ διπλασιόπλευρον τὸ ἑτερόμηκες καὶ πρὸς μέσον κέκλασται· ὥσθ' ἡ ΒΓ τῇ ΕΗ ἴση· ταύτῃ δ' ἡ ΚΘ· παράλληλος γάρ· ὥσθ' ἡ ΒΓ ἴση τῇ ΚΘ, ἡ δὲ ΓΕ τῇ ΔΘ. Ὁμοίως δὲ καὶ αἱ ἄλλαι δείκνυνται ὅτι ἴσαι εἰσὶν αἱ κατὰ τὰς κάμψεις δύο ταῖς δυσίν· ὥστε δῆλον ὅτι τὰ τηλικαῦτα σπαρτία ὅσον τὸ ΑΒ, τέσσαρα τοσαῦτ' ἔνεστιν ἐν τῇ κλίνῃ· ὅσον δ' ἐστὶ τὸ πλῆθος τῶν ἐν τῇ ΖΗ πλευρᾷ τρυπημάτων, καὶ ἐν τῷ ἡμίσει τῷ ΖΒ τὰ ἡμίση· ὥστ' ἐν τῇ ἡμισείᾳ κλίνῃ τηλικαῦτα μεγέθη σπαρτίων ἐστὶν ὅσον τὸ ΒΑ ἔνεστι, τοσαῦτα δὲ τὸ πλῆθος ὅσα περ ἐν τῷ ΒΗ τρυπήματα· ταῦτα δ' οὐδὲν διαφέρει λέγειν ἢ ὅσα ἐν τῇ ΑΖ καὶ ΒΖ τὰ συνάμφω. Εἰ δὲ κατὰ διάμετρον ἐνταθῇ τὰ σπαρτία, ὡς ἐν τῇ ΑΒΓΔ κλίνῃ ἔχει, τὰ ἡμίσεά εἰσιν οὐ τοσαῦτα

Cur lectos faciunt ita ut unum latus duplum sit alterius, alterum quidem sex pedum, vel paulo majus, alterum vero trium? cur porro non intendunt secundum diametron? an figura quidem tales, ut (hominum) corporibus congrui sint? hoc enim modo fit ut unum latus duplam habeat longitudinem alterius, habeantque lecti quatuor quidem cubitorum longitudinem, duorum vero latitudinem. Intendunt autem non secundum diametron, sed ab uno latere ad oppositum, ut ligna minus distrahantur: celerrime enim finduntur, ubi eadem directione divelluntur qua creverint, atque laborant maxime, ubi hac directione trahuntur. Præterea, quoniam oportet funes pondus sustinere posse, hoc modo minus deficient, si onus funibus imponatur quorum obliquitas æqualiter in utramque partem vergat quam si inæqualiter. Sit enim lectus AFGI, et dividatur FG in duas partes æquales in puncto B. Erit ergo idem numerus foraminum in FB et FA: etenim latera sunt æqualia: tota enim FG duplum est. Intendunt autem quemadmodum delineatum est, ab A ad B, deinde ubi C inscriptum est, dein ubi D, dein ubi H, dein ubi E, et sic semper, donec ad alium angulum flectendo pervenerint: duo enim sunt anguli, qui funis tenent principia. Æquales autem sunt funes in flexuris, AB et BC funibus CD et DH, demonstraturque eodem modo, ceteros hujusmodi funes ita se habere: AB namque lineæ EH æqualis est: æqualia enim sunt latera parallelogrammi BGKA, et foramina æque a se invicem distant. BG autem æqualis est lineæ KA: angulus enim B æqualis est angulo G: in parallelis namque lineis alter quidem externus, alter vero internus est. Præterea angulus B dimidium est recti: linea enim FB æqualis est lineæ FA, et angulus in puncto F rectus est. Angulus vero B æqualis est angulo in puncto G: angulus enim in puncto F rectus est, quoniam rectangulum latera habet quorum alterum duplum est alterius, atque in medio divisum est: hinc BC æqualis est lineæ EG, huic vero linea KH: est enim parallelos: BC ergo æqualis est lineæ KH, CE vero lineæ DH. Eodem autem modo demonstratur de reliquis, duos funes flexuram utrinque circumdantes semper funibus qui iis respondent, æquales esse: patet igitur in lecto quatuor adesse funes funi AB longitudine æquales, numerum vero funium æquare numerum foraminum quæ in latere FG inveniuntur, in dimidioque latere FB numerum funium hujus numeri æquare dimidium: hinc in dimidio lecto unus tantummodo funis est funi BA magnitudine æqualis, numerus vero funium æquat numerum foraminum quæ in BG inveniuntur; hoc vero plane eodem redit ac si dixeris tot esse funes quot in AF et BF simul sumpti. Quodsi vero funes intendantur secundum diametron, quemadmodum in lecto ABCD res se habet, dimidia non sunt tanta quanta amborum latera

ὅσα αἱ πλευραὶ ἀμφοῖν, αἱ ΑΖ ΖΗ· τὰ ἴσα δέ, ὅσα ἐν τῷ ΖΒ ΖΑ τρυπήματα ἔνεστιν. Μείζονες δ' εἰσὶν αἱ ΑΖ ΒΖ δύο οὖσαι τῆς ΑΒ· ὥστε καὶ τὸ σπαρτίον μεῖζον τοσούτῳ ὅσον αἱ πλευραὶ ἄμφω μείζους εἰσὶ τῆς διαμέτρου.

AF et FG, tot autem quot in FB et FA sunt foramina. Majores autem sunt lineæ AF et BF, duæ quum sint, quam AB : tanto ergo et major erit funis, quanto ambo latera majora sunt diametro.

CAP. XXVII.

Διὰ τί χαλεπώτερον τὰ μακρὰ ξύλα ἀπ' ἄκρου φέρειν ἐπὶ τῷ ὤμῳ ἢ κατὰ τὸ μέσον, ἴσου τοῦ βάρους ὄντος; Πότερον ὅτι σαλευομένου τοῦ ξύλου τὸ ἄκρον κωλύει φέρειν, μᾶλλον ἀντισπῶν τῇ σαλεύσει τὴν φοράν; Ἢ κἂν μηθὲν κάμπτηται, μηδ' ἔχῃ πολὺ μῆκος, ὅμως χαλεπώτερον φέρειν ἀπ' ἄκρου; ἀλλ' ὅτι καὶ ῥᾷον αἴρεται ἐκ μέσου ἢ ἀπ' ἄκρου, διὰ τὸ αὐτὸ καὶ φέρειν οὕτω ῥᾴδιον. Αἴτιον δ' ὅτι ἐκ μέσου μὲν αἰρόμενον ἀεὶ ἐπικουφίζει ἄλληλα τὰ ἄκρα, καὶ θάτερον μέρος τὸ ἐπὶ θάτερον εὖ αἴρει· ὥσπερ γὰρ κέντρον γίνεται τὸ μέσον, ᾗ ἔχει τὸ αἶρον, ἢ φέρον. Εἰς τὸ ἄνω οὖν κουφίζεται ἑκάτερον τῶν ἄκρων εἰς τὸ κάτω ῥέπον. Ἀπὸ δὲ τοῦ ἄκρου αἰρόμενον, ἢ φερόμενον οὐ ποιεῖ τοῦτο, ἀλλ' ἅπαν τὸ βάρος ῥέπει ἐφ' ἓν μέσον, εἰς ὅ περ αἴρεται, ἢ φέρεται. Ἔστω μέσον ἐφ' οὗ Α, ἄκρα ἐφ' ὧν Β Γ. Αἰρομένου οὖν, ἢ φερομένου κατὰ τὸ Α, τὸ μὲν Β κάτω ῥέπον ἄνω αἴρει τὸ Γ, τὸ δὲ Γ κάτω ῥέπον τὸ Β ἄνω αἴρει· ἅμα δ' αἰρόμενα ἄνω ποιεῖ ταῦτα.

Cur difficilius est ligna longa ab extremitate in humero portare quam in medio, quum tamen idem sit onus? An quia per ligni vibrationem ejus extremum impedit quominus portetur, quum potius vibrando portandi impetum retrahat? An vero, etiamsi nequaquam inflectatur lignum, neque ampla longitudine sit præditum, nihilominus ab extremitate difficilius portatur? Verum quia tollitur quoque e medio facilius quam ab extremitate, ob eamdem hanc causam facilius etiam ita portatur. Causa autem est quod, si medium tollatur lignum, semper ipsius extrema se invicem adlevant, atque altera pars altrinsecus sitam apte sublevat : medium enim fit veluti centrum, quatenus continet id quod tollit, vel portat. Sursum igitur elevatur utraque extremitas, dum deorsum vergit. Ubi vero ab extremitate tollitur, vel portatur lignum, non idem facit, sed totum pondus in unum centrum vergit, ad quod elevatur, vel fertur. Sit medium cui A inscriptum est, extremitates vero quibus B et C. Si igitur tollatur, vel portetur in puncto A, B quidem deorsum vergens punctum C sursum elevat, C vero deorsum vergens punctum B elevat; ambo autem sursum elevata simul faciunt hæc.

CAP. XXVIII.

Διὰ τί, ἐὰν ᾖ λίαν μακρὸν τὸ αὐτὸ βάρος, χαλεπώτερον φέρειν ἐπὶ τοῦ ὤμου, κἂν μέσον φέρῃ τις, ἢ ἐὰν ἔλαττον ᾖ; Πάλαι ἐλέχθη ὡς οὐκ ἔστιν αἴτιον ἡ σάλευσις, ἀλλ' ἡ σάλευσις νῦν αἰτιόν ἐστιν· ὅταν γὰρ ᾖ μακρότερον, τὰ ἄκρα σαλεύεται μᾶλλον, ὥστ' εἴη ἂν καὶ τὸν φέροντα χαλεπώτερον φέρειν μᾶλλον. Αἴτιον δὲ τοῦ σαλεύεσθαι μᾶλλον, ὅτι τῆς αὐτῆς κινήσεως οὔσης μεθίσταται μᾶλλον τὰ ἄκρα, ὅσῳ περ ἂν ᾖ μακρότερον τὸ ξύλον· ὁ μὲν γὰρ ὦμος κέντρον, ἐφ' οὗ τὸ Α (μένει γὰρ τοῦτο), αἱ δὲ ΑΒ καὶ ΑΓ αἱ ἐκ τοῦ κέντρου. Ὅσῳ δ' ἂν ᾖ μεῖζον τὸ ἐκ τοῦ κέντρου ἢ τὸ ΑΒ, ἢ καὶ τὸ ΑΓ, πλέον μεθίσταται μέγεθος· δέδεικται δὲ τοῦτο πρότερον.

Cur, si admodum longum sit idem onus, difficilius in humero portatur, etiamsi medium illud ferat quis, quam si brevius sit? Modo diximus, vibrationem causam non esse, sed jam vibratio causa est : etenim si longius fuerit, magis extrema vibrantur, ita ut eveniat, ferentem id quoque difficilius portare. Causa autem est, cur magis vibretur, quod eadem manente motione, tanto magis transferuntur extrema, quo longius fuerit lignum : humerus enim sit centrum cui A inscriptum est (hoc enim loco manet), AB vero et AC lineæ e centro ductæ. Quanto autem majus fuerit linea a centro ducta, sive AB, seu AC, per tanto majus transfertur spatium : hoc enim supra demonstratum est.

CAP. XXIX.

Διὰ τί ἐπὶ τοῖς φρέασι τὰ κηλώνεια ποιοῦσι τοῦτον τὸν τρόπον; προστιθέασι γὰρ βάρος ἐν τῷ ξύλῳ τὸν μόλιβδον, ὄντος βάρους τοῦ κάδου αὐτοῦ, καὶ κενοῦ καὶ πλήρους ὄντος. Ἢ ὅτι ἐν δυσὶ χρόνοις διῃρημένου τοῦ ἔργου (βάψαι γὰρ δεῖ, καὶ τοῦτ' ἄνω ἑλκύσαι), συμβαίνει καθιέναι μὲν κενὸν ῥᾳδίως, αἴρειν δὲ πλήρη χαλεπῶς; Λυσιτελεῖ οὖν μικρῷ βραδύτερον εἶναι τὸ καταγαγεῖν πρὸς τὸ πολὺ κουφίσαι τὸ βάρος ἀνάγοντι.

Cur in puteis tollenones faciunt hoc modo? ligno enim plumbi addunt pondus, quum situla seu vacua, seu plena, ipsa per se pondus habeat? An quia duobus temporibus diviso hauriendi opere (mergere enim oportet immersumque sursum trahere), evenit, ut vacuam quidem situlam facile demittamus, plenam vero difficulter tollamus? Præstat igitur paulo tardius fieri demissionem, ut inde multo levius sustollenti fiat pondus. Hoc igitur efficit adjun-

Τοῦτο οὖν ποιεῖ ἐπ' ἄκρῳ τῷ κηλωνείῳ ὁ μόλιβδος προσκείμενος, ἢ ὁ λίθος· καθιμῶντι μὲν γὰρ γίνεται βάρος μεῖζον ἢ εἰ μόνον κενὸν δεῖ κατάγειν τὸν κάδον· ὅταν δὲ πλήρης ᾖ, ἀνάγει ὁ μόλιβδος, ἢ ὅ τι ἂν ᾖ τὸ προσκείμενον βάρος· ὥστ' ἐστὶ ῥᾴονα αὐτῷ τὰ ἄμφω ἢ ἐκείνως.

ctum in extremo tollenone plumbum, vel lapis: etenim demittenti quidem majus fit pondus quam si solummodo vacuam mergere oporteat situlam; ubi vero plena fuerit, sustollit plumbum, vel quodcumque demum pondus fuerit adjectum: quamobrem ejus ope ambo faciliora sunt quam illo modo.

CAP. XXX.

Διὰ τί, ὅταν φέρωσιν ἐπὶ ξύλου, ἤ τινος τοιούτου, δύο ἄνθρωποι ἴσον βάρος, οὐχ ὁμοίως θλίβονται, ἐὰν μὴ ἐπὶ τῷ μέσῳ ᾖ τὸ βάρος, ἀλλὰ μᾶλλον ὅσῳ ἂν ἐγγύτερον ᾖ τῶν φερόντων; Ἢ διότι μοχλὸς μὲν γίνεται οὕτως ἐχόντων τὸ ξύλον, τὸ δὲ βάρος ὑπομόχλιον, ὁ δ' ἐγγύτερος τοῦ βάρους τῶν φερόντων τὸ βάρος τὸ κινούμενον, ἅτερος δὲ τῶν φερόντων τὸ βάρος ὁ κινῶν; ὅσῳ γὰρ πλέον ἀπέχῃ τοῦ βάρους, τοσούτῳ ῥᾷον κινεῖ, καὶ θλίβει μᾶλλον τὸν ἕτερον εἰς τὸ κάτω, ὥσπερ ἀντερείδοντος τοῦ βάρους τοῦ ἐπικειμένου καὶ γινομένου ὑπομοχλίου. Ἐν μέσῳ δ' ἐπικειμένου τοῦ βάρους, οὐδὲν μᾶλλον ἅτερος θατέρῳ γίνεται βάρος, οὐδὲ κινεῖ, ἀλλ' ὁμοίως ἑκάτερος ἑκατέρῳ γίνεται βάρος.

Cur, ubi duo homines super ligno, vel alia hujusmodi re, onus ferunt æquale, non similiter premuntur, nisi in medio sit onus, sed eo magis, quo propius fuerit ferentibus? An quia lignum quidem, sic se habentibus rebus, vectis fit, onus vero hypomochlium, bajulorumque is qui oneri propior est, id quod movetur, alter autem bajulus is qui movet? quanto enim longius ab onere distat, tanto facilius movet, tantoque magis deorsum premit alterum, perinde ac si contra niteretur onus impositum atque hypomochlium fieret. Quodsi vero medio impositum fuerit onus, nihilo magis alter alteri fit onus, neque movet, sed similiter alter alteri fit onus.

CAP. XXXI.

Διὰ τί οἱ ἀνιστάμενοι πάντες πρὸς ὀξεῖαν γωνίαν τῷ μηρῷ ποιήσαντες τὴν κνήμην ἀνίστανται, καὶ τῷ θώρακι πρὸς τὸν μηρόν· εἰ δὲ μή, οὐκ ἂν δύναιντο ἀναστῆναι; Πότερον ὅτι τὸ ἴσον ἠρεμίας πανταχοῦ αἴτιον, ἡ δ' ὀρθὴ γωνία τοῦ ἴσου, καὶ ποιεῖ στάσιν; διὸ καὶ φέρεται πρὸς ὁμοίας γωνίας τῇ περιφερείᾳ τῆς γῆς· οὐ γὰρ ὅτι καὶ πρὸς ὀρθὴν ἔσται τῷ ἐπιπέδῳ. Ἢ ὅτι ἀνιστάμενος γίνεται ὀρθός, ἀνάγκη δὲ τὸν ἑστῶτα κάθετον εἶναι πρὸς τὴν γῆν; Εἰ οὖν μέλλει ἔσεσθαι πρὸς ὀρθήν, τοῦτο δ' ἐστὶ τὸ τὴν κεφαλὴν ἔχειν κατὰ τοὺς πόδας, καὶ γίνεται δὴ ὅτ' ἀνίσταται. Ὅταν μὲν οὖν καθήμενος ᾖ, παράλληλον ἔχει τὴν κεφαλὴν καὶ τοὺς πόδας, καὶ οὐκ ἐπὶ μιᾶς εὐθείας. Ἡ κεφαλὴ Α ἔστω, θώραξ ΑΒ, μηρὸς ΒΓ, κνήμη ΓΔ. Πρὸς ὀρθὴν δὲ γίνεται ὅ τε θώραξ ἐφ' οὗ ΑΒ, τῷ μηρῷ, καὶ ὁ μηρὸς τῇ κνήμῃ οὕτως καθημένῳ· ὥσθ' οὕτως ἔχοντα ἀδύνατον ἀναστῆναι. Ἀνάγκη δ' ἐγκλῖναι τὴν κνήμην καὶ ποιεῖν τοὺς πόδας ὑπὸ τὴν κεφαλήν. Τοῦτο δ' ἔσται, ἐὰν ἡ ΓΔ ἐφ' ἧς τὰ ΓΖ γένηται, καὶ ἅμα ἀναστῆναι συμβήσεται καὶ ἔχειν ἐπὶ τῆς αὐτῆς ἴσης τὴν κεφαλήν τε καὶ τοὺς πόδας· ἡ δὲ ΓΖ ὀξεῖαν ποιεῖ γωνίαν πρὸς τὴν ΒΓ.

Cur qui surgunt, omnes femori tibiam, et trunco femur ad acutum constituunt angulum, ubi surgunt; sin vero non, surgere non possent? An quia æqualitas ubique causa est quietis, rectus autem angulus æqualitatis est atque stationem facit? Propterea et secundum angulos æquales ad terræ circumferentiam fertur: non enim, quia etiam perpendiculariter insistet plano. An quia surgens fit rectus, stantem autem necesse est perpendiculum esse ad terram? Quodsi igitur ad perpendiculum insistere debet, id vero fit, ubi caput habet secundum crura, hoc sane locum habet, ubi surgit. Sedens itaque parallela tenet caput atque crura, et non in eadem linea recta. Sit caput A, truncus AB, femur BC, tibia CD. Perpendicularis autem est truncus, cui AB inscriptum est, ad femur, et femur ad tibiam, ita sedente homine: hinc fieri non potest, ut sic sese habens surgat. Necesse vero est eum tibiam inclinare et pedes sub caput collocare. Hoc autem ita erit, ubi CD pervenerit ad locum cui CF inscriptum est, atque simul eveniet ut surgat atque caput et crura in eadem habeat linea recta; linea CF autem acutum angulum facit cum linea BC.

CAP. XXXII.

Διὰ τί ῥᾷον κινεῖται τὸ κινούμενον ἢ τὸ μένον, οἷον τὰς ἁμάξας θᾶττον κινουμένας ὑπάγουσιν ἢ ἀρχομένας; Ἢ ὅτι χαλεπώτατον μὲν τὸ εἰς τοὐναντίον κινούμενον κινῆσαι βάρος; ἀφαιρεῖται γάρ τι τῆς τοῦ

Cur facilius movetur id quod jam in motu est, quam quod loco manet, veluti currus qui jam moventur, facilius subducunt quam moveri incipientes? An quia difficillimum est pondus movere quod in contrariam partem movetur?

κινοῦντος δυνάμεως, κἂν πολὺ θᾶττον ᾖ· ἀνάγκη γὰρ βραδυτέραν γίνεσθαι τὴν ὦσιν τοῦ ἀντωθουμένου. Δεύτερον δέ, ἐὰν ἠρεμῇ· ἀντιτείνει γὰρ καὶ τὸ ἠρεμοῦν. Τὸ δὲ κινούμενον ἐπὶ τὸ αὐτὸ τῷ ὠθοῦντι ὅμοιον ποιεῖ ὥσπερ ἂν εἰ αὐξήσειέ τις τὴν τοῦ κινοῦντος δύναμιν καὶ ταχυτῆτα· ὃ γὰρ ὑπ' ἐκείνου ἂν ἔπασχε, τοῦτο αὐτὸ ποιεῖ εἰς τὸ πρὸ ὁδοῦ κινούμενον.

aufertur namque pars aliqua de potentia rei moventis, etiamsi multo celerior sit: necesse enim est tardiorem fieri impulsionem istius quod repellitur. Secundo autem loco (tardiorem fieri impulsionem necesse est), si quiescat (res quæ movetur): nam id quoque quod quiescit, resistit. Quod vero movetur eodem quo movet res pellens, idem agit ac si quis auxisset rei moventis potentiam ac celeritatem: quod enim ab illa pateretur, id ipsum facit, anteriora versus quum movetur.

CAP. XXXIII.

Διὰ τί παύεται φερόμενα τὰ ῥιφέντα; πότερον ὅταν λήγῃ ἡ ἰσχὺς ἡ ἀφεῖσα, ἢ διὰ τὸ ἀντισπᾶσθαι, ἢ διὰ τὴν ῥοπήν, ἐὰν κρείττων ᾖ τῆς ἰσχύος τῆς ῥιψάσης; ἢ ἄτοπον τὸ ταῦτ' ἀπορεῖν, ἀφέντα τὴν ἀρχήν;

Cur res projectæ ferri desinunt? Num quando vis projiciens cessat, an quia retrahuntur, an propter gravitatem, si hæc vi projiciente major fuerit? An absurdum est hanc quæstionem proponere, neglecto principio?

CAP. XXXIV.

Διὰ τί φέρεταί τι οὐ τὴν αὑτοῦ φοράν, μὴ ἀκολουθοῦντος καὶ ὠθοῦντος τοῦ ἀφέντος; Ἢ δῆλον ὅτι ἐποίησε τοιοῦτον τὸ πρῶτον ὡς θάτερον ὠθεῖν, καὶ τοῦθ' ἕτερον; παύεται δέ, ὅταν μηκέτι δύνηται ποιεῖν τὸ προωθοῦν τὸ φερόμενον ὥστ' ὠθεῖν, καὶ ὅταν τὸ τοῦ φερομένου βάρος ῥέπῃ μᾶλλον τῆς εἰς τὸ πρόσθεν δυνάμεως τοῦ ὠθοῦντος.

Cur quidpiam non proprio fertur motu, licet non sequatur, vel pellat is qui miserit? An manifestum est, primum impellens ita egisse, ut aliud pellat, hoc vero rursus aliud? cessat autem ubi res propellens non amplius ita agere potest in rem impulsam, ut hæc vicissim pellat, atque ubi rei impulsæ gravitas nutu suo superat potentiam anteriora versus pellentis.

CAP. XXXV.

Διὰ τί οὔτε τὰ ἐλάττονα, οὔτε τὰ μεγάλα πόρρω φέρεται ῥιπτούμενα, ἀλλὰ δεῖ συμμετρίαν τινὰ ἔχειν πρὸς τὸν ῥιπτοῦντα; Πότερον ὅτι ἀνάγκη τὸ ῥιπτούμενον καὶ ὠθούμενον ἀντερείδειν ὅθεν ὠθεῖται; Τὸ δὲ μηθὲν ὑπεῖχον διὰ μέγεθος, ἢ μηδὲν ἀντερεῖσαν δι' ἀσθένειαν, οὐ ποιεῖ ῥῖψιν, οὐδ' ὦσιν. Τὸ μὲν οὖν πολὺ ὑπερβάλλον τῆς ἰσχύος τῆς ὠθούσης οὐθὲν ὑπείκει, τὸ δὲ πολὺ ἀσθενέστερον οὐδὲν ἀντερείδει. Ἢ ὅτι τοσοῦτον φέρεται τὸ φερόμενον, ὅσον ἂν ἀέρα κινήσῃ εἰς βάθος, τὸ δὲ μηδὲν κινούμενον οὐδ' ἂν κινήσειεν οὐδέν; Συμβαίνει δὴ ἀμφότερα τούτοις ἔχειν· τό τε γὰρ σφόδρα μέγα καὶ τὸ σφόδρα μικρὸν ὥσπερ οὐθὲν κινούμενά ἐστι· τὸ μὲν γὰρ αὐτὸ καθ' ἓν (αὐτίκα οὐθέν?) κινεῖ, τὸ δ' οὐθὲν κινεῖται.

Cur neque res nimis parvæ, neque magnæ nimis, longe feruntur, ubi projiciuntur, sed oportet proportionem quamdam intercedere inter eas et projicientem? An quia id quod projicitur ac pellitur, necessario contra nititur in eam directionem unde pellitur? Quod autem ob magnitudinem nequaquam cedit, aut præ imbecillitate nihil resistit, id neque projectionem, nec pulsionem facit. Quod itaque longe superat vim pellentem, nequaquam cedit; quod vero multo est imbecillius, nihil resistit. An quia per tantum spatium fertur res projecta, quantum aëris moverit in profundum, quod autem nequaquam movetur nihil quoque movebit? Evenit sane ut his rebus ambo hæc accidant: nam et quod valde magnum, et quod valde exiguum est, perinde sunt ac si nequaquam moverentur: alterum enim confestim nihil movet, alterum vero nequaquam movetur.

CAP. XXXVI.

Διὰ τί τὰ φερόμενα ἐν τῷ δινουμένῳ ὕδατι εἰς τὸ μέσον τελευτῶντα φέρονται ἅπαντα; Πότερον ὅτι μέγεθος ἔχει τὸ φερόμενον, ὥστ' ἐν δυσὶ κύκλοις εἶναι, τῷ μὲν ἐλάττονι, τῷ δὲ μείζονι, ἑκάτερον αὐτοῦ τῶν ἄκρων; ὥστε περισπᾷ ὁ μείζων διὰ τὸ φέρεσθαι θᾶττον, καὶ πλάγιον ἀπωθεῖ αὐτὸ εἰς τὸν ἐλάττω. Ἐπεὶ δὲ πλάτος ἔχει τὸ φερόμενον, καὶ οὗτος πάλιν τὸ αὐτὸ ποιεῖ, καὶ ἀπωθεῖ εἰς τὸν ἐντός, ἕως ἂν εἰς τὸ μέσον ἔλθῃ. Καὶ τότε μένει διὰ τὸ ὁμοίως ἔχειν πρὸς ἅπαν-

Cur quæ in aquæ vortice feruntur, postremum ad medium feruntur omnia? An quia magnitudinem habet id quod movetur, ita ut duo ejus extrema in duobus sint circulis, altero quidem minori, altero vero majori? Major itaque circulus, quia celerius fertur, circumagit illud depellitque oblique ad minorem. Quoniam autem id quod fertur, latitudinem habet, et iste rursus idem efficit depellitque ad interiorem circulum, donec ad medium pervenerit. Atque tunc sane quiescit id quod fertur, quia similiter sese habet ad omnes circulos propter medium:

τας τοὺς κύκλους τὸ φερόμενον, διὰ τὸ μέσον· καὶ γὰρ τὸ μέσον ἴσον ἀπέχει ἐν ἑκάστῳ τῶν κύκλων. Ἢ ὅτι ὅσων μὲν μὴ κρατεῖ ἡ φορὰ τοῦ δινουμένου ὕδατος διὰ τὸ μέγεθος, ἀλλ' ὑπερέχει τῇ βαρύτητι τῆς τοῦ κύκλου ταχυτῆτος, ἀνάγκη ὑπολείπεσθαι καὶ βραδύτερον φέρεσθαι, βραδύτερον δ' ὁ ἐλάττων κύκλος φέρεται; τὸ αὐτὸ γὰρ ἐν ἴσῳ χρόνῳ ὁ μέγας τῷ μικρῷ στρέφεται κύκλῳ, ὅταν ὦσι περὶ τὸ αὐτὸ μέσον· ὥστ' εἰς τὸν ἐλάττονα κύκλον ἀναγκαῖον ἀπολείπεσθαι, ἕως ἂν ἐπὶ τὸ μέσον ἔλθῃ. Ὅσων δὲ πρότερον κρατεῖ ἡ φορά, λήγουσα ταὐτὸ ποιήσει· δεῖ γὰρ τὸν μὲν εὐθύ, τὸν δ' ἕτερον (ὕστερον) κρατεῖν τῇ ταχυτῆτι τοῦ βάρους, ὥστ' εἰς τὸν ἐντὸς ἀεὶ κύκλον ὑπολείπεσθαι πᾶν· ἀνάγκη γὰρ αὐτὸ ἐντός, ἢ ἐκτὸς κινεῖσθαι τὸ μὴ κρατούμενον. Ἐν αὐτῷ δὴ τοίνυν ἐν ᾧ ἐστιν, ἀδύνατον φέρεσθαι τὸ μὴ κρατούμενον· ἔτι δ' ἧττον ἐν τῷ ἐκτός· θάττων γὰρ ἡ φορὰ τοῦ ἐκτὸς κύκλου. Λείπεται δ' εἰς τὸν ἐντὸς τὸ μὴ κρατούμενον μεθίστασθαι. Ἀεὶ δ' ἕκαστον ἐπιδίδωσιν εἰς τὸ μὴ κρατεῖσθαι. Ἐπεὶ δὲ πέρας τοῦ μὴ κινεῖσθαι ποιεῖ τὸ εἰς μέσον ἐλθεῖν, μένει δὲ τὸ κέντρον μόνον, ἅπαντα ἀνάγκη εἰς τοῦτο δὴ ἀθροίζεσθαι.

nam medium in unoquoque circulo æqualiter distat. An quia quæcumque propter magnitudinem motu vorticosæ aquæ non superantur, sed gravitate sua circuli velocitatem excellunt, necessario relinquuntur et tardius moventur, tardius autem movetur minor circulus? per idem enim spatium in æquali tempore volvitur magnus circulus per quod minor, ubi eidem centro circumpositi sunt: hinc in minori circulo necessario relinquitur, donec ad medium perveniat. Quæcumque autem prius superaverit motus, in hæc sub finem eodem modo aget: alter enim confestim, alter vero postmodum velocitate sua rei gravitatem superare debet, ita ut unumquodque semper in interiori relinquatur circulo: nam vel ad interiorem, vel ad exteriorem moveri partem id quod non superatur, necesse est. In eo ipso igitur loco, in quo est, non potest moveri id quod superatur; minus vero etiam in exteriori: celerior enim motus est exterioris circuli. Restat autem ut id quod non superatur, ad interiorem transferatur circulum. Semper autem unumquodque magis magisque eo tendit ut non superetur. Quoniam autem absolutum ad medium iter terminum constituit motus deficientis, quiescitque centrum solum, omnia sane ad hoc congregari necesse est.

ΠΕΡΙ ΘΑΥΜΑΣΙΩΝ ΑΚΟΥΣΜΑΤΩΝ *.

DE MIRABILIBUS AUSCULTATIONIBUS *.

(830.)

CAP. I.

Ἐν τῇ Παιονίᾳ φασὶν ἐν τῷ ὄρει τῷ Ἡσαίνῳ καλουμένῳ, ὃ τὴν Παιονικὴν καὶ τὴν Μαιδικὴν ὁρίζει, εἶναί τι θηρίον τὸ καλούμενον βόλινθον, ὑπὸ δὲ τῶν Παιόνων μόναιπον. Τοῦτον λέγουσι τὴν μὲν ὅλην φύσιν παραπλήσιον εἶναι βοΐ, διαφέρειν δὲ τῷ μεγέθει καὶ τῇ εὐρωστίᾳ, προσέτι δὲ καὶ τῇ χαίτῃ· ἔχει γὰρ ἀπὸ τοῦ αὐχένος, ὥσπερ ὁ ἵππος, κατατείνουσαν βαθεῖαν σφόδρα, καὶ ἀπὸ τῆς κορυφῆς ἕως τῶν ὀφθαλμῶν· τὰ δὲ κέρατα οὐχ ὥσπερ οἱ βόες, ἀλλὰ κατεστραμμένα, καὶ τὸ ὀξὺ κάτω παρὰ τὰ ὦτα· χωρεῖν δ' αὐτὰ ἡμιχόου πλεῖον ἑκάτερον αὐτῶν, καὶ μέλανα σφόδρα εἶναι, διαστίλβειν δ' ὡσανεὶ λελεπισμένα· ὅταν δ' ἐκδαρῇ τὸ δέρμα, κατέχειν τόπον ὀκτακλίνου. Ἡνίκα δὲ πληγῇ, φεύγει, κἂν ἐξαδυνατῇ μένει. Ἔστι δ' ἡδύκρεων. Ἀμύνεται δὲ λακτίζον καὶ προσαφοδεῦον ὡς ἐπὶ τέτταρας ὀργυιάς. Ῥᾳδίως δὲ χρῆται τούτῳ καὶ πολλάκις τῷ εἴδει, καὶ ἐπικαίει δ' ὥστ' ἀποψήχεσθαι τὰς τρίχας τῶν κυνῶν. Τεταραγμένου μὲν οὖν τοῦτο ποιεῖν φασι τὴν ἄφοδον, ἀταράχου δὲ μὴ ἐπικαίειν. Ὅταν δὲ τίκτωσι, πλείους γενόμενοι καὶ συναχθέντες ἅμα πάντες οἱ μέγιστοι τίκτουσι καὶ κύκλῳ προσαφοδεύουσιν· πολὺ γάρ τι τούτου τοῦ περιττώματος τὸ θηρίον προΐεται.

In Pæoniæ monte Hesæno dicto, qui Pæonicam Mædicamque regionem disterminat, feram quamdam bolinthum, a Pæonibus vero monæpon vocatam, inveniri tradunt: quæ universo quidem habitu ad bovis similitudinem accedat, antecellat vero magnitudine et robore, ac juba insuper: est enim ea a cervice illi velut equo admodum densa, atque inde a vertice ad usque oculos dependens; cornua autem non quemadmodum bobus, sed deorsum flexa, mucronibus infra auribus adpositis, magnitudine tam ampla ut singula plus semicongio capiant, colore maxime atro, relucentia perinde ac decorticata. Tergus avulsum locum octo accubantium occupat. Percussa fugit, nec nisi cursu delassata subsistit. Carnem habet gustu gratam. Calcibus sese tuetur et alvi proluvie, quam ad passuum circiter quatuor spatium projicit (nam eo egerendi more facile ac frequenter utitur) ferventem adeo, ut canum pilos deradat. Verum concitatæ tantum belluæ stercora eam vim habere dicuntur, placidæ vero non adurere. Imminente autem partu, postquam simul plures convenerint atque congregatæ fuerint, enituntur maximæ omnes, inque circulum egerunt: largam enim quamdam ejus fimi copiam hoc genus animantis projicit.

CAP. II.

Τοὺς ἐν Ἀραβίᾳ φασὶ καμήλους μὴ ἀναβαίνειν ἐπὶ τὰς μητέρας, ἀλλὰ κἂν βιάσηταί τις, οὐ θέλουσιν· καὶ γάρ ποτε λέγεται, ἐπεὶ οὐχ ἦν ὀχεῖον, τὸν ἐπιμελητὴν καλύψαντα ἐφεῖναι τὸν πῶλον. Ὡς δ' ὀχεύοντος ἐπέδη, τότε μέν, ὡς ἔοικε, συνετέλεσε, μικρῷ δ' ὕστερον δάκνων τὸν καμηλίτην ἀπέκτεινεν.

In Arabia aiunt camelos non inire matres suas; sed etiamsi quis cogat, non patiuntur: namque curatorem admissario aliquando destitutum operto matrem submisisse ferunt pullo. Quum vero eo ineunte conscendisset, coitum tunc quidem, ut videtur, absolvit; paulo tamen post armentarium morsibus necavit.

CAP. III.

Τοὺς κόκκυγάς φασι τοὺς ἐν Ἑλίκῃ, ὅταν μέλλωσι τίκτειν, μὴ ποιεῖν νεοττιάν, ἀλλ' ἐν ταῖς τῶν φαττῶν ἢ ταῖς τῶν τρυγόνων ἐντίκτειν, καὶ μήτ' ἐπῳάζειν, μήτ' ἐκκολάπτειν, μήτε τρέφειν αὐτούς· ἀλλ' ὅταν γεννηθῇ ὁ νεοττὸς καὶ ἐκτραφῇ, μεθ' ὧν ἂν οὗτος συνῇ, τούτους ἐκ τῆς νεοττιᾶς ἐκβάλλειν. Γίνεται δ', ὡς ἔοικε, μέγας καὶ καλός, ὥστε ῥᾳδίως κατακρατεῖν τῶν λοιπῶν. Τούτῳ δὲ χαίρειν φασὶ καὶ τὰς φάττας οὕτως ὥστε καὶ αὐτὰς συνεκβάλλειν ἐκείνῳ τοὺς ἰδίους νεοττούς.

Cuculos in Helice inquiunt parituros non nidificare, sed in palumbium aut turturum nidis parere, nec itidem incubare, nec excludere, neque enutrire; verum natum jam pullum enutritumque consortes suos e nido deturbare. Magnus autem fit, ut videtur, ac pulcher, ut et reliquis facile superior evadat. Hoc autem tantopere lætari ferunt palumbes ut ipsi quoque in ejiciendis suis ei ferant opem.

CAP. IV.

Αἱ ἐν Κρήτῃ αἶγες ὅταν τοξευθῶσι, ζητοῦσιν, ὡς ἔοικε, τὸ δίκταμον τὸ ἐκεῖ φυόμενον· ὅταν γὰρ φάγωσιν, εὐθὺς ἐκϐάλλουσι τὰ τοξεύματα.

Capræ Creticæ sagittis percussæ quærunt, ut videtur, dictamnum isthic proveniens: hac enim comesta, confestim tela e corpore ejiciunt.

CAP. V.

Φασί τινας ἐν ἀχαΐᾳ τῶν ἐλάφων, ὅταν ἀποϐάλωσι τὰ κέρατα, εἰς τοιούτους τόπους ἔρχεσθαι ὥστε μὴ ῥᾳδίως εὑρεθῆναι· τοῦτο δὲ ποιεῖν διὰ τὸ μὴ ἔχειν ᾧ ἀμυνοῦνται, καὶ διὰ τὸ πονεῖν τοὺς τόπους ὅθεν τὰ κέρατα ἀπέϐαλον· πολλαῖς δὲ καὶ κισσὸν ἐπιπεφυκότα ἐν τῷ τῶν κεράτων τόπῳ ὁρᾶσθαι.

Cervos nonnullos ea ætate qua tenera adhuc sunt cornua, his abjectis, ejusmodi loca adire ferunt ut vix inveniri queant; id vero facere propterea, quod nihil habeant quo tueri se queant, tum ob dolorem, quem locis unde cornua ejecerant, sentiunt; multis et enatam cornuorum in loco hederam conspici aiunt.

CAP. VI.

Ἐν Ἀρμενίᾳ φάρμακόν τί φασι φύεσθαι ὃ καλεῖται παρδάλειον. Τούτῳ οὖν, ὅταν ὀφθῇ πάρδαλις, χρίσαντες τὸ ἱερεῖον ἀφιᾶσιν. Ἡ δ' ὅταν ἅψηται αὐτοῦ, ζητεῖ, ὡς ἔοικε, τὴν τοῦ ἀνθρώπου κόπρον· διὸ καὶ οἱ κυνηγοὶ εἰς ἀγγεῖον αὐτὴν ἐμϐαλόντες ἔκ τινος δένδρου κρεμῶσιν, ἵνα προσαλλομένη καὶ ὑπέρκοπος γενομένη ὑπ' αὐτοῦ παραλυθῇ καὶ ὑποχείριος γένηται.

In Armenia venenum quoddam nasci aiunt, quod pardalium vocant. Eo itaque, ubi conspectus fuerit pardus, victimam illitam dimittunt. Qui si eam gustaverit, humana excrementa, ut videtur, quærit: quocirca et venatores vasculo indita ex arbore suspendunt, ut assultans ac labore delassata veneni ope resolutionem patiatur bestia atque domari queat.

CAP. VII.

Ἐν Αἰγύπτῳ δὲ τοὺς τροχίλους φασὶν εἰσπετομένους εἰς τὰ στόματα τῶν κροκοδείλων καθαίρειν αὐτῶν τοὺς ὀδόντας, τὰ σαρκία τὰ ἐνεχόμενα τοῖς ῥύγχεσιν ἐξέλκοντας· τοὺς δ' ἥδεσθαι καὶ μηδὲν βλάπτειν αὐτούς.

In Ægypto aiunt in crocodilorum ora trochilos involare eorumque dentes expurgare, caruncul as quæ in rostris hærent, evellentes; hos vero id cum voluptate admittere, nec iis nocere.

CAP. VIII.

Τοὺς ἐν Βυζαντίῳ φασὶν ἐχίνους αἰσθάνεσθαι ὅτε βόρεια καὶ νότια πνεῖ πνεύματα, καὶ μεταϐάλλειν εὐθὺς τὰς ὀπάς, καὶ ὅταν μὲν ᾖ νότια, ἐκ τοῦ ἐδάφους τὰς ὀπὰς ποιεῖσθαι, ὅταν δὲ βόρεια, ἐκ τῶν τοίχων.

Byzantios erinaceos dicunt sentire quando aquilo flet, et quando auster, et permutare statim ostia cavorum, ad pavimentum, si auster flet, ad parietes, si aquilo.

CAP. IX.

(8). Αἱ ἐν Κεφαλληνίᾳ αἶγες οὐ πίνουσιν, ὡς ἔοικεν, ὥσπερ καὶ τἄλλα τετράποδα, καθ' ἡμέραν δὲ πρὸς τὸ πέλαγος ἀντία τὰ πρόσωπα ποιήσασαι χάσκουσιν εἰσδεχόμεναι τὰ πνεύματα.

(8) In Cephalenia non bibunt capræ, ut videtur, pro reliquorum quadrupedum more, sed quotide facie mari obversa, hiant auras intro recipientes.

CAP. X.

(9) Φασὶν ἐν Συρίᾳ τῶν ἀγρίων ὄνων ἕνα ἀφηγεῖσθαι τῆς ἀγέλης, ἐπειδὰν δέ τις νεώτερος ὢν τῶν πώλων ἐπί τινα θήλειαν ἀναϐῇ, τὸν ἀφηγούμενον θυμοῦσθαι, καὶ διώκειν ἕως τούτου ἕως ἂν καταλάϐῃ τὸν πῶλον, καὶ ὑποκύψας ἐπὶ τὰ ὀπίσθια σκέλη τῷ στόματι ἀποσπάσῃ τὰ αἰδοῖα.

(9). In Syria inquiunt inter sylvestres asinos unum præire armento, atque si junior aliquis pullus feminam conscenderit, ducem indignari, et hunc tantisper persequi, dum comprehendat ac in crura posteriora conquiniscens ore vorenda evellat.

CAP. XI.

(10) Τὰς χελώνας λέγουσιν, ὅταν ἔχεως φάγωσιν, ἐπεσθίειν τὴν ὀρίγανον, ἐὰν δὲ μὴ θᾶττον εὕρῃ, ἀποθνήσκειν· πολλοὺς δ' ἀποπειράζοντας τῶν ἀγραυλούντων εἰ τοῦτ' ἀληθές ἐστιν, ὅταν ἴδωσιν αὐτὴν τοῦτο πράττουσαν, ἐκτίλλειν τὴν ὀρίγανον· τοῦτο δ' ὅταν ποιήσωσι, μετὰ μικρὸν αὐτὴν ὁρᾶσθαι ἀποθνήσκουσαν.

(10.) Testudines aiunt, quando viperam deglutiverunt, origanum insuper vorare; id nisi promptum statim inveniant, interire; multosque ruri agentes, quum id experiri vellent, an verum esset, simulac eam hæc facere vidisseut, origanum evulsisse : quo facto, animans in ipsorum conspectu paulo post interiisse.

CAP. XII.

(11) Τὸ τῆς ἰκτίδος λέγεται αἰδοῖον εἶναι οὐχ ὅμοιον τῇ φύσει τῶν λοιπῶν ζῴων, ἀλλὰ στερεὸν διὰ παντὸς οἷον ὀστοῦν, ὅπως ἄν ποτε διακειμένη τύχῃ. Φασὶ δὲ στραγγουρίας αὐτὸ φάρμακον εἶναι ἐν τοῖς ἀρίστοις καὶ δίδοσθαι ἐπιξυόμενον.

(11.) Viverræ aiunt genitalia esse reliquorum animalium naturæ absimile, dum ipsis, quomodocumque demum affectis, semper sint instar ossium solida. Singulare urinæ stillicidio laborantibus remedium esse perhibent rasaque exhiberi.

CAP. XIII.

(12) Τὸν δρυοκολάπτην φασὶ τὸ ὄρνεον ἐπὶ τῶν δένδρων βαδίζειν ὥσπερ τοὺς ἀσκαλαβώτας, καὶ ὕπτιον καὶ ἐπὶ τὴν γαστέρα. Νέμεσθαι δὲ λέγεται καὶ τοὺς ἐκ τῶν δένδρων σκώληκας, καὶ οὕτω σφόδρα κατὰ βάθους ὀρύττειν τὰ δένδρα ζητοῦντα τοὺς σκώληκας ὥστε καὶ καταβάλλειν αὐτά.

(12) Picum martium avem arbores scandere ferunt, quemadmodum stellionem, tam resupinum quam pronum in ventrem, depascique ex arboribus vermiculos, atque ita penitus perfodere stirpes vermes quærentem, ut eas vel sternat.

CAP. XIV.

(13) Φασὶ τοὺς πελεκᾶνας τὰς ἐν τοῖς ποταμοῖς γινομένας κόγχας ὀρύττοντας καταπίνειν, ἔπειτα ὅταν πλῆθος εἰσφρήσωσιν αὐτῶν, ἐξεμεῖν, εἶθ' οὕτω τὰ μὲν κρέα ἐσθίειν τῶν κογχῶν, τῶν δ' ὀστράκων μὴ ἅπτεσθαι.

(13.) Pelecanos aiunt conchas fluviatiles effossas vorare, deinde, ubi magnam copiam earum intromiserint, evomere, tunc ita carnibus quidem concharum vesci, a testa vero abstinere.

CAP. XV.

(14) Ἐν Κυλλήνῃ φασὶ τῆς Ἀρκαδίας τοὺς κοσσύφους λευκοὺς γίνεσθαι, ἄλλοθι δ' οὐδαμῇ, καὶ φωνὰς ποικίλας προΐεσθαι, ἐκπορεύεσθαί τε πρὸς τὴν σελήνην· τὴν δ' ἡμέραν εἴ τις ἐπιχειροίη, σφόδρα δυσθηράτους εἶναι.

(14.) Cyllenæ in Arcadia merulas candidas gigni tradunt, quod alibi nusquam contingat, vocesque varias edere ac luna lucente progredi; interdiu vero, si quis eas persequatur difficillime capi.

CAP. XVI.

(15) Λέγεται δ' ὑπό τινων μέλι τὸ καλούμενον ἄνθινον περὶ Μῆλον καὶ Κνίδον γίνεσθαι εὐῶδες μὲν τῇ ὀσμῇ, ὀλιγοχρόνιον δὲ κατὰ τὴν ἐριθάκην γίνεσθαι.

(15.) A quibusdam fertur mel anthinum, ut vocant, circa Melum Cnidumque fieri, odore quidem suavi, sed neutiquam durabile instar erithaces.

CAP. XVII.

(16) Περὶ Καππαδοκίαν ἔν τισι τόποις ἄνευ κηρίου φασὶν ἐργάζεσθαι τὸ μέλι, γίνεσθαι δὲ τὸ πάχος ὅμοιον ἐλαίῳ.

(16) Circa Cappadociam aiunt locis quibusdam mella citra favos confici, fierique olei instar crassa.

CAP. XVIII.

(17) Ἐν Τραπεζοῦντι τῇ ἐν τῷ Πόντῳ γίνεται τὸ ἀπὸ τῆς πύξου μέλι βαρύοσμον, καί φασι τοῦτο τοὺς

(17). In Pontica Trapezunte mel e buxo graveolens fieri aiunt, quod sanos quidem mentis loco moveat,

μὲν ὑγιαίνοντας ἐξιστάναι, τοὺς δ' ἐπιλήπτους καὶ τελέως ἀπαλλάττειν.

morbo vero comitiali correptos vel penitus sanet.

CAP. XIX.

(18) Φασὶ δὲ καὶ ἐν Λυδίᾳ ἀπὸ τῶν δένδρων τὸ μέλι συλλέγεσθαι πολύ, καὶ ποιεῖν ἐξ αὐτοῦ τοὺς ἐνοικοῦντας ἄνευ κηροῦ τροχίσκους, καὶ ἀποτέμνοντας χρῆσθαι διὰ τρίψεως σφοδροτέρας. Γίνεται μὲν οὖν καὶ ἐν Θρᾴκῃ, οὐχ οὕτω δὲ στερεόν, ἀλλ' ὡσανεὶ ἀμμῶδες. Ἅπαν δὲ μέλι πηγνύμενον τὸν ἴσον ἔχειν ὄγκον φασίν, οὐχ ὥσπερ τὸ ὕδωρ καὶ τἆλλα ὑγρά.

(18.) In Lydia quoque aiunt ex arboribus mella copiosa colligi, unde pastillos absque cera indigenæ conficiunt, quos vehementiore adtritu scindentes in usum suum convertunt. Fit sane et in Thracia mel, non tamen perinde solidum, sed quasi arenosum. Ceterum mella omnia concreta eamdem molem servare dicuntur, non quemadmodum aqua et liquida reliqua.

CAP. XX.

(19) Ἡ Χαλκιδικὴ πόα καὶ τὰ ἀμύγδαλα χρησιμώτατα πρὸς τὸ μέλι ποιεῖν· πλεῖστον γὰρ γόνον φασὶν ἐξ αὐτῶν γίνεσθαι.

(19). Chalcidica herba et amygdala ad mella conficienda usum præbent maximum : plurimum enim fœtum ex iis fieri dicunt.

CAP. XXI.

(20) Τὰς μελίττας λέγουσιν ὑπὸ μύρου καροῦσθαι καὶ οὐκ ἀνέχεσθαι τὴν ὀσμήν· ἔνιοι δὲ λέγουσι μάλιστα τοὺς μεμυρισμένους τύπτειν.

(20). Apes aiunt ex unguento consopiri, neque odorem ferre posse; nonnulli vero perhibent inprimis unguento delibutos ab iis feriri.

CAP. XXII.

(21) Ἐν Ἰλλυριοῖς φασι τοὺς Ταυλαντίους καλουμένους ἐκ τοῦ μέλιτος ποιεῖν οἶνον. Ὅταν δὲ τὰ κηρία ἐκθλίψωσιν, ὕδωρ ἐπιχέοντες ἕψουσιν ἐν λέβητι ἕως ἂν ἐκλίπῃ τὸ ἥμισυ, ἔπειτα εἰς κεράμια ἐκχέαντες καὶ ἡμίσεα ποιήσαντες τιθέασιν εἰς σανίδας· ἐν ταύταις δέ φασι ζεῖν πολὺν χρόνον, καὶ γίνεσθαι οἰνῶδες καὶ ἄλλως ἡδὺ καὶ εὔτονον. Ἤδη δέ τισι καὶ τῶν ἐν Ἑλλάδι συμβεβηκέναι λέγουσι τοῦτο, ὥστε μηδὲν διαφέρειν οἴνου παλαιοῦ, καὶ ζητοῦντας ὕστερον τὴν κρᾶσιν μὴ δύνασθαι εὑρεῖν.

(21). Illyrios ferunt eos, quos Taulantios vocant, e melle vinum conficere : favos enim expressos, aqua superfusa, in aheno ad mediam usque partem decoquunt, deinde fictilibus infundunt, eaque semiplena linquentes in tabulata reponunt : in quibus diu fervere aiunt, vinosumque fieri, ceteroquin suave ac validum. Jam vero et nonnullis Græciæ incolis hoc evenisse ferunt, ita ut a vino vetere nihil differret; verum mistionem deinceps perquisitam explorari non potuisse.

CAP. XXIII.

(22) Περὶ Θετταλίαν μνημονεύουσιν ὄφεις ζῳογονηθῆναι τοσούτους ὥστε, εἰ μὴ ὑπὸ τῶν πελαργῶν ἀνῃροῦντο, ἐκχωρῆσαι ἂν αὐτούς· διὸ δὴ καὶ τιμῶσι τοὺς πελαργούς, καὶ κτείνειν οὐ νόμος, καὶ ἐάν τις κτείνῃ, ἔνοχος τοῖς αὐτοῖς γίνεται οἷς περ καὶ ὁ ἀνδροφόνος.

(22). Circa Thessaliam tantam serpentum copiam generatam fuisse memorant, ut a ciconiis nisi interemti essent, ipsi demigrassent : quocirca et has venerantur, easque occidere lex vetat, ac si quis occiderit, eidem pœnæ obnoxius est cui et homicida.

CAP. XXIV.

(23) Ὡσαύτως καὶ ἐν Λακεδαίμονι κατά τινας χρόνους μνημονεύεται γενέσθαι τοσοῦτον πλῆθος ὄφεων ὥστε διὰ σπανοσιτίαν καὶ τροφῇ τοὺς Λάκωνας χρῆσθαι αὐτοῖς· ὅθεν καὶ τὴν Πυθίαν φασὶ προσαγορεῦσαι αὐτοὺς ὀφιοδείρους.

(23). Eodem pacto et Lacedæmone memoriæ tradunt tantam serpentum copiam quondam natam fuisse, ut ob annonæ penuriam iis vel vice alimentorum uterentur Lacones : unde et a Pythia serpentum excoriatores vocatos fuisse aiunt.

CAP. XXV.

(24) Ἐν Κύπρῳ τῇ νήσῳ λέγεται τοὺς μῦς τὸν σίδηρον ἐσθίειν.

(24). In Cypro (Gyaro?) insula mures aiunt ferrum devorare.

CAP. XXVI.

(25) Φασὶ δὲ καὶ [περὶ] τοὺς Χάλυβας ἔν τινι ὑπερκειμένῳ αὐτοῖς νησιδίῳ τὸ χρυσίον συμφορεῖσθαι παρὰ πλειόνων· διὸ δὴ καὶ τοὺς ἐν τοῖς μετάλλοις ἀνασχίζουσιν, ὡς ἔοικεν.

(25). Aiunt et apud Chalybas in parva quadam insula ultra eos sita aurum a pluribus comportari : quocirca et in metallis qui inveniuntur, ut videtur, rescindunt.

CAP. XXVII

(26) Λέγεται δ' ἐκ Σούσων εἰς Μηδίαν ἰοῦσιν ἐν τῷ δευτέρῳ σταθμῷ σκορπίων ἄπλετόν τι πλῆθος γίνεσθαι· διὸ καὶ ὁ βασιλεὺς ὁ Περσῶν, ὅτε διοδεύοι, τρεῖς ἡμέρας ἔμενε, πᾶσι τοῖς αὑτοῦ συντάσσων ἐκθηρεύειν· τῷ δὲ πλείστους θηρεύσαντι ἆθλον ἐδίδου.

(26.) Fertur ex Susis in Mediam proficiscentibus statione altera immensa scorpionum multitudo occurrere : quocirca et quoties isthac iter facit Persarum rex, triduo ibidem subsistere solet, suisque omnibus scorpionum venationem imperat, præmiumque ei qui captorum numero excelleret, dabat.

CAP. XXVIII.

(27) Ἐν Κυρήνῃ δέ φασιν οὐχ ἓν εἶναι μυῶν γένος, ἀλλὰ πλείω καὶ διάφορα, καὶ ταῖς μορφαῖς καὶ ταῖς χρόαις· ἐνίους γὰρ πλατυπροσώπους, ὥσπερ αἱ γαλαῖ, γίνεσθαι, τινὰς δ' ἐχινώδεις, οὓς καλοῦσιν ἐχῖνας.

(27.) Cyrenis aiunt non unum tantum murum genus reperiri, sed plura, cum formis, tum colore distincta : alios enim lata facie præditos velut mustelas, alios erinaceis similes nasci, quos echinas vocant.

CAP. XXIX.

(28) Περὶ Κιλικίαν δέ φασιν εἶναι ὕδατος συστρεμμάτιον, εἰς ὃ τὰ πεπνιγμένα τῶν ὀρνέων καὶ τῶν λοιπῶν ζῴων ὅταν ἀποβαφῇ, πάλιν ἀναβιοῖ.

(28). Circa Ciliciam ferunt aquæ vorticulum esse, in quem mersas aves reliquasque animantes suffocatas vitæ restitui.

CAP. XXX.

(29) Ἐν δὲ Σκύθαις τοῖς καλουμένοις Γελωνοῖς φασι θηρίον τι γίνεσθαι, σπάνιον μὲν ὑπερβολῇ, ὃ ὀνομάζεται τάρανδος. Λέγεται δὲ τοῦτο μεταβάλλειν τὰς χρόας τῆς τριχός, καθ' ὃν ἂν καὶ τόπον ᾖ· διὰ δὲ τοῦτο εἶναι δυσθήρατον, [καὶ διὰ τὴν μεταβολήν]· καὶ γὰρ δένδρεσι καὶ τόποις, καὶ ὅλως ἐν οἷς ἂν ᾖ, τοιοῦτον τῇ χροίᾳ γίνεσθαι. Θαυμασιώτατον δὲ τὸ τὴν τρίχα μεταβάλλειν· τὰ γὰρ λοιπὰ τὸν χρῶτα, οἷον ὅ τε χαμαιλέων καὶ ὁ πολύπους. Τὸ δὲ μέγεθος ὡσανεὶ βοῦς. Τοῦ δὲ προσώπου τὸν τύπον ὅμοιον ἔχει ἐλάφῳ.

(29). Apud Scythas eos, quos Gelonos vocant, feram quamdam reperiri aiunt admodum sane infrequentem, cui tarando nomen est. Hanc autem pilorum colorem mutare ferunt pro locorum, in quibus degerit, varietate, eamque hanc ob causam difficulter capi, [tum propter istam vicissitudinem] : nam et arboribus et locis, et in universum omnibus in quibus degerit, similis evadit colore. Quod vero admiratione cum primis dignum est, pilos mutat : reliqua enim pellem variant, ut chamæleon et polypus. Magnitudo ei quæ bovi; facie vero cervi speciem refert.

CAP. XXXI.

(30). Λέγεται δέ τινα ἐν Ἀβύδῳ παρακόψαντα τῇ διανοίᾳ καὶ εἰς τὸ θέατρον ἐρχόμενον ἐπὶ πολλὰς ἡμέρας θεωρεῖν, ὡς ὑποκρινομένων τινῶν, καὶ ἐπισημαίνεσθαι, καὶ ὡς κατέστη τῆς παρακοπῆς, ἔφησεν ἐκεῖνο αὑτῷ τὸν χρόνον ἥδιστα βεβιῶσθαι.

(30). Ferunt Abydi quemdam mente destitutum in theatrum progressum per multos dies, tamquam in eo essent histriones, spectavisse plausisseque. Ceterum mente recepta, dixit tempus illud suavissime se peregisse.

CAP. XXXII.

(31) Καὶ ἐν Τάραντι δέ φασιν οἰνοπώλην τινὰ τὴν μὲν νύκτα μαίνεσθαι, τὴν δ' ἡμέραν οἰνοπωλεῖν· καὶ γὰρ τὸ κλειδίον τοῦ οἰκήματος πρὸς τῷ ζωνίῳ διεφύλαττε, πολλῶν δ' ἐπιχειρούντων παρελέσθαι καὶ λαβεῖν, οὐδέποτε ἀπώλεσεν.

(31) Tarenti quoque aiunt cauponem quemdam noctu quidem insanire, interdiu vero vina vendere : nam et claviculam cellæ a zona suspensam servabat et, quamlibet multis subripere capereque conantibus, numquam tamen amisit.

CAP. XXXIII.

(193) Ἐν Τήνῳ τῇ νήσῳ φασὶν εἶναι φιάλιον σύγκραμα ἔχον, ἐξ οὗ πῦρ ἀνάπτουσι πάνυ ῥᾳδίως. (194) Καὶ ἐν Βιθυνίᾳ δὲ τῆς Θρᾴκης ἐν τοῖς μετάλλοις γίνεται ὁ καλούμενος σπίνος, ἐξ οὗ φασι πῦρ ἀνάπτεσθαι.

In Teno insula parvam esse phialam tradunt mixturam continentem, ex qua ignis admodum facile adcenditur. In Bithynia (Sithonia?) quoque Thraciæ parte nascitur in fodinis id cui spino nomen, ex quo ignis incendi fertur.

CAP. XXXIV.

(32) Ἐν δὲ Λιπάρᾳ τῇ νήσῳ λέγουσιν εἶναί τινες γῆν, εἰς ἣν ἐὰν κρύψωσι χύτραν, ἐμβαλόντες ὃ ἂν ἐθέλωσιν, ἕψουσιν.

(32) In Lipara insula aiunt quidam terram reperiri, qua si ollam obruas, quidquid injicere volueris, coquitur.

CAP. XXXV.

(33) Ἔστι δὲ καὶ ἐν Μηδίᾳ καὶ ἐν Ψιτταχηνῇ τῆς Περσίδος πυρὰ καιόμενα, τὸ μὲν ἐν Μηδίᾳ ὀλίγον, τὸ δ' ἐν Ψιτταχηνῇ πολὺ καὶ καθαρὸν τῇ φλογί· διὸ καὶ μαγειρεῖα πρὸς αὐτῷ κατεσκεύασεν ὁ Περσῶν βασιλεύς. Ἄμφω δ' ἐν ὁμαλοῖς τόποις, καὶ οὐκ ἐν ὑψηλοῖς. Ταῦτα δὲ καὶ νύκτωρ καὶ μεθ' ἡμέραν φανερά, τὰ δὲ περὶ Παμφυλίαν νύκτωρ μόνον.

(33) In Media quoque et in Psittacene regione Persidis ignes æstuant, in Media quidem exiguus, in Psittacene vero copiosus flamma pura : quamobrem et rex Persarum ad hunc coquinas exstruxit. Utrique autem in locis planis, non editis inveniuntur. Conspicui sunt hi quidem interdiu noctuque, qui vero circa Pamphyliam adsunt, noctu tantum.

CAP. XXXVI.

(34) Φασὶ δὲ καὶ περὶ Ἀτιντανίαν πρὸς τοῖς ὁρίοις τῆς Ἀπολλωνιάτιδος εἶναί τινα πέτραν, ἐξ ἧς τὸ μὲν ἀνιὸν πῦρ οὐ φανερόν ἐστιν, ἐπειδὰν δ' ἔλαιον ἐπιχυθῇ ἐπ' αὐτήν, ἐκφλογοῦται.

(34) Aiunt et circa Atintaniam juxta fines Apolloniatidis petram esse, e qua emissus ignis non appareat quidem, sed superinfuso oleo exardescat.

CAP. XXXVII.

(35) Λέγεται δὲ καὶ τὰ ἔξω στηλῶν Ἡρακλείων καίεσθαι, τὰ μὲν διὰ παντός, τὰ δὲ νύκτωρ μόνον, ὡς ὁ Ἄννωνος περίπλους ἱστορεῖ. Καὶ τὸ ἐν Λιπάρᾳ δὲ φανερὸν καὶ φλογῶδες, οὐ μὴν ἡμέρας, ἀλλὰ νύκτωρ μόνον. (36) Εἶναι δὲ καὶ ἐν Πιθηκούσσαις φασὶ πυρῶδες μὲν καὶ θερμὸν ἐκτόπως, οὐ μὴν καιόμενον.

(35) Ferunt etiam loca extra columnas Herculis flagrare, alia quidem perpetuo, alia autem noctu tantum, ut Hannonis circumnavigatio enarrat. Liparæ quoque ignis conspicuus et flammeus est, non tamen interdiu, sed noctu tantum. (36) Aiunt et in Pithecussis insulis igneum quoddam ac calidum inveniri, non tamen ardere.

CAP. XXXVIII.

(37) Τὸ δ' ἐν τῇ Λιπάρᾳ ποτὲ καὶ ἐκλιπεῖν φησι Ξενοφάνης ἐπ' ἔτη ἑκκαίδεκα, τῷ δ' ἑβδόμῳ ἐπανελθεῖν. (38) Τὸν δ' ἐν τῇ Αἴτνῃ ῥύακα οὔτε φλογώδη φασίν, οὔτε συνεχῆ, ἀλλὰ διὰ πολλῶν ἐτῶν γίνεσθαι.

(37) Liparæ autem ignem inquit Xenophanes quondam et annis sedecim defecisse, decimo vero septimo rediisse. (38) Ætnæ quoque fluentum aiunt nec flammeum esse, nec continuum, sed post multos annos redire.

CAP. XXXIX.

Λέγεται δὲ καὶ περὶ Λυδίαν ἀναζέσαι πῦρ πάμπληθες, καὶ καίεσθαι ἐφ' ἡμέρας ἑπτά.

(37) Ferunt et circa Lydiam ignem quam plurimum effervuisse, diebusque septem ardere.

CAP. XL.

Θαυμαστὸν δὲ τὸ ἐν Σικελίᾳ περὶ τὸν ῥύακα γινόμενον· τὸ γὰρ πλάτος ἐστὶ τὸ τῆς τοῦ πυρὸς ἀναζέσεως τεσσαράκοντα σταδίων, τὸ δ' ὕψος δι' οὗ φέρεται, τριῶν.

(38) Admiratione vero dignum est quod in Sicilia circa fluentum evenit : latitudo enim fervoris ignei stadia quadraginta æquat, altitudo autem per quam fertur, tria.

CAP. XLI.

Φασὶ δὲ τὸν ἐν τῇ Θρᾴκῃ λίθον τὸν καλούμενον σπίνον διακοπέντα καίεσθαι, καὶ συντεθέντα πρὸς ἑαυτόν, ὥσπερ τὴν σμαρίλην, οὕτως κἀκεῖνον εἰς ἑαυτὸν τεθέντα καὶ ἐπιρραινόμενον ὕδατι καίεσθαι· τὸ δ' αὐτὸ ποιεῖν καὶ τὸν μαριέα.

(39) In Thracia quoque aiunt lapidem, quem spinum vocant, dissectum ardere, et secum ipsum compositum, quemadmodum favilla, sic illum quoque sibi ipsi adpositum aquaque conspersum ardere; idemque facere et marieum.

CAP. XLII.

Περὶ Φιλίππους τῆς Μακεδονίας εἶναι λέγουσι μέταλλα, ἐξ ὧν τὰ ἐκβαλλόμενα ἀποσύρματα αὐξάνεσθαί φασι καὶ φύειν χρυσίον, καὶ τοῦτ' εἶναι φανερόν.

(40) Circa Philippos in Macedonia ferunt metalla inveniri, quorum ramenta crescant ejecta, aurique aliquantulum producant, idque manifestum esse.

CAP. XLIII.

Φασὶ δὲ καὶ ἐν Κύπρῳ περὶ τὸν καλούμενον Τυρρίαν χαλκὸν ὅμοιον γίνεσθαι· κατακόψαντες γάρ, ὡς ἔοικεν, εἰς μικρὰ σπείρουσιν αὐτόν, εἶθ' ὑδάτων ἐπιγενομένων, αὐξάνεται καὶ ἐξανίησι, καὶ οὕτω συνάγεται.

(41) Aiunt et in Cypro circa Tyrrhiam (Curiam?) quam vocant, æs ejusdem generis provenire : in minuta enim frusta concisum seritur, ut videtur; deinde, pluviis supervenientibus, augetur ac germinat, atque ita colligitur.

CAP. XLIV.

Φασὶ δὲ καὶ ἐν Μήλῳ τῇ νήσῳ ἐν τοῖς ἐξορυσσομένοις τόποις τῆς γῆς πάλιν ἀναπληρώματα γίνεσθαι.

(42) In Melo quoque insula ferunt effossas terræ cavernas alia subcrescente humo rursum compleri.

CAP. XLV.

Περὶ Παιονίαν λέγουσιν, ὅταν συνεχεῖς ὄμβροι γένωνται, εὑρίσκεσθαι περιτηκομένης τῆς γῆς, χρυσὸν τὸν καλούμενον ἄπυρον. (46) Λέγουσι δ' ἐν τῇ Παιονίᾳ οὕτω χρυσίζειν τὴν γῆν ὥστε πολλοὺς εὑρηκέναι καὶ ὑπὲρ μνᾶν χρυσίου ὁλκήν. Τῷ δὲ βασιλεῖ τινά φασιν εὑρόντα ἀνενεγκεῖν δύο βώλους, τὸν μὲν τρεῖς μνᾶς ἄγοντα, τὸν δὲ πέντε· οὕς φασιν ἐπὶ τῆς τραπέζης αὐτῷ παρακεῖσθαι, καὶ ἐπ' ἐκείνων πρῶτον, εἴ τι ἐσθίει, ἀπάρχεσθαι.

(43) Circa Pæoniam dicunt, adsiduis imbribus ingruentibus terra liquescente, aurum quod ignis expers vocant, inveniri. In Pæonia ferunt, adeo fertile auro solum esse, ut a multis vel pondus minam excedens repertum sit. Ex eo regi repertorem quemdam adtulisse ferunt glebas duas, quarum altera quidem tres, altera vero quinque libras adpenderet, atque eas aiunt regi in mensa adpositas esse, inque iis si quid edat, antea primitias offerre.

CAP. XLVI.

(47) Φασὶ δὲ καὶ ἐν Βάκτροις τὸν Ὦξον ποταμὸν καταφέρειν βωλία χρυσίου πλήθει πολλά, καὶ ἐν Ἰβηρίᾳ δὲ τὸν καλούμενον Θεόδωρον ποταμὸν ἐκβράσσειν τε πολὺ περὶ τὰ χείλη χρυσίον, ὁμοίως δὲ καὶ καταφέρειν.

(44) Aiunt et apud Bactros Oxum fluvium glebulas auri numero multas deferre, itemque in Iberia fluvium Theodorum (Thermodontem?) dictum in littora multum ejicere aurum, similiterque et deferre.

CAP. XLVII.

(48) Λέγουσι δὲ καὶ ἐν Πιερίᾳ τῆς Μακεδονίας ἄσημόν τι χρυσίον κατορωρυγμένον ὑπὸ τῶν ἀρχαίων βασιλέων, χασμάτων [τε] τεττάρων ὄντων, ἐξ ἑνὸς αὐτῶν ἀναφῦναι χρυσίον τὸ μέγεθος σπιθαμιαῖον.

(45) In Pieria Macedoniæ quoque fertur aurum quoddam non signatum defossum esse a regibus priscis, ac quum quatuor adessent hiatus, ex eorum uno aurum pullulasse magnitudine dodrantale.

CAP. XLVIII.

(49) Λέγεται δ' ἰδιαιτάτην εἶναι γένεσιν σιδήρου τοῦ Χαλυβικοῦ καὶ τοῦ Ἀμισηνοῦ· συμφύεται γάρ, ὥς γε λέγουσιν, ἐκ τῆς ἄμμου τῆς καταφερομένης ἐκ τῶν ποταμῶν. Ταύτην δ' οἱ μὲν ἁπλῶς φασι πλύναντας καμινεύειν, οἱ δὲ τὴν ὑπόστασιν τὴν γενομένην ἐκ τῆς πλύσεως πολλάκις πλυθεῖσαν συγκαίειν, παρεμβάλλειν δὲ τὸν πυρίμαχον καλούμενον λίθον· εἶναι δ' ἐν τῇ χώρᾳ πολύν. Οὗτος δ' ὁ σίδηρος πολὺ τῶν ἄλλων γίνεται καλλίων. Εἰ δὲ μὴ ἐν μιᾷ καμίνῳ ἐκαίετο, οὐδὲν ἄν, ὡς ἔοικε, διέφερε τἀργυρίου. Μόνον δέ φασιν αὐτὸν ἀνίωτον εἶναι, οὐ πολὺν δὲ γίνεσθαι.

(46) Fertur autem peculiarissima generatio esse ferri Chalybici Amisenique, ut quod ex sabulo quod a fluviis defertur, ut perhibent certe, conflatur. Alii simpliciter lotum in fornace excoqui, alii vero, quod ex lotura subsedit, frequentius lotum comburi tradunt, adjecto simul et pyrimacho dicto lapide, qui in ista regione plurimus reperiri fertur. Hoc genus ferri reliquis est multo præstantius, et nisi una fornace ureretur, ab argento nullo pacto, ut videtur, differret. Solum hoc rubiginis expers esse fertur, ceterum non provenire copiosum.

CAP. XLIX.

(50) Φασὶ δὲ καὶ ἐν Ἰνδοῖς τὸν χαλκὸν οὕτως εἶναι λαμπρὸν καὶ καθαρὸν καὶ ἀνίωτον, ὥστε μὴ διαγινώσκεσθαι τῇ χρόᾳ πρὸς τὸν χρυσόν, ἀλλ' ἐν τοῖς Δαρείου ποτηρίοις βατιακὰς εἶναί τινας καὶ πλείους, ἃς εἰ μὴ τῇ ὀσμῇ, ἄλλως οὐκ ἦν διαγνῶναι, πότερόν εἰσι χαλκαῖ, ἢ χρυσαῖ.

(47) Aiunt et apud Indos æs adeo splendidum sincerumque ac rubiginis expers esse, ut colore ab auro discerni nequeat, verum inter Darii pocula batiacas quasdam esse sat multas, quas nisi olfactus judicio, discernere non liceret æneæne essent, an aureæ.

CAP. L.

(51) Τὸν κασσίτερον τὸν Κελτικὸν τήκεσθαί φασι πολὺ τάχιον μολύβδου. Σημεῖον δὲ τῆς εὐτηξίας ὅτι τήκεσθαι δοκεῖ καὶ ἐν τῷ ὕδατι. Χρώζει γοῦν, ὡς ἔοικε, ταχύ· τήκεται δὲ καὶ ἐν τοῖς ψύχεσιν, ὅταν γένηται πάγη, ἐγκατακλειομένου ἐντός, ὥς φασι, καὶ συνωθουμένου τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος αὐτῷ, διὰ τὴν ἀσθένειαν.

(48) Stannum ferunt Celticum multo quam plumbum citius liquefieri. Argumento cur facile liquescat, est quod etiam in aquis liquescere videtur. Hinc, ut videtur, cito tingit; sed et in frigoribus liquescit, gelu ingravescente, calore quæ ei inerat, intus, ut ferunt, concluso et compulso ob debilitatem.

CAP. LI.

(52) Ἐν τῷ Πανθείῳ ἐστὶν ἐλαία, καλεῖται δὲ καλλιστέφανος· ταύτης πάντα τὰ φύλλα ταῖς λοιπαῖς ἐλαίαις ἐναντία πέφυκεν. ἔξω γάρ, ἀλλ' οὐκ ἐντὸς ἔχει τὰ χλωρά, ἀφίησί τε τοὺς πτόρθους, ὥσπερ ἡ μύρτος, εἰς τοὺς στεφάνους συμμέτρους. Ἀπὸ ταύτης φυτὸν λαβὼν ὁ Ἡρακλῆς ἐφύτευσεν Ὀλυμπιάσιν, ἀφ' ἧς οἱ στέφανοι τοῖς ἀθληταῖς δίδονται. Ἔστι δ' αὕτη παρὰ τὸν Ἰλισσὸν ποταμόν, σταδίους ἑξήκοντα τοῦ ποταμοῦ ἀπέχουσα· περιῳκοδόμηται δέ, καὶ ζημία μεγάλη τῷ θιγόντι αὐτῆς ἐστιν. Ἀπὸ ταύτης δὲ τὸ φυτὸν λαβόντες ἐφύτευσαν Ἠλεῖοι ἐν Ὀλυμπίᾳ, καὶ τοὺς στεφάνους ἀπ' αὐτῆς ἔδωκαν.

(49) In Pantheo olea est, quam callistephanum vocant, omnia folia reliquis oleis contraria producens, quippe quæ extra, non vero intus, partem habent pallidiorem. Ramos mittit, quemadmodum myrtus, ad coronas accommodatos. Inde sumptam plantam Hercules, in gratiam ludorum Olympicorum plantavit: hinc athletis coronæ dantur. Invenitur hæc prope Ilissum fluvium, stadiis sexaginta ab eo distans. Circumquaque domus exstructæ sunt, ac ne quis tangat, grandi mulcta cavetur. Hinc et Elei decerptum surculum Olympiæ plantarunt, et coronas inde donarunt.

CAP. LII.

(53) Ἐν τοῖς περὶ Λυδίαν μετάλλοις τοῖς περὶ Πέργαμον, ἃ δὴ καὶ Κροῖσος εἰργάσατο, πολέμου τινὸς γενομένου, κατέφυγον οἱ ἐργαζόμενοι ἐπ' αὐτά, τοῦ δὲ στομίου ἐποικοδομηθέντος ἀπεπνίγησαν, καὶ ὕστερον χρόνῳ πολλῷ τῶν μετάλλων ἀνακαθαρθέντων εὑρέθη οἷς ἐχρῶντο, ἀγγείοις πρὸς τὰς ὑπὸ χεῖρα χρείας ἀπολελιθωμένα, οἷον ἀμφορεῖς καὶ τὰ τοιουτότροπα. Ταῦτα δὴ πεπληρωμένα οὗ τινος ἔτυχον ὑγροῦ, ἐλελίθωτο, καὶ προσέτι τὰ ὀστᾶ τῶν ἀνθρώπων.

(50) *In* metallis Lydiæ circa Pergamum, quæ sane et Crœsus coluerat, bello quodam exorto, opifices in ea confugerunt; obstructo vero ostio, suffocati sunt, atque longo post temporum intervallo, repurgatis rursum metallis, in lapidem conversa invenerunt vasa, quæ ad manuarios usus adhibebant, ceu amphoras et alia hujusmodi. Hæc sane humore quem fors tulerat, repleta in lapides indurata erant, et juxta etiam ossa hominum.

CAP. LIII.

(54) Ἐν τῇ Ἀσκανίᾳ λίμνῃ οὕτω νιτρῶδές ἐστι τὸ ὕδωρ ὥστε τὰ ἱμάτια οὐδενὸς ἑτέρου ῥύμματος προσδεῖσθαι, κἂν πλείω χρόνον ἐν τῷ ὕδατι ἐάσῃ τις, διαπίπτει.

(51) In lacu Ascanio aqua adeo nitrosa est, ut vestibus nihilo alio sit opus ad detergendum; diffluunt vero, si quis diutius in aqua reliquerit.

CAP. LIV.

(55) Περὶ τὴν Ἀσκανίαν λίμνην Πυθόπολίς ἐστι κώμη ἀπέχουσα Κίου ὡς σταδίους ἑκατὸν εἴκοσιν, ἐν ᾗ τοῦ χειμῶνος ἀναξηραίνεται πάντα τὰ φρέατα, ὥστε μὴ ἐνδέχεσθαι βάψαι τὸ ἀγγεῖον, τοῦ δὲ θέρους πληροῦται ἕως τοῦ στόματος.

(52) Circa Ascanium lacum Pythopolis est, qui vicus Cio circiter centum et viginti stadia distat. Hic hyeme putei omnes ita exsiccantur, ut haustrum immergere non liceat; æstate vero ad ostium usque implentur.

CAP. LV.

(56) Ὁ πορθμὸς ὁ μεταξὺ Σικελίας καὶ Ἰταλίας αὔξεται καὶ φθίνει ἅμα τῷ σεληνίῳ.

(53) Fretum inter Siciliam et Italiam una cum luna intumescit et subsidet.

CAP. LVI.

(57) Καὶ διότι ἐπὶ τῆς ὁδοῦ τῆς εἰς Συρακούσας κρήνη ἐστὶν ἐν λειμῶνι οὔτε μεγάλη, οὔθ' ὕδωρ ἔχουσα πολύ· συναπαντήσαντος δ' εἰς τὸν τόπον ὄχλου πολλοῦ, παρέσχεν ὕδωρ ἄφθονον.

(54) Porro in prato ad viam quæ Syracusas ducit, fontem esse [ferunt] neque amplum, nec aqua larga scaturientem : quem ad locum, quum turba ingens confluxisset, præbuit aquarum abundantem copiam.

CAP. LVII.

(58) Ἔστι δὲ καὶ κρήνη τις ἐν Παλικοῖς τῆς Σικελίας, ὡς δεκάκλινος· αὕτη δ' ἀναρρίπτει ὕδωρ εἰς ὕψος ἓξ πήχεις, ὥσθ' ὑπὸ τῶν ἰδόντων νομίζεσθαι κατακλυσθήσεσθαι τὸ πεδίον, καὶ πάλιν εἰς ταὐτὸ καθίσταται. Ἔστι δὲ καὶ ὅρκος, ὃς ἅγιος αὐτόθι δοκεῖ εἶναι· ὅσα γὰρ ὄμνυσί τις, γράψας εἰς πινακίδιον ἐμβάλλει εἰς τὸ ὕδωρ. Ἐὰν μὲν οὖν εὐορκῇ, ἐπιπολάζει τὸ πινακίδιον· ἐὰν δὲ μὴ εὐορκῇ, τὸ μὲν πινακίδιον βαρὺ γενόμενον ἀφανίζεσθαί φασι, τὸν δ' ἄνθρωπον πίμπρασθαι· διὸ δὴ λαμβάνειν τὸν ἱερέα παρ' αὐτοῦ ἐγγύας ὑπὲρ τοῦ καθαίρειν τινὰ τὸ ἱερόν.

(55) Est et fons quidam in Palicis Siciliæ, ~~octo~~ decem circiter accubantium spatium occupans, qui aquas ad sex cubitorum altitudinem ejicit, ita ut qui hoc viderint, putent fore ut campus submergatur, atque deinceps rursus ad pristinum statum redit. Exstat præterea jusjurandum quod hic sanctum esse videtur: quæ enim cumque quis juraverit, tabulæ inscripta in fontem conjicit. Quodsi igitur religiose juraverit, supernatat tabula; sin secus, tabellam quidem pondere depressam eripi ferunt ex oculis, hominem vero uri : quocirca et fidejussorem ab ipso capere sacerdotem de templo ab aliquo expiando.

CAP. LVIII.

(59) Δημόνησος ἡ Καλχηδονίων νῆσος ἀπὸ Δημονήσου τοῦ πρώτου ἐργασαμένου τὴν ἐπωνυμίαν εἴληφεν· ἔχει δ' ὁ τόπος κυάνου τὸ μέταλλον καὶ χρυσοκόλλης. Ταύτης δ' ἡ καλλίστη πρὸς χρυσίον εὑρίσκει τιμήν· καὶ γὰρ φάρμακον ὀφθαλμῶν ἐστιν. Ἔστι δ' αὐτόθι χαλκὸς κολυμβητὴς ἐν δυοῖν ὀργυιαῖς τῆς θαλάσσης· ὅθεν ὁ ἐν Σικυῶνί ἐστιν ἀνδριὰς ἐν τῷ ἀρχαίῳ νεῷ τοῦ Ἀπόλλωνος, καὶ ἐν Φενεῷ οἱ ὀρείχαλκοι καλούμενοι. Ἐπιγέγραπται δ' αὐτοῖς « Ἡρακλῆς Ἀμφιτρύωνος Ἦλιν ἑλὼν ἀνέθηκεν. » Αἱρεῖ δὲ τὴν Ἦλιν ἡγουμένης κατὰ χρησμὸν γυναικός, ἧς τὸν πατέρα Αὐγείαν ἀπέκτεινεν. Οἱ δὲ τὸν χαλκὸν ὀρύττοντες ὀξυδερκέστατοι γίνονται, καὶ οἱ βλεφαρίδας μὴ ἔχοντες φύουσιν· παρὸ καὶ οἱ ἰατροὶ τῷ ἄνθει τοῦ χαλκοῦ καὶ τῇ τέφρᾳ τῇ Φρυγίᾳ χρῶνται πρὸς τοὺς ὀφθαλμούς.

(56) Demonesus Chalcedoniorum insula a Demoneso primo cultore nomen traxit; continet vero hicce locus cyani chrysocollæque fodinam. Hujus autem pulcherrima species aurum contra venit: oculorum enim medicamentum est. Sed æs urinatorum ibidem est ad passus duos infra maris superficiem, unde conflata statua est quæ Sicyone in vetusto Apollinis templo exstat, (57) uti et Phenei quæ orichalci adpellantur, inscriptione ejusmodi insignitæ « Hercules Amphitryoniades Elide capta dedicavit. » Capit autem Elidem, secundum oraculum duce femina, cujus patrem necarat Augiam. Qui æs hoc effodiunt, visu redduntur acutissimo, et si ciliis forte careant, tum nascuntur: quapropter et medici florem æris cineremque Phrygium oculis medicandis adhibent.

CAP. LIX.

(60) Ἔστι δ' αὐτόθι σπήλαιον ὃ καλεῖται γλαφυρόν· ἐν δὲ τούτῳ κίονες πεπήγασιν ἀπό τινων σταλαγμῶν. Ἀποδηλοῖ δὲ τοῦτο ἐν τῇ συναγωγῇ τῇ πρὸς τὸ ἔδαφος· ἔστι γὰρ ταύτῃ στενώτατον.

(58) Eodem loco spelunca est, quam venustam vocant, in qua columnæ e stillicidiis quibusdam concreverunt: id quod inde apparet, quod solum versus contrahuntur: hac enim parte angustissimum est.

CAP. LX.

(61) Ἐκ τοῦ ζεύγους δὲ τῶν ἀετῶν θάτερον τῶν ἐγγόνων ἁλιαίετος γίνεται παραλλάξ, ἕως ἂν σύζυγα γένηται. Ἐκ δ' ἁλιαιέτων φήνη γίνεται, ἐκ δὲ τούτων περκνοὶ καὶ γῦπες· οὗτοι δ' οὐκέτι διορίζουσι περὶ τοὺς γῦπας, ἀλλὰ γεννῶσι τοὺς μεγάλους γῦπας· οὗτοι δ' εἰσὶν ἄγονοι. Σημεῖον δὲ τοῦτο, διότι νεοττιὰν οὐδεὶς ἑώρακε γυπὸς μεγάλου.

(59) Ex aquilarum pari alter pullus aquila fit marina vicissim, donec conjuges adsint. Ex aquilis marinis vero nascitur ossifraga, atque ex his percni et vultures; hi vero vulturni generis limites non amplius excedunt, sed grandes vultures gignunt, atque hi steriles sunt. Indicio est quod vulturis magni nidus nemini mortalium visus sit.

CAP. LXI.

(62) Θαυμαστὸν δέ τί φασιν ἐν Ἰνδοῖς περὶ τὸν ἐκεῖ μόλυβδον συμβαίνειν· ὅταν γὰρ τακεὶς εἰς ὕδωρ καταχυθῇ ψυχρόν, ἐκπηδᾶν ἐκ τοῦ ὕδατος.

(60) Mirandum quid evenire narrant apud Indos circa plumbum quod ibi exstat: liquefactum enim si aquæ frigidæ infundatur, exsilire traditur ex ea.

CAP. LXII.

(63) Φασὶ τὸν Μοσσύνοικον χαλκὸν λαμπρότατον καὶ λευκότατον εἶναι, οὐ παραμιγνυμένου αὐτῷ κασσιτέρου, ἀλλὰ γῆς τινος αὐτοῦ γινομένης καὶ συνεψομένης αὐτῷ. Λέγουσι δὲ τὸν εὑρόντα τὴν κρᾶσιν μηδένα διδάξαι· διὸ τὰ προγεγονότα ἐν τοῖς τόποις χαλκώματα διάφορα, τὰ δ' ἐπιγινόμενα οὐκέτι.

(61) Æs Mossynœcum splendidissimum atque candidissimum esse ferunt, quum ei non admiscetur stannum, sed terra quædam isthic nascens quacum coquitur. Atque ejus temperaturæ primum inventorem narrant neminem docuisse, et proinde æramenta olim iis in locis facta præstantissima esse, quæ vero exinde fiunt, non item.

CAP. LXIII.

(64) Ἐν τῷ Πόντῳ λέγουσι τοῦ χειμῶνος τῶν ὀρνέων τινὰ εὑρίσκεσθαι φωλεύοντα, οὔτ' ἀφοδεύοντα, οὔτε δ' ὅταν τὰ πτερὰ αὐτῶν τίλλωσιν, αἰσθάνεσθαι, οὐθ' ὅταν ἐπὶ τὸν ὀβελίσκον ἀναπαρῇ, ἀλλ' ὅταν ὑπὸ

(62) Aiunt in Ponto aves quasdam reperiri, quæ hyeme lateant, neque stercus egerant, neque sensu afficiantur ullo, ubi alæ earum vellicantur, vel ipsæ veru transfi-

τοῦ πυρὸς διακαυθῇ. Πολλοὺς δὲ καὶ τῶν ἰχθύων λέγουσι περικοπέντας καὶ περιτμηθέντας μὴ αἰσθάνεσθαι, ἀλλ' ὅταν ὑπὸ τοῦ πυρὸς διαθερμανθῶσιν.

guntur, sed igne perustæ tantummodo. Piscium quoque multos mutilatos et circumsectos non sentire dicunt, nisi ubi igne percaluerint.

CAP. LXIV.

(65) Ἡ μέλιττα δοκεῖ τὰς τροπὰς σημαίνειν τῷ ἐπὶ τὰ ἔργα βαδίζειν, ᾧ καὶ οἱ μελιττοπόλοι σημείῳ χρῶνται· ἠρεμία γὰρ αὐτῶν γίνεται. Δοκοῦσι δὲ καὶ οἱ τέττιγες ᾄδειν μετὰ τροπάς.

(63) Apis solstitia denuntiare videtur suo ad labores egressu, quo et apiarii utuntur signo, quippe qui tum quietem agunt. Videntur et cicadæ post solstitia canere.

CAP. LXV.

(66) Φασὶ δὲ καὶ τὸν ἐχῖνον ἄσιτον διαμένειν ἄχρι ἐνιαυτοῦ.

(64) Erinaceum ad anni usque spatium inediam tolerare tradunt.

CAP. LXVI.

(67) Τὸν δὲ γαλεώτην, ὅταν ἐκδύσηται τὸ δέρμα, καθάπερ οἱ ὄφεις, ἐπιστραφέντα καταπίνειν· τηρεῖσθαι γὰρ ὑπὸ τῶν ἰατρῶν διὰ τὸ χρήσιμον εἶναι τοῖς ἐπιληπτικοῖς.

(65) Stellionem, quum exuvias more serpentum abjecerit, conversum devorare aiunt : observari enim medicis ob usum, quem comitialibus præstat.

CAP. LXVII.

(68) Λέγουσι δὲ καὶ τὸ τῆς ἄρκτου στέαρ, ὅταν διαπεπηγὸς ᾖ διὰ τὸν χειμῶνα, καθ' ὃν ἂν χρόνον ἐκείνη φωλεύῃ, αὐξάνεσθαι καὶ ὑπεραίρειν τὰ ἀγγεῖα ἐν οἷς ἂν ᾖ.

(66) Ursæ quoque adipem aiunt hyeme congelatum, quocumque tempore illa latuerit, augeri atque vasa quibuscumque contineatur, supergredi.

CAP. LXVIII.

(69) Ἐν Κυρήνῃ φασὶ τοὺς ὄντας βατράχους ἀφώνους τὸ παράπαν εἶναι, καὶ ἐν Μακεδονίᾳ ἐν τῇ τῶν Ἠμαθιωτῶν χώρᾳ τοὺς σῦς εἶναι μώνυχας.

(67) Cyrenis quæ inveniuntur ranæ, voce prorsus carere aiunt, et in Macedonia in Emathiotarum regione sues solidipedes esse.

CAP. LXIX.

(70) Ἐν Καππαδοκίᾳ φασὶν ἡμιόνους εἶναι γονίμους, καὶ ἐν Κρήτῃ αἰγείρους καρποφόρους.

(68) In Cappadocia ferunt mulas fœcundas esse, et in Creta populos nigras fructus proferentes.

CAP. LXX.

(71) Φασὶ δὲ καὶ ἐν Σερίφῳ τοὺς βατράχους οὐκ ᾄδειν· ἐὰν δ' εἰς ἄλλον τόπον μετενεχθῶσιν, ᾄδουσιν.

In Seripho quoque ranas canere negant; quodsi vero alio transferantur, canunt.

CAP. LXXI.

(72) Ἐν Ἰνδοῖς ἐν τῷ Κέρατι καλουμένῳ ἰχθύδιά φασι γίνεσθαι ἃ ἐν τῷ ξηρῷ πλανᾶται καὶ πάλιν ἀποτρέχει εἰς τὸν ποταμόν.

Pisciculos nasci ferunt in eo quod Cornu vocant, apud Indos, qui per siccos locos oberrent ac rursus in flumen se recipiant.

CAP. LXXII.

(73) Φασὶ δὲ καὶ περὶ Βαβυλῶνά τινες ἰχθύας τινὰς μένειν ἐν ταῖς τρώγλαις ταῖς ἐχούσαις ὑγρότητα, ξηραινομένου τοῦ ποταμοῦ· τούτους ἐξιόντας ἐπὶ τὰς ἅλως νέμεσθαι, καὶ βαδίζειν ἐπὶ τῶν πτερύγων, καὶ

(69) Circa Babylonem quoque aiunt quidam in cavernis humorem continentibus pisciculos aliquos remanere, ubi flumen desiccatur; hos ad areas pastum prodire pinnis in-

ἀνακινεῖν τὴν οὐράν, καὶ ὅταν διώκωνται, φεύγειν καὶ εἰσδύντας ἀντιπροσώπως ἵστασθαι· πολλάκις γὰρ προσιέναι τινὰς καὶ ἐρεθίζειν. Ἔχουσι δὲ τὴν κεφαλὴν ὁμοίαν βατράχῳ θαλαττίῳ, τὸ δ' ἄλλο σῶμα κωβιῷ, βραγχία δ' ὥσπερ καὶ οἱ ἄλλοι ἰχθύες.

cedentes caudamque quassantes; ceterum fugere ubi persequuntur, latebrasque subeuntes ex adverso consistere: sæpe enim adire quosdam atque irritare. Caput habent ranæ marinæ simile, reliquum corpus vero gobio, et branchias uti et reliqui pisces.

CAP. LXXIII.

(74) Ἐν Ἡρακλείᾳ δὲ τῇ ἐν τῷ Πόντῳ καὶ ἐν Ῥηγίῳ γίνεσθαί φασιν ὀρυκτοὺς ἰχθῦς, τούτους δὲ μάλιστα κατὰ τὰ ποτάμια καὶ τὰ ἔνυδρα χωρία· συμβαίνειν δέ ποτε, ἀναξηραινομένων τῶν χωρίων κατά τινας χρόνους, συστέλλεσθαι κατὰ γῆς, εἶτα μᾶλλον ἀναξηραινομένης, διώκοντας τὴν ὑγρότητα δύεσθαι εἰς τὴν ἰλύν, εἶτα ξηραινομένης διαμένειν ἐν τῇ ἰκμάδι, ὥσπερ τὰ ἐν ταῖς φωλεαῖς διαρκοῦντα· ὅταν δὲ ἀνασκάπτωνται πρὶν ἢ τὰ ὕδατα ἐπιγενέσθαι, τότε κινεῖσθαι.

(70) Heracleæ in Ponto et Rhegii pisces fieri fossiles dicuntur, maxime in locis humidis fluviisque propioribus; contingere autem interdum ferunt, ut arescentibus iis locis certis temporibus, sub terra sese contrahant, deinde invalescente siccitate, humorem sectantes, lutum subeant; posthac tandem, eo quoque siccescente, in humore permanere, sicut animalia quæ hyeme in latebris perdurant; ceterum si antequam supervenerint aquæ, effodiantur, tunc moveri.

CAP. LXXIV.

(75) Φασὶ δὲ καὶ περὶ Παφλαγονίαν τοὺς ὀρυκτοὺς γίνεσθαι ἰχθῦς κατὰ βάθους, τούτους δὲ τῇ ἀρετῇ ἀγαθούς, οὔθ' ὑδάτων φανερῶν πλησίον ὄντων, οὔτε ποταμῶν ἐπιρρεόντων, ἀλλ' αὐτῆς ζῳογονούσης τῆς γῆς.

(71) In Paphlagonia quoque pisces alte ex terra effodi aiunt, eosque virtute præstantes, etiamsi nec aquæ in proximo appareant, neque illabantur flumina, sed ipsa terra animalia procreante.

CAP. LXXV.

(76) Τὰς ἐν Ἠπείρῳ ἐλάφους κατορύττειν φασὶ τὸ δεξιὸν κέρας, ὅταν ἀποβάλωσι, καὶ εἶναι πρὸς πολλὰ χρήσιμον.

(72) Cervos in Epiro dextrum cornu abjectum aiunt defodere, idque rebus multis utile esse.

CAP. LXXVI.

(78) Καὶ τὴν λύγκα δέ φασι τὸ οὖρον κατακαλύπτειν διὰ τὸ πρὸς ἄλλα τε χρήσιμον εἶναι, καὶ τὰς σφραγῖδας.

(74) Lyncem quoque ferunt urinam abscondere, quippe cum ad alios usus, tum sigillis conficiendis idoneam.

CAP. LXXVII.

Φασὶ δὲ καὶ τὴν φώκην ἐξεμεῖν τὴν πυτίαν, ὅταν ἁλίσκηται· εἶναι δὲ φαρμακῶδες καὶ τοῖς ἐπιλήπτοις χρήσιμον.

(73) Phocam etiam aiunt coagulum vomere captam: esse enim medicamentosum et comitialibus utile.

CAP. LXXVIII.

(79) Λέγεται δὲ περὶ τὴν Ἰταλίαν ἐν τῷ Κιρκαίῳ ὄρει φαρμακόν τι φύεσθαι θανάσιμον, ὃ τοιαύτην ἔχει τὴν δύναμιν ὥστε, ἂν προσρανθῇ τινι, παραχρῆμα πίπτειν ποιεῖ, καὶ τὰς τρίχας τὰς ἐν τῷ σώματι ἀπομαδᾶν, καὶ τὸ σύνολον τοῦ σώματος διαρρεῖν τὰ μέλη, ὥστε τὴν ἐπιφάνειαν τοῦ σώματος εἶναι τῶν ἀπολλυμένων ἐλεεινήν. Τοῦτο δέ φασι μέλλοντας διδόναι Κλεωνύμῳ τῷ Σπαρτιάτῃ Αὖλον τὸν Πευκέτιον καὶ Γάϊον φωραθῆναι, καὶ ἐξετασθέντας ὑπὸ Ταραντίνων θανατωθῆναι.

(75) Fertur circa Italiam in Circæo monte letale venenum quoddam nasci, ejusmodi vi ut si quis eo conspergatur, confestim ipse concidat, pilis corpus nudetur, ac in universum membra corporis diffluant, ita ut miserabilis sit morientium corporis superficies. Hoc ferunt Aulum Peucetium Gaiumque Cleonymo Spartiatæ insidiatos esse, verum deprehensos atque in jus vocatos a Tarentinis supplicio adfectos.

CAP. LXXIX.

(80) Ἐν τῇ Διομηδείᾳ νήσῳ, ἣ κεῖται ἐν τῷ Ἀδρίᾳ, φασὶν ἱερόν τι εἶναι τοῦ Διομήδους θαυμαστόν τε καὶ ἅγιον, περὶ δὲ τὸ ἱερὸν κύκλῳ περικαθῆσθαι ὄρνιθας μεγάλους τοῖς μεγέθεσι, καὶ ῥύγχη ἔχοντας μεγάλα καὶ σκληρά. Τούτους λέγουσιν, ἐὰν μὲν Ἕλληνες ἀποβαίνωσιν εἰς τὸν τόπον, ἡσυχίαν ἔχειν, ἐὰν δὲ τῶν βαρβάρων τινὲς τῶν περιοίκων, ἀνίπτασθαι καὶ αἰωρουμένους καταράσσειν αὐτοὺς εἰς τὰς κεφαλὰς αὐτῶν, καὶ τοῖς ῥύγχεσι τιτρώσκοντας ἀποκτείνειν. Μυθεύεται δὲ τούτους γενέσθαι ἐκ τῶν ἑταίρων τῶν τοῦ Διομήδους, ναυαγησάντων μὲν αὐτῶν περὶ τὴν νῆσον, τοῦ δὲ Διομήδους δολοφονηθέντος ὑπὸ τοῦ Αἰνέου τοῦ τότε βασιλέως τῶν τόπων ἐκείνων γενομένου.

(76) In Diomedea insula maris Adriatici ferunt Diomedis templum quoddam reperiri admirandum et religione sacrum, circum quod aves in circulum consident, magnitudine vastæ, rostris magnis et duris: quæ Græcis quidem accedentibus, quietem agant, barbaris vero aliquibus eorum qui accolunt, subvolent sublatæque in capita eorum sese conjiciant eosque rostris vulnerantes interimant. Fabulantur has quondam ex sociis Diomedis factas fuisse, quum circa eam insulam naufragium fecissent, Diomedesque ab Ænea, qui tunc temporis horum locorum rex erat, dolo necatus esset.

CAP. LXXX.

(81) Παρὰ τοῖς Ὀμβρικοῖς φασι τὰ βοσκήματα τίκτειν τρὶς τοῦ ἐνιαυτοῦ, καὶ τοὺς καρποὺς αὐτοῖς τὴν γῆν πολλαπλασίους ἀνίεσθαι τῶν καταβαλλομένων· εἶναι δὲ καὶ τὰς γυναῖκας πολυγόνους καὶ σπανίως ἓν τίκτειν, τὰς δὲ πλείστας δύο καὶ τρία.

(77) Apud Umbros aiunt pecora annis singulis ternos partus edere, terramque multiplicem serentibus frugem reddere, sed et mulieres fœcundas esse vehementer, ut quæ raro unum, sed pleræque geminos aut ternos enitantur.

CAP. LXXXI.

(82) Ἐν ταῖς Ἠλεκτρίσι νήσοις, αἳ κεῖνται ἐν τῷ μυχῷ τοῦ Ἀδρίου, φασὶν εἶναι δύο ἀνδριάντας ἀνακειμένους, τὸν μὲν κασσιτέρινον, τὸν δὲ χαλκοῦν, εἰργασμένους τὸν ἀρχαῖον τρόπον. Λέγεται δὲ τούτους Δαιδάλου εἶναι ἔργα, ὑπόμνημα τῶν πάλαι, ὅτε Μίνω φεύγων ἐκ Σικελίας καὶ Κρήτης εἰς τούτους τοὺς τόπους παρέβαλεν. Ταύτας δὲ τὰς νήσους φασὶ προκεχωκέναι τὸν Ἠριδανὸν ποταμόν. Ἔστι δὲ καὶ λίμνη, ὡς ἔοικε, πλησίον τοῦ ποταμοῦ, ὕδωρ ἔχουσα θερμόν· ὀσμὴ δ' ἀπ' αὐτῆς βαρεῖα καὶ χαλεπὴ ἀποπνεῖ, καὶ οὔτε ζῷον οὐδὲν πίνει ἐξ αὐτῆς, οὔτ' ὄρνεον ὑπερίπταται, ἀλλὰ πίπτει καὶ ἀποθνήσκει. Ἔχει δὲ τὸν μὲν κύκλον σταδίων διακοσίων, τὸ δ' εὖρος ὡς δέκα. Μυθεύουσι δ' οἱ ἐγχώριοι Φαέθοντα κεραυνωθέντα πεσεῖν εἰς ταύτην τὴν λίμνην· εἶναι δ' ἐν αὐτῇ αἰγείρους πολλάς, ἐξ ὧν ἐκπίπτειν τὸ καλούμενον ἤλεκτρον. Τοῦτο δὲ λέγουσιν ὅμοιον εἶναι κόμμει, ἀποσκληρύνεσθαι δ' ὡσανεὶ λίθον, καὶ συλλεγόμενον ὑπὸ τῶν ἐγχωρίων διαφέρεσθαι εἰς τοὺς Ἕλληνας. Εἰς ταύτας οὖν τὰς νήσους Δαίδαλόν φασιν ἐλθεῖν, καὶ κατασχόντα αὐτὰς ἀναθεῖναι ἐν μιᾷ αὐτῶν τὴν αὑτοῦ εἰκόνα, καὶ τὴν τοῦ υἱοῦ Ἰκάρου ἐν τῇ ἑτέρᾳ· ὕστερον δ' ἐπιπλευσάντων ἐπ' αὐτοὺς Πελασγῶν τῶν ἐκπεσόντων ἐξ Ἄργους φυγεῖν τὸν Δαίδαλον, καὶ ἀφικέσθαι εἰς Ἴκαρον τὴν νῆσον.

(78) In Electridibus insulis in maris Adriatici recessu sitis duæ statuæ dedicatæ esse feruntur ad formam priscam elaboratæ, stannea altera, altera ænea, Dædali opus, ut ferunt, monumentumque rerum priscarum, quum ipse Minoa fugiens ex Sicilia Cretaque ad hæc loca adpulit. Eæ insulæ ab Eridano flumine exaggeratæ esse traduntur. (79) Præterea et juxta flumen, ut videtur, lacus est, aquam calidam continens. Odorem is exhalat gravem et molestum, neque animal ullum inde bibit, neque avis supervolat, quin decidat ac moriatur. Ambitus ejus est cc stadiorum, latitudo x circiter. In hunc lacum Phaëthonta fulmine ictum delapsum fabulantur adcolæ, esse vero populos nigras in ea frequentes, unde quod vocant electrum decidit. Id vero gummi simile esse ferunt lapidisque instar indurescere, collectumque ab incolis in Græciam deportari. In has ergo insulas devenisse Dædalum, illasque occupasse ferunt, et imaginem in una suam, in altera Icari filii dedicasse; postea vero adpellentibus Pelasgis Argo ejectis, fugisse Dædalum et venisse in Icarum insulam.

CAP. LXXXII.

(83) Ἐν τῇ Σικελίᾳ περὶ τὴν καλουμένην Ἔνναν σπήλαιόν τι λέγεται εἶναι, περὶ ὃ κύκλῳ πεφυκέναι

(80) Circa Siciliæ urbem Ennam dictam est, ut inquiunt, spelunca, quam circa florum cum reliquorum

φασὶ τῶν τ' ἄλλων ἀνθέων πλῆθος ἀνὰ πᾶσαν ὥραν, πολὺ δὲ μάλιστα τῶν ἴων ἀπέραντόν τινα τόπον συμπεπληρῶσθαι, ἃ τὴν σύνεγγυς χώραν εὐωδίας πληροῖ, ὥστε τοὺς κυνηγοῦντας, τῶν κυνῶν κρατουμένων ὑπὸ τῆς ὀδμῆς, ἐξαδυνατεῖν τοὺς λαγὼς ἰχνεύειν. Διὰ δὲ τούτου τοῦ χάσματος ἀσυμφανής ἐστιν ὑπόνομος, καθ' ὃν φασι τὴν ἁρπαγὴν ποιήσασθαι τὸν Πλούτωνα τῆς Κόρης. Εὑρίσκεσθαι δέ φασιν ἐν τούτῳ τῷ τόπῳ πυρούς, οὔτε τοῖς ἐγχωρίοις ὁμοίους οἷς χρῶνται, οὔτ' ἄλλοις ἐπεισάκτοις, ἀλλ' ἰδιότητά τινα μεγάλην ἔχοντας. Καὶ τούτῳ σημειοῦνται τὸ πρώτως παρ' αὐτοῖς φανῆναι πύρινον καρπόν· ὅθεν καὶ τῆς Δήμητρος ἀντιποιοῦνται, φάμενοι παρ' αὐτοῖς τὴν θεὸν γεγονέναι.

copia crescit omni anni tempore, tum inprimis ante omnia violis immensum quoddam spatium obtegitur, quæ finitima loca adeo fragrantia sua replent, ut venatores, quippe quum canes ab odore vincuntur, leporum vestigia sequi nequeant. Ac sub eodem hiatu imperspicuum quoddam antrum est, per quod Proserpinam rapuisse fertur Pluto. Triticumque eo loco reperiri traditur, nec indigenæ quo utuntur, neque alii advectitio simile, sed perquam singulari proprietate insigne: quo argumento probant apud ipsos primum triticeam frugem conspectam esse, ac proinde Cererem colunt, perhibentes deam apud ipsos natam esse.

CAP. LXXXIII.

(84) Ἐν Κρήτῃ λύκους καὶ ἄρκτους τούς τ' ἔχεις, ὁμοίως δὲ καὶ τὰ παραπλήσια τούτοις θηρία οὔ φασι γίνεσθαι διὰ τὸ τὸν Δία γενέσθαι ἐν αὐτῇ.

(81) In Creta lupos, ursos, viperas, eodemque modo his similes feras nullas nasci dicunt, quoniam Jupiter isthic natus est.

CAP. LXXXIV.

(85) Ἐν τῇ θαλάσσῃ τῇ ἔξω Ἡρακλείων στηλῶν φασιν ὑπὸ Καρχηδονίων νῆσον εὑρεθῆναι ἐρήμην, ἔχουσαν ὕλην τε παντοδαπὴν καὶ ποταμοὺς πλωτούς, καὶ τοῖς λοιποῖς καρποῖς θαυμαστήν, ἀπέχουσαν δὲ πλειόνων ἡμερῶν πλοῦν· ἐν ᾗ ἐπιμισγομένων τῶν Καρχηδονίων πολλάκις διὰ τὴν εὐδαιμονίαν, ἐνίων γε μὴν καὶ οἰκούντων, τοὺς προεστῶτας τῶν Καρχηδονίων ἀπείπασθαι θανάτῳ ζημιοῦν τοὺς εἰς αὐτὴν πλευσομένους, καὶ τοὺς ἐνοικοῦντας πάντας ἀφανίσαι, ἵνα μὴ διαγγέλλωσι, μηδὲ πλῆθος συστραφὲν ἐπ' αὐτῶν ἐπὶ τὴν νῆσον κυρίας τύχῃ καὶ τὴν τῶν Καρχηδονίων εὐδαιμονίαν ἀφέληται.

(82) In mari extra columnas Herculis aiunt a Carthaginiensibus insulam desertam inventam esse, tam sylvarum multiplici copia quam fluminibus navigationi idoneis abundantem reliquisque fructibus admirandam, distantem plurium dierum itinere: in quam quum Carthaginienses ob fertilitatem sæpius commearent, imo nonnulli ibi sedem figerent, Carthaginiensium magistratus decrevisse ultimo supplicio mulctandos esse qui ad eam navigare contenderent, incolasque omnes peremisse, ne divulgarent, neve cœtus, dum ipsi rebus præessent, in insulam congregaretur imperioque potiretur, Carthaginiensesque prosperitate privaret.

CAP. LXXXV.

(86) Ἐκ τῆς Ἰταλίας φασὶν ἕως τῆς Κελτικῆς καὶ Κελτολιγύων καὶ Ἰβήρων εἶναί τινα ὁδὸν Ἡράκλειαν καλουμένην, δι' ἧς ἐάν θ' Ἕλλην, ἐάν τ' ἐγχώριός τις πορεύηται, τηρεῖσθαι ὑπὸ τῶν παροικούντων, ὅπως μηδὲν ἀδικηθῇ· τὴν γὰρ ζημίαν ἐκτίνειν καθ' οὓς ἂν γένηται τὸ ἀδίκημα.

(83) Ex Italia ferunt viam quamdam ad usque Celtas et Celtoligures et Iberos protendi, Herculeam vocant, per quam sive Græcus, sive indigena proficiscatur, ab adcolis cavetur, ne quid iis mali accidat: nam pœnas pendere eos ipsos, in quorum finibus illata fuerit injuria.

CAP. LXXXVI.

(87) Φασὶ δὲ παρὰ τοῖς Κελτοῖς φάρμακον ὑπάρχειν τὸ καλούμενον ὑπ' αὐτῶν τοξικόν· ὃ λέγουσιν οὕτω ταχεῖαν ποιεῖν τὴν φθορὰν ὥστε τῶν Κελτῶν τοὺς κυνηγοῦντας, ὅταν ἔλαφον ἢ ἄλλο τι ζῷον τοξεύσωσιν, ἐπιτρέχοντας ἐκ σπουδῆς ἐκτέμνειν τῆς σαρκὸς τὸ τετρωμένον πρὸ τοῦ τὸ φάρμακον διαδῦναι, ἅμα μὲν τῆς προσφορᾶς ἕνεκα, ἅμα δ' ὅπως μὴ σαπῇ τὸ ζῷον. Εὑρῆσθαι δὲ τούτῳ λέγουσιν ἀντιφάρμακον τὸν τῆς δρυὸς φλοιόν· οἱ δ' ἕτερόν τι φύλλον, ὃ καλοῦσι κορά-

(84) Apud Celtas venenum reperiri tradunt, quod toxicum ipsi adpellant; id tanta celeritate necare ferunt, ut venatores Celtæ, quum cervum aliudve quoddam animal sagitta percusserint, festinato adcurrant carnemque vulneratam exsecent, antequam venenum penetret, cum cibi causa, tum simul ne animal putrefiat. Verum inventum esse tradunt huic veneno remedium corticem quercinum, aut, ut volunt alii, folium quoddam aliud; κοράκιον ab

κιον διὰ τὸ κατανοηθῆναι ὑπ' αὐτῶν κόρακα γευσάμενον τοῦ φαρμάκου καὶ κακῶς διατιθέμενον ἐπὶ τὸ φύλλον ὁρμήσαντα τοῦτο καὶ καταπιόντα παύσασθαι τῆς ἀλγηδόνος.

ipsis adpellatur, quoniam animadverterant, corvum ex gustato veneno male adfectum folium illud adiisse, eoque devorato doloribus liberatum esse.

CAP. LXXXVII.

(88) Ἐν τῇ Ἰβηρίᾳ λέγουσι τῶν δρυμῶν ἐμπρησθέντων ὑπό τινων ποιμένων, καὶ τῆς γῆς διαθερμανθείσης ὑπὸ τῆς ὕλης, φανερῶς ἀργύρῳ ῥεῦσαι τὴν χώραν, καὶ μετὰ χρόνον σεισμῶν ἐπιγενομένων καὶ τῶν τόπων ῥαγέντων, πάμπληθες συναχθῆναι ἀργύριον, ὃ δὴ καὶ τοῖς Μασσαλιώταις πρόσοδον ἐποίησεν οὐ τὴν τυχοῦσαν.

(85) In Iberia aiunt, combustis a pastoribus quibusdam sylvis, calenteque materie terra, manifesto argenti rivo fluxisse solum, quumque, aliquo tempore interjecto, terræ motus supervenissent locique debiscerent, magnam copiam argenti collectam fuisse quod sane et Massiliensibus proventus non vulgares suppeditavit.

CAP. LXXXVIII.

(89) Ἐν ταῖς Γυμνησίαις ταῖς κειμέναις νήσοις κατὰ τὴν Ἰβηρίαν, ἃς μετὰ τὰς λεγομένας ἑπτὰ μεγίστας λέγουσιν εἶναι, φασὶν ἔλαιον μὴ γίνεσθαι ἐξ ἐλαιῶν, ἐκ δὲ τῆς τερμίνθου κομιδῇ πολὺ καὶ εἰς πάντα ἁρμόττον. (90) Λέγουσι δ' οὕτω τοὺς οἰκοῦντας αὐτὰς Ἴβηρας καταγύνους εἶναι ὥστ' ἀνθ' ἑνὸς σώματος θηλυκοῦ διδόναι τοῖς ἐμπόροις τέτταρα καὶ πέντε σώματα ἄρρενα. Στρατευόμενοι δὲ παρὰ Καρχηδονίοις τοὺς μισθοὺς ὅταν λάβωσιν, ἄλλο μέν, ὡς ἔοικεν, οὐδὲν ἀγοράζουσι, γυναῖκας δέ· οὐ γὰρ χρυσίον, οὐδ' ἀργύριον ἔξεστι παρ' αὐτοῖς οὐδένα ἔχειν. Ἐπιλέγεται δέ τι τοιοῦτον ἐπὶ τῷ κωλύειν χρήματα εἰσάγειν αὐτούς, ὅτι τὴν στρατείαν Ἡρακλῆς ἐποιήσατο ἐπὶ τὴν Ἰβηρίαν διὰ τοὺς τῶν ἐνοικούντων πλούτους.

(86) In Gymnesiis insulis, quæ ad Iberiam sitæ sunt, quæque post septem ita dictas maximæ esse feruntur, aiunt oleum non ex olivis, sed e terebintho permagna copia reddi, idque ad usus omnes adcommodatum. Dicunt vero incolentes eas Iberes adeo esse mulierosos, ut pro uno femineo corpore quattuor aut quinque mascula cum mercatoribus commutent. Apud Carthaginienses vero militantes quum stipendia adceperint, nihil aliud, ut videtur, nisi feminas coemunt : aurum enim, aut argentum apud eos possidere non licet. Dictis additur hujusmodi quid, cur divitias importare vetent, quod Hercules nimirum bellum Hispaniæ intulit, divitiis incolarum invitatus.

CAP. LXXXIX.

(91) Ἐν τῇ τῶν Μασσαλιωτῶν χώρᾳ περὶ τὴν Λιγυστικήν φασιν εἶναί τινα λίμνην, ταύτην δ' ἀναζεῖν καὶ ὑπερχεῖσθαι, καὶ τοσούτους ἰχθῦς ἐκβάλλειν τὸ πλῆθος ὥστε μὴ πιστεύειν. Ἐπειδὰν δ' οἱ ἐτησίαι πνεύσωσιν, ἐπιχώννυσθαι τὸ ἔδαφος ἐπ' αὐτήν, καὶ τοιοῦτον κονιορτὸν γίνεσθαι αὐτόθι, καὶ ἀποστερεοῦσθαι τὴν ἐπιφάνειαν αὐτῆς ὡσανεὶ ἔδαφος, τοῖς δὲ τριόδουσι διακόπτοντας τοὺς ἐγχωρίους ἑτοίμως ὅσους ἂν βούλωνται, ἰχθύας ἐξαίρειν ἐξ αὐτῆς.

(87) Intra fines Massiliensium circa Liguriam lacus quidam esse fertur, qui ebulliens exundansque tantam piscium multitudinem ejicit, ut veri fidem superet. Ceterum flantibus Etesiis exaggerari fundum tradunt in eum, tantumque pulverem illic concitari, ut superficies ejus consolidetur quasi pavimentum, indigenasque tridentibus dirimentes quotquot voluerint pisces, prompte ex eo eximere.

CAP. XC.

(92) Λέγεται δέ τινας τῶν Λιγύων οὕτω σφενδονᾶν εὖ ὥστε, ὅταν πλείους ἴδωσιν ὄρνιθας, διερίζεσθαι πρὸς ἀλλήλους, ποῖον ἕκαστος παρασκευάζεται βαλεῖν, ὡς ἑτοίμως ἁπάντων τευξομένων.

(88) Quidam Ligurum adeo fundæ jactu præstare feruntur, ut conspectis avibus pluribus, inter se concertent, quamnam unusquisque ferire contendat, tamquam omnes facile adsecuturi.

CAP. XCI.

(93) Ἴδιον δέ φασι καὶ τοῦτο παρ' αὐτοῖς εἶναι· αἱ γυναῖκες ἅμα ἐργαζόμεναι τίκτουσιν, καὶ τὸ παιδίον ὕδατι περικλύσασαι παραχρῆμα σκάπτουσι καὶ σκάλ-

Peculiare insuper et hoc apud eos esse ferunt, quod mulieres simul opus facientes pariunt, abluloque aqua in-

λουσι καὶ τἄλλα οἰκονομοῦσιν ἃ καὶ μὴ τικτούσαις αὐταῖς ἦν πρακτέον.

fante, confestim fodiunt ac sarriunt, reliquaque obeunt munia quæ et ante partum iis erant facienda.

CAP. XCII.

(94) Θαῦμα δὲ καὶ τοῦτο παρὰ τοῖς Λίγυσιν· φασὶ γὰρ παρ' αὐτοῖς ποταμὸν εἶναι οὗ τὸ ῥεῦμα αἴρεται μετέωρον καὶ ῥεῖ, ὥστε τοὺς πέραν μὴ ὁρᾶσθαι.

(135) Argis genus locustæ ferunt nasci (scorpiomachum vocant), quod scorpionem quam primum conspexerit, adoritur, atque hic vicissim illam. Itaque undique circumcurrens stridet circum illum; contra ille stimulum adtollens eodem loco circumagit, tum illum paullatim laxat, ac postremo totus extentus jacet, locusta in orbem currente. Denique adcedens eum devorat locusta. Scorpionum ictibus hæc quoque postmodum comesta bonum medicamentum esse dicitur.

CAP. CXL.

(152) Τοὺς ἐν Νάξῳ σφῆκάς φασιν, ὅταν φάγωσι τοῦ ἔχεως (προσφιλὴς δ' αὐτοῖς ἡ σάρξ, ὡς ἔοικεν, ἐστίν), ἐπειδάν τινα κεντήσωσι, περιωδύνους οὕτω ποιεῖν ὥστε χαλεπωτέραν φαίνεσθαι τῆς πληγῆς τῶν ἐχεων.

(136) Vespas ferunt in Naxo, si, vipera gustata, cujus caro, ut videtur, grata est illis, aculeum infixerint alicui, tantos dolores excitare ut molestiora vulnera infligere videantur ictibus viperarum.

CAP. CXLI.

(153) Φασὶ τὸ Σκυθικὸν φάρμακον, ᾧ ἀποβάπτουσι τοὺς ὀϊστούς, συντίθεσθαι ἐξ ἐχίδνης. Τηροῦσι δέ, ὡς ἔοικεν, οἱ Σκύθαι τὰς ἤδη ζῳοτοκούσας, καὶ λαβόντες αὐτὰς τήκουσιν ἡμέρας τινάς. Ὅταν δ' ἱκανῶς αὐτοῖς δοκῇ σεσῆφθαι πᾶν, τὸ τοῦ ἀνθρώπου αἷμα εἰς χυτρίδιον ἐγχέοντες εἰς τὰς κοπρίας κατορύττουσι πωμάσαντες. Ὅταν δὲ καὶ τοῦτο σαπῇ, τὸ ὑφιστάμενον ἐπάνω τοῦ αἵματος, ὃ δή ἐστιν ὑδατῶδες, μιγνύουσι τῷ τῆς ἐχίδνης ἰχῶρι, καὶ οὕτω ποιοῦσι θανάσιμον.

(137) Scythicum venenum, quo sagittæ inficiuntur, ex vipera parari aiunt: observant enim Scythæ, ut videtur, jamjam fœtum vivum edituras et captas diebus aliquot liquescere sinunt. Qumque illis satis computruisse videtur tota mixtura, infundunt ollulæ humanum sanguinem, quam in sterquilinio obturatam defodiunt. Ac ubi is quoque putruerit, liquorem sanguini supernatantem aquosum miscent saniei viperæ, et letale hoc pacto venenum reddunt.

CAP. CXLII.

(154) Ἐν Κουρίῳ τῆς Κύπρου ὄφεών τι γένος εἶναί φασιν, ὃ τὴν δύναμιν ὁμοίαν ἔχει τῇ ἐν Αἰγύπτῳ ἀσπίδι, πλὴν ὅτι τοῦ χειμῶνος ἐὰν δάκῃ, οὐδὲν ἐργάζεται, εἴτε δι' ἄλλην τινὰ αἰτίαν, εἴτε διότι τὸ ζῷον δυσκίνητον γίνεται ὑπὸ τοῦ ψύχους ἀποπηγνύμενον, καὶ τελέως ἀδύνατον, ἐὰν μὴ θερμανθῇ.

(138) Curii quod Cypri est oppidum, serpentum quoddam genus esse ferunt vim habens aspidi Ægyptiæ non absimilem, nisi quod hyeme morsus hujus sunt inefficaces, sive ob aliam quampiam causam, sive quod frigore congelatum ad motum languidum redditur animal et penitus imbecillum, nisi calore reficiatur.

CAP. CXLIII.

(155) Ἐν Κέῳ φασὶν εἶναί τι γένος ἀχέρδου, ὑφ' ἧς ἐάν τις πληγῇ τῇ ἀκάνθῃ, ἀποθνήσκει.

(139) In Ceo aiunt genus quoddam esse piri sylvestris, cujus spina qui vulnerantur, intereunt.

CAP. CXLIV.

(156) Ἐν Μυσίᾳ φασὶν ἄρκτων τι γένος εἶναι λευκόν, αἳ ὅταν κυνηγῶνται, ἀφιᾶσι τοιαύτην πνοὴν ὥστε τῶν κυνῶν τὰς σάρκας σήπειν, ὡσαύτως δὲ καὶ τῶν λοιπῶν θηρίων, ἀβρώτους τε ποιεῖν. Ἐὰν δέ τις καὶ βιάσηται καὶ ἐγγίσῃ, ἀφιᾶσιν ἐκ τοῦ στόματος φλέγμα

(140) In Mysia vero ursorum quoddam genus album esse aiunt, qui ubi a venatoribus impetuntur, ejusmodi halitum emittunt, ut canum carnes putrefaciat, eodemque modo et reliquarum ferarum, easque ad rem cibariam inutiles reddat. Verum et si quis vim sibi inferat atque ad-

πάμπολύ τι, ὡς ἔοικεν, ὃ προσφυσᾷ πρὸς τὰ πρόσωπα τῶν κυνῶν, ὡσαύτως δὲ καὶ τῶν ἀνθρώπων, ὥστε καὶ ἀποπνίγειν καὶ ἀποτυφλοῦν.

propinquet, permagnam quamdam, ut videtur, pituitæ copiam ex ore emittunt, eamque canum faciei adflant, itemque et hominum, ita ut et subfocent et excæcent.

CAP. CXLV.

(157) Ἐν δὲ τῇ Ἀραβίᾳ δαινῶν τι γένος φασὶν εἶναι, ὃ ἐπειδὰν προΐδῃ τι θηρίον, ἢ ἀνθρώπου ἐπιβῇ ἐπὶ τὴν σκιάν, ἀφωνίαν ἐργάζεται καὶ πῆξιν τοιαύτην ὥστε μὴ δύνασθαι κινεῖν τὸ σῶμα· τοῦτο δὲ ποιεῖν καὶ ἐπὶ τῶν κυνῶν.

(141) Aiunt in Arabia hyænarum genus esse quoddam, quod ubi feram aliquam primum viderit, aut super hominis umbram ingressum fuerit, vocem illis auferat, eosque ita defigat ut corpus movere nequeant. Eodem modo aiunt et canes afficere.

CAP. CXLVI.

(158) Κατὰ δὲ Συρίαν εἶναί τί φασι ζῷον ὃ καλεῖται λεοντοφόνον· ἀποθνήσκει γὰρ ὁ λέων, ὡς ἔοικεν, ὅταν αὐτοῦ φάγῃ. Ἑκὼν μὲν οὖν τοῦτο οὐ ποιεῖ, ἀλλὰ φεύγει τὸ ζῷον· ὅταν δὲ συλλαβόντες αὐτὸ οἱ κυνηγέται καὶ ὀπτήσαντες ὥσπερ ἄλφιτα λευκὰ περιπάσσωσιν ἄλλῳ ζῴῳ, γευσάμενον ἀπόλλυσθαί φασι παραχρῆμα. Κακοῖ καὶ προσουροῦν τὸν λέοντα τοῦτο τὸ ζῷον.

(142) In Syria animal esse aiunt, quod leonicidam vocant: eo enim ingesto leones exanimantur, ut videtur. Ultro itaque hoc non faciunt, sed animal fugiunt; verum venatores captam atque assatam hanc feram, quasi polentam candidam, alii animali aspergunt: quo gustato confestim perire fertur leo. Hoc animal leonem etiam commingens infestat.

CAP. CXLVII.

(159) Λέγεται καὶ τοὺς γῦπας ὑπὸ τῆς τῶν μύρων ὀσμῆς ἀποθνήσκειν, ἐάν τις αὐτοὺς χρίσῃ, ἢ δῷ τι μεμυρισμένον φαγεῖν· ὡσαύτως δὲ καὶ τοὺς κανθάρους ὑπὸ τῆς τῶν ῥόδων ὀσμῆς.

(143) Feruntur et vultures ex unguentorum odore exanimari, si quis eos ungat, remve quamdam unguentis delibutam iis propinet. Eodem modo et scarabæos rosarum odore perire aiunt.

CAP. CXLVIII.

(160) Καὶ ἐν Σικελίᾳ δέ φασι καὶ ἐν Ἰταλίᾳ τοὺς γαλεώτας θανάσιμον ἔχειν τὸ δῆγμα, καὶ οὐχ ὥσπερ τοὺς παρ' ἡμῖν ἀσθενὲς καὶ μαλακόν· εἶναι δὲ καὶ μυῶν γένος ἐφιπτάμενον, ὃ ὅταν δάκῃ, ἀποθνήσκειν ποιεῖ.

(144) Et in Sicilia et in Italia aiunt stellionum morsum letalem, nec ut nostratum, levem et imbecillem esse. Et murium genus exstare ferunt advolantium quod ubi momorderit, necem infert.

CAP. CXLIX.

(161) Ἐν δὲ τῇ Μεσοποταμίᾳ τῆς Συρίας φασὶ καὶ ἐν Ἰστροῦντι ὀφείδιά τινα γίνεσθαι, ἃ τοὺς ἐγχωρίους οὐ δάκνει, τοὺς ξένους δ' ἀδικεῖ σφόδρα.

(145) In Mesopotamia Syriæ et Istrunte dicunt serpentes quosdam exiguos nasci, qui indigenas non mordeant, advenas vero vehementer infestent.

CAP. CL.

Περὶ δὲ τὸν Εὐφράτην καὶ τελείως φασὶ τοῦτο γίνεσθαι· πολλοὺς γὰρ φαίνεσθαι περὶ τὰ χείλη τοῦ ποταμοῦ καὶ διανέοντας ἐφ' ἑκάτερα, ὥστε τῆς δείλης ἐνταῦθα θεωρουμένους ἅμα τῇ ἡμέρᾳ ἐπὶ θατέρου μέρους φαίνεσθαι, καὶ τοὺς ἀναπαυομένους τῶν μὲν Σύρων μὴ δάκνειν, τῶν δ' Ἑλλήνων μὴ ἀπέχεσθαι.

(146) Circa Euphratem vero maxime id accidere dicunt: multos enim circa fluminis littora conspici atque in partem utramque tranare, ita ut si vespere hac parte visi fuerint, illucescente luce ab altera conspiciantur, ac Syros quidem dormientes non mordere, Græcis vero non parcere.

CAP. CLI.

(162) Ἐν Θεσσαλίᾳ φασὶ τὸν ἱερὸν καλούμενον ὄφιν πάντας ἀπολλύειν, οὐ μόνον ἐὰν δάκῃ, ἀλλὰ καὶ ἐὰν θίγῃ· διὸ καὶ ὅταν φανῇ καὶ τὴν φωνὴν

(147) In Thessalia ferunt serpentem sacrum vocatum non solum morsu, sed etiam contactu, omnes perdere: quocirca quum apparet, aut vox ejus auditur (apparet autem

ἀκούσωσι (φαίνεται δὲ σπανίως), φεύγουσι καὶ οἱ ὄφεις καὶ οἱ ἔχεις καὶ τἆλλα πάντα θηρία. Τῷ δὲ μεγέθει οὐκ ἔστι μέγας, ἀλλὰ μέτριος. Ἐν Τήνῳ δέ ποτέ φασιν αὐτὸν τῇ πόλει κατὰ Θετταλίαν ἀναιρεθῆναι ὑπὸ γυναικός, γενέσθαι δὲ τὸν θάνατον τοιόνδε· γυναῖκα κύκλον γράψασαν καὶ τὰ φάρμακα θεῖσαν εἰσβῆναι εἰς τὸν κύκλον, αὐτὴν καὶ τὸν υἱόν, εἶτα μιμεῖσθαι τὴν φωνὴν τοῦ θηρίου· τὸ δ' ἀντᾴδειν καὶ προσιέναι· ᾄδοντος δὲ καταδαρθεῖν τὴν γυναῖκα, καὶ ἐγγυτέρω προσιόντος μᾶλλον, ὥστε μὴ δύνασθαι κρατεῖν τοῦ ὕπνου. Τὸν δ' υἱὸν παρακαθήμενον ἐγείρειν τύπτοντα, κελευούσης ἐκείνης, καὶ λέγειν ὅτι ἐὰν μὲν καθυπνώσῃ, ἀπολεῖται καὶ αὐτὴ καὶ ἐκεῖνος, ἐὰν δὲ βιάσηται καὶ προσαγάγηται τὸ θηρίον, σωθήσονται. Ὡς δὲ προσῆλθεν ὁ ὄφις εἰς τὸν κύκλον, αὖον εὐθὺς γενέσθαι αὐτόν.

raro), serpentes ac viperæ et reliquæ etiam feræ omnes diffugiunt. Magnitudine est non vasta, sed moderata. Aiunt Teni quæ Thessaliæ est urbs, ipsum aliquando a muliere e medio sublatum esse, ejusque mortem in hunc modum evenisse: primum circulum descripsit femina, et veneficia in eo posuit; tum in illum una cum filio ingressa ac vocem bestiæ imitata est; hæc vero vicissim obcinuit et adcessit, eaque recinente, obdormivit femina, eoque magis quo propius adcederet serpens, ita ut somno superior manere non posset; filius vero adsidens matrem pulsando (ita præcipiente ipsa) excitabat dicebatque, si obdormiret, cum sibi, tum ipsi imminere interitum, verum si sibi vim inferret et adliceret bestiam, salvos fore. Quam primum circulum ingressus est serpens, statim exaruit.

CAP. CLII.

(163) Λέγεται περὶ τὰ Τύανα ὕδωρ εἶναι ὁρκίου Διός (καλοῦσι δ' αὐτὸ Ἀσβαμαῖον), οὗ πηγὴ ἀναδίδοται πάνυ ψυχρά, παφλάζει δ' ὥσπερ οἱ λέβητες. Τοῦτο εὐόρκοις μὲν ἡδύ τε καὶ ἵλεων· ἐπιόρκοις δὲ παρὰ πόδας ἡ δίκη· ἀποσκήπτει γὰρ εἰς ὀφθαλμοὺς καὶ εἰς χεῖρας καὶ εἰς πόδας, ἁλίσκονταί θ' ὑδέροις καὶ φθόαις· καὶ οὐδὲ πρόσθεν ἀπελθεῖν δυνατόν, ἀλλ' αὐτόθι ἔχονται καὶ ὀλοφύρονται πρὸς τῷ ὕδατι, ὁμολογοῦντες ἃ ἐπιώρκησαν.

Prope Tyana aqua Jovi jurisjurandi vindici sacra esse dicitur, quam Asbamæam vocant, fonte valde frigido scaturiens; ebullit vero instar lebetum. Sancte quidem jurantibus hæc suavis est et propitia; perjuri vero pœnas dant e vestigio: in oculos enim et manus et pedes incumbit, aquaque intercute et tabe corripiuntur. Neque discedere ante possunt, sed ibi tenentur, lamentanturque ad aquam, perjuria confitentes.

CAP. CLIII.

(164) Ἀθήνησί φασι τὸν ἱερὸν τῆς ἐλαίας θαλλὸν ἐν ἡμέρᾳ μιᾷ βλαστῆσαι καὶ πλείονα γενέσθαι, ταχὺ δ' αὖ πάλιν συστέλλεσθαι.

Athenis dicunt sacrum oleæ ramum uno die germinare et crescere, mox vero etiam rursus decrescere.

CAP. CLIV.

(165) Τῶν ἐν Αἴτνῃ κρατήρων ἀναρραγέντων καὶ ἀνὰ τὴν γῆν φερομένων ἔνθα καὶ ἔνθα χειμάρρου δίκην, τὸ τῶν εὐσεβῶν γένος ἐτίμησε τὸ δαιμόνιον· περικαταληφθέντων γὰρ ὑπὸ τοῦ ῥεύματος διὰ τὸ βαστάζειν γέροντας ἐπὶ τῶν ὤμων γονεῖς καὶ σώζειν, πλησίον αὐτῶν γενόμενον τὸ τοῦ πυρὸς ῥεῦμα ἐξεσχίσθη, παρέτρεψέ τε τοῦ φλογμοῦ τὸ μὲν ἔνθα, τὸ δ' ἔνθα, καὶ ἐτήρησεν ἀβλαβεῖς ἅμα τοῖς γονεῦσι τοὺς νεανίσκους.

Ætnæ crateribus ruptis terramque velut torrens hic illic inundantibus, numen piorum genus honoravit: deprehensis enim a flumine, quia senes humeris suis parentes portarent, eos servaturi, igneum flumen, quum iis jam adpropinquasset, scissum est, atque flammam in utramque partem declinavit, juvenesque una cum parentibus intactos servavit.

CAP. CLV.

(166) Λέγεται τὸν ἀγαλματοποιὸν Φειδίαν κατασκευάζοντα τὴν ἐν ἀκροπόλει Ἀθηνᾶν ἐν μεσότητι ταύτης τῆς ἀσπίδος τὸ ἑαυτοῦ πρόσωπον ἐντυπώσασθαι, καὶ συνδῆσαι τῷ ἀγάλματι διά τινος ἀφανοῦς δημιουργίας, ὥστ' ἐξ ἀνάγκης, εἴ τις βούλοιτο αὐτὸ περιαιρεῖν, τὸ σύμπαν ἄγαλμα λύειν τε καὶ συγχεῖν.

Phidiam statuarium narrant, quum Minervam quæ in arce est, faceret, in medio ejus scuto faciem suam insculpsisse, illamque occulto quodam artificio cum statua ita conjunxisse, ut si quis eam vellet inde eximere, necessario totam statuam dissolveret ac conturbaret.

CAP. CLVI.

(167) Φασὶν ὡς ἀνδριὰς ὁ τοῦ Βίτυος ἐν Ἄργει ἀπέκτεινε [τὸν αἴτιον] τοῦ θανάτου τῷ Βίτυϊ, θεωροῦντι ἐμπεσών. Ἔοικεν οὖν οὐχ εἰκῇ τὰ τοιαῦτα γίνεσθαι.

Argis ferunt Bityis statuam eum qui Bityis causa mortis fuerat, occidisse, quum spectaculum contueretur illapsam. Hujusmodi itaque non temere fieri videntur.

CAP. CLVII.

(168) Φασὶ τοὺς κύνας μόνον διώκειν τὰ θηρία πρὸς τὰς κορυφὰς τῶν Μελάνων καλουμένων ὀρῶν, ἀλλ' ἀναστρέφειν, ὅταν ἄχρι τούτων διώκωσιν.

Canes dicunt feras tantum ad cacumina usque montium, qui Nigri adpellantur, persequi, reverti vero, si eo usque illas persecuti sint.

CAP. CLVIII.

(169) Ἐν τῷ Φάσιδι ποταμῷ γεννᾶσθαι ῥάβδον ὀνομαζομένην λευκόφυλλον, ἣν οἱ ζηλότυποι τῶν ἀνδρῶν δρεπόμενοι ῥίπτουσι περὶ τὸν παρθένιον θάλαμον, καὶ ἀνόθευτον τηροῦσι τὸν γάμον.

In Phaside fluvio virgam nasci tradunt, leucophyllum dictam, quam zelotypi mariti decerpentes circa genialem lectum conjiciunt, et nuptias servant inviolatas.

CAP. CLIX.

(170) Ἐν δὲ τῷ Τίγριδι γίνεσθαί φασι λίθον μωδῶν κεκλημένον βαρβαρικῶς, τῇ χρόᾳ πάνυ λευκόν, ὃν ἐὰν κατέχῃ τις, ὑπὸ θηρίων οὐδὲν ἀδικεῖται.

In Tigride vero lapidem ferunt inveniri, quem barbari Modon nominant, colore admodum albo, quem si quis secum gerat, haudquaquam a feris læditur.

CAP. CLX.

(171) Ἐν δὲ τῷ Σκαμάνδρῳ γίνεσθαί φασι βοτάνην σίστρον καλουμένην, παραπλησίαν ἐρεβίνθῳ, κόκκους δ' ἔχει σειομένους, ὅθεν τὴν προσηγορίαν ἔλαβεν· ταύτην τοὺς κατέχοντας μήτε δαιμόνιον, μήτε φαντασίαν ἡντιναοῦν φοβεῖσθαι.

In Scamandro vero plantam nasci ferunt, cui nomen sistrum, ciceri haud absimilem, cujus grana quassantur, unde nomen traxit. Hanc qui gestent, neque numen ullum, nec spectrum timere.

CAP. CLXI.

(172) Περὶ Λιβύην ἄμπελός ἐστιν ἣν καλοῦσι μαινομένην τινές, ἣ τῶν καρπῶν τοὺς μὲν πεπαίνει, τοὺς δ' ὀμφακώδεις ἔχει, τοὺς δ' ἀνθοῦντας καὶ βραχὺν τινα χρόνον.

Circa Libyam vitis est, quam insanam quidam adpellant, quæ fructuum alios maturat, alios immaturis similes habet, alios florentes, idque intra breve temporis spatium.

CAP. CLXII.

(173) Περὶ τὸ Σίπυλον ὄρος γίνεσθαί φασι λίθον παρόμοιον κυλίνδρῳ, ὃν οἱ εὐσεβεῖς υἱοὶ ὅταν εὕρωσιν, ἐν τῷ τεμένει τῆς μητρὸς τῶν θεῶν τιθέασι, καὶ οὐδέποτε χάριν ἀσεβείας ἁμαρτάνουσιν, ἀλλ' ἀεί εἰσι φιλοπάτορες.

Circa Sipylum montem lapidem nasci perhibent cylindri forma, quem pii filii ubi invenerint, in fano matris deûm ponunt, neque umquam impietatis ratione delinquunt, sed semper parentum sunt amantes.

CAP. CLXIII.

(174) Ἐν ὄρει Τηϋγέτῳ γίνεσθαι βοτάνην καλουμένην χαρισίαν, ἣν γυναῖκες ἔαρος ἀρχομένου τοῖς τραχήλοις περιάπτουσι, καὶ ὑπὸ τῶν ἀνδρῶν συμπαθέστερον ἐρῶνται.

In monte Taygeto herbam nasci Charisiam dictam, quam mulierculæ primo vere a collo suspendunt, et a viris amantur impensius.

CAP. CLXIV.

(178) Ὄθρυς ὄρος ἐστὶ Θετταλίας, ὃ φέρει ὄφεις τοὺς λεγομένους σῆπας, οἳ οὐκ ἔχουσι μίαν χροιάν, ἀλλ' ἀεὶ ὁμοιοῦνται τῷ χώρῳ ἐν ᾧ οἰκοῦσιν. Τινὲς δ' αὐτῶν ὅμοιον ἔχουσι τὸ χρῶμα τοῖς κόχλοις τῆς γῆς· ἄλλοις δὲ χλοάζουσά ἐστιν ἡ φολίς· ὅσοι δ' αὐτῶν ἐν ψαμάθοις διατρίβουσι, ταύταις ἐξομοιοῦνται κατὰ τὸ χρῶμα. Δάκνοντες δ' ἐμποιοῦσι δίψος. Ἔστι δ' αὐτῶν τὸ δῆγμα οὐ τραχὺ καὶ ἔμπυρον, ἀλλὰ κακόηθες.

Othrys mons est Thessaliæ, qui serpentes profert sepes dictos, quibus non unus est color, sed semper loco similes redduntur ubi degunt. Quidam eorum colorem habent cochleis terrestribus similem; aliorum vero squamæ sunt herbidæ; in arenis tandem qui agunt, colores illarum referunt. Mordentes vero sitim infligunt. Morsus autem eorum non asper est ac igneus, sed malignus.

CAP. CLXV.

(179) Τοῦ περκνοῦ ἔχεως τῇ ἐχίδνῃ συγγινομένου, ἡ ἔχιδνα ἐν τῇ συνουσίᾳ τὴν κεφαλὴν ἀποκόπτει· διὰ τοῦτο καὶ τὰ τέκνα, ὥσπερ τὸν θάνατον τοῦ πατρὸς μετερχόμενα, τὴν γαστέρα τῆς μητρὸς διαρρήγνυσιν.

Nigra vipera mascula cum femella coeunte, hæc illi in coitu caput detruncat: quapropter et partus, tamquam patris necem ulciscens, matris ventrem perrumpit.

CAP. CLXVI.

(180) Ἐν τῷ Νείλῳ ποταμῷ γεννᾶσθαι λίθον φασὶ κυάμῳ παρόμοιον, ὃν ἂν κύνες ἴδωσιν, οὐχ ὑλακτοῦσιν. Συντελεῖ δὲ καὶ τοῖς δαίμονί τινι γενομένοις κατόχοις· ἅμα γὰρ τῷ προστεθῆναι ταῖς ῥισὶν ἀπέρχεται τὸ δαιμόνιον.

In Nilo flumine lapidem nasci aiunt fabæ similem, quem canes si viderint, non latrant. Iis quoque salutaris est qui a dæmone quodam vexantur: nam simul ac naso appositus est, fugit dæmon.

CAP. CLXVII.

(181) Ἐν δὲ τῷ Μαιάνδρῳ ποταμῷ τῆς Ἀσίας λίθον φασὶ σώφρονα καλούμενον κατ' ἀντίφρασιν· ὃν ἐάν τις εἴς τινος ἐμβάλῃ κόλπον, ἐμμανὴς γίνεται καὶ φονεύει τινὰ τῶν συγγενῶν.

In Mæandro Asiæ flumine lapidem reperiri aiunt, qui a contrario sophron nuncupatur: quem si quis in sinum cujusdam miserit, furore percietur et cognatorum aliquem occidit.

CAP. CLXVIII.

(182) Ῥῆνος καὶ Ἴστρος οἱ ποταμοὶ ὑπ' ἄρκτον ῥέουσιν, ὁ μὲν Γερμανούς, ὁ δὲ Παίονας παραμείβων· καὶ θέρους μὲν ναυσίπορον ἔχουσι τὸ ῥεῖθρον, τοῦ δὲ χειμῶνος παγέντες ὑπὸ κρύους ἐν πεδίου σχήματι καθιππεύονται.

Rhenus et Ister fluvii sub septemtriones fluunt; alter quidem Germanos, alter vero Pannonios transit, ac æstate alveum habent navigabilem, hyeme vero frigore concreti, velut campi, equitibus calcantur.

CAP. CLXIX.

(183) Περὶ τὴν Θούριον πόλιν δύο ποταμούς φασιν εἶναι, Σύβαριν καὶ Κρᾶθιν. Ὁ μὲν οὖν Σύβαρις τοὺς πίνοντας ἀπ' αὐτοῦ πτυρτικοὺς εἶναι ποιεῖ, ὁ δὲ Κρᾶθις τοὺς ἀνθρώπους ξανθότριχας λουομένους.

Circa Thurium oppidum duo flumina esse ferunt, Sybarin et Crathin. Sybaris itaque ex eo bibentes (equos) in consternationem proclives reddit; Crathis vero hominum in eo lavantium capillos flavos efficit.

CAP. CLXX

(184) Ἐν δ' Εὐβοίᾳ δύο ποταμοὺς εἶναι, ὧν ἀφ' οὗ μὲν τὰ πίνοντα πρόβατα λευκὰ γίνονται· ὃς ὀνομάζεται Κέρβης· ὁ δὲ Νηλεύς, ὃς μέλανα ποιεῖ.

In Eubœa autem duo esse flumina, ex quorum altero bibentes oves albæ fiunt: huic nomen est Cerbes; alteri vero Neleus, qui easdem denigrat.

CAP. CLXXI.

(185) Παρὰ Λυκόρμᾳ ποταμῷ γεννᾶσθαι βοτάνην λόγχῃ παρόμοιον συντελοῦσαν πρὸς ἀμβλυωπίαν ἄριστα.

Circa Lycormam fluvium herbam nasci lanceæ similem, ad hebetes oculos præsens remedium.

CAP. CLXXII.

(186) Τὴν ἐν Συρακούσαις τῆς Σικελίας πηγὴν Ἀρέθουσαν διὰ πενταετηρίδος κινεῖσθαι λέγουσιν.

Syracusis Arethusam Siciliæ fontem quinto quoque anno moveri adfirmant.

CAP. CLXXIII.

(187) Ἐν ὄρει Βερεκυνθίῳ γεννᾶσθαι λίθον καλούμενον μάχαιραν, ὃν ἐὰν εὕρῃ τις, τῶν μυστηρίων τῆς Ἑκάτης ἐπιτελουμένων ἐμμανὴς γίνεται, ὡς Εὔδοξός φησιν.

In monte Berecynthio lapidem innasci gladium nomine, quem si quis invenerit, is, ut Eudoxus scribit, quum Hecates mysteria celebrantur, in furorem vertitur.

CAP. CLXXIV.

(188) Ἐν ὄρει δὲ Τμώλῳ γεννᾶσθαι λίθον παρόμοιον κισσήρει, ὃς τετράκις τῆς ἡμέρας ἀλλάσσει τὴν χρόαν· βλέπεσθαι δ' ὑπὸ παρθένων τῶν μὴ τῷ χρόνῳ φρονήσεως μετεχουσῶν.

In Tmolo monte lapidem nasci pumici similem, qui colorem quater mutat quotidie; cerni vero a virginibus quæ ætatis ergo nondum prudentiæ participes sunt.

CAP. CLXXV.

(189) Ἐν Ἀρτέμιδος Ὀρθωσίας βωμῷ ταῦρον ἵστασθαι χρύσειον, ὃς κυνηγῶν εἰσελθόντων φωνὴν ἐπαφίησιν.

In Orthosiæ Dianæ ara taurum stare aureum, qui venatoribus ingressis vocem emittat.

CAP. CLXXV.

(190) Ἐν Αἰτωλοῖς φασιν ὁρᾶν τοὺς ἀσπάλακας ἀμυδρῶς, καὶ οὐδὲ σιτεῖσθαι γῆν, ἀλλ' ἀκρίδας.

In Ætolia talpas tradunt visu præditas esse hebeti; neque terra vesci, sed locustis.

CAP. CLXXVII.

(191) Τοὺς ἐλέφαντάς φασι κύειν ἔτη δύο, οἱ δὲ μῆνας ὀκτωκαίδεκα· ἐν δὲ τῇ ἐκτέξει δυστοκεῖν.

Elephantos dicunt ventrem biennio perferre, secundum alios mensibus duodeviginti; sub ipso vero partu molestia affici.

CAP. CLXXVIII.

(192) Δημάρατον Τιμαίου τοῦ Λοκροῦ ἀκουστὴν νοσήσαντα ἄφωνόν φασιν ἐπὶ δέκα γενέσθαι ἡμέρας· ἐν δὲ τῇ ἑνδεκάτῃ ἀνανήψας βραδέως ἐκ τῆς παρακοπῆς ἔφησεν ἐκεῖνον τὸν χρόνον ἥδιστα αὑτῷ βεβιῶσθαι.

Demaratus Timæi Locrensis auditor ægrotans decem dies mutus fuisse dicitur; undecimo vero, quum sero tandem ex delirio se recollegisset, illo se tempore suavissime vixisse adfirmavit.

ΠΡΟΒΛΗΜΑΤΑ.

ΤΜΗΜΑ Α.

ΟΣΑ ΙΑΤΡΙΚΑ.

1. Διὰ τί αἱ μεγάλαι ὑπερβολαὶ νοσώδεις; Ἢ ὅτι ὑπερβολὴν ἢ ἔλλειψιν ποιοῦσιν, τοῦτο δ' ἦν ἡ νόσος;

2. Διὰ τί δὲ τὰς νόσους ὑγιάζουσι πολλάκις, ὅταν πολὺ ἐκστῇ τις, καὶ ἐνίων ἰατρῶν τοιαύτη ἡ τέχνη; ὑπερβολαῖς γὰρ ἰῶνται οἴνου, ἢ ὕδατος, ἢ ἅλμης, ἢ σίτου, ἢ λιμοῦ. Ἢ ὅτι ἐναντία ἀλλήλοις τὰ τὴν νόσον ποιοῦντα; Εἰς τὸ μέσον οὖν ἄγει θάτερον ἑκάτερα.

3. Διὰ τί αἱ τῶν ὡρῶν μεταβολαὶ καὶ πνεύματα ἐπιτείνουσιν, ἢ παύουσι καὶ κρίνουσι τὰς νόσους, καὶ ποιοῦσιν; Ἢ ὅτι θερμαὶ καὶ ψυχραί εἰσι καὶ ὑγραὶ καὶ ξηραί, αἱ δὲ νόσοι τούτων εἰσὶν ὑπερβολαί, ἡ δ' ὑγεία ἰσότης; Ἐὰν οὖν δι' ὑγρότητα καὶ ψύξιν, ἡ ἐναντία ὥρα παύει· ἐὰν δ' ἐναντία ὥρα ἕχηται, ἡ ὁμοία κρᾶσις ἐπιγενομένη ἐπέτεινε καὶ ἀνεῖλεν. Διὰ ταῦτα δὲ καὶ νοσίζουσι τοὺς ὑγιαίνοντας, ὅτι μεταβάλλουσαι λύουσι τὴν κρᾶσιν· ἅμα γὰρ ταῖς οἰκείαις ὥραις καὶ ἡλικίαις καὶ τόποις αὐξάνεται· διὸ δεῖ ἐν ταῖς μεταβολαῖς μάλιστα διακυβερνᾶν. Ὃ δὲ καθόλου περὶ τῶν ὡρῶν εἴρηται, καὶ κατὰ μέρος τὸ αὐτὸ αἴτιον· αἱ γὰρ τῶν πνευμάτων μεταβολαὶ καὶ τῶν ἡλικιῶν καὶ τόπων ὥρας τινός εἰσι μεταβολαί· διὸ καὶ ταῦτα ἐπιτείνει καὶ παύει καὶ κρίνει καὶ ποιεῖ, ὥσπερ αἱ ὧραι, καὶ ἐπιτολαὶ τῶν ἄστρων, ὥσπερ Ὠρίων καὶ Ἀρκτοῦρος καὶ Πλειὰς καὶ Κύων, ὥσπερ πνευμάτων καὶ ὑδάτων καὶ εὐδιῶν καὶ χειμώνων καὶ ἀλέας.

4. Διὰ τί ἐν ταῖς μεταβολαῖς τῶν ὡρῶν ἐμέτοις οὐ δεῖ χρῆσθαι; Ἢ ἵνα μὴ γένηται συντάραξις, διαφόρων γινομένων τῶν περιττωμάτων διὰ τὰς μεταβολάς;

5. Διὰ τί καὶ οἱ κιβδηλιῶντες, καὶ οἱ ὑπὸ λιμοῦ τοὺς πόδας οἰδοῦσιν; Ἢ διὰ τὴν σύντηξιν ἀμφότεροι; Συντήκονται δ' οἱ μὲν διὰ λιμὸν διὰ τὸ ὅλως μὴ λαμβάνειν τροφήν, οἱ δὲ κιβδηλιῶντες διὰ τὸ μηδὲν ἀπολαύειν ἧς λαμβάνουσι τροφῆς.

6. Διὰ τί τῶν ἀπὸ χολῆς νοσημάτων ἐν τῷ θέρει (πυρέττουσι γὰρ μάλιστα ἐν τῷ θέρει), τὰ ὀξέα ἀπὸ χολῆς ὄντα ἐν τῷ χειμῶνι γίνεται μᾶλλον; Ἢ ὅτι μετὰ πυρετοῦ ὄντα ὀξέα ἐστὶ διὰ τὸ βίαια εἶναι· ἡ δὲ βία παρὰ φύσιν; ὑγραινομένων γάρ τινων τόπων θερμὴ φλεγμασία γίνεται· ἡ δὲ φλεγμασία ὑπερβολὴ θερμότητος οὖσα ποιεῖ τοὺς πυρετούς. Ἐν μὲν οὖν τῷ θέ-

PROBLEMATA.

SECTIO I.

QUÆ AD MEDICINAM PERTINENT.

(859.)

1. Cur exsuperantiæ magnæ morbidæ sunt? An quia vel excessum, vel defectum efficiunt : qua quidem re morbus consistit?

2. Cur vero morbos sæpe sanant, ubi quis abunde excessit, atque nonnulli medici eo modo artem exercent? per excessum enim sanant vel vini, vel, aquæ, vel salsuginis, vel cibi, vel inediæ. An quoniam causæ, quæ morbos adferunt, adversæ inter se sunt? Utraque ergo alterum ad medium statum deducunt.

3. Cur tempestatum mutationes ac flatus morbos intendunt tolluntve, ac tum judicant, tum adferunt? An quod aut calidæ, aut frigidæ, aut humidæ, aut siccæ sunt, morbique harum qualitatum excessus sunt, secunda vero valetudo æqualitas? Quodsi igitur per humiditatem frigusque morbus constiterit, contraria tempestas tollit; si vero contraria tempestas subsecuta sit, quod simile temperamentum supervenerit, intendet atque interimet. Quo etiam fit ut bene valentibus morbos infligant : corporis enim temperamentum immutando solvunt, quippe quod una cum tempestatibus, ætatibus locisque familiaribus augetur : quamobrem quum tempestates variant, ratio tunc valetudinis habenda diligentius est. Idem autem illud pro causa particulatim etiam adest, quod in universum proposui de temporibus : mutationes etenim flatuum, ætatum atque locorum tempestatis cujusdam mutationes sunt : quapropter hæc etiam intendendi, vel tollendi, vel judicandi, vel contrahendi morbum vim habent, quemadmodum tempestates, itemque siderum ortus, e. g. Orionis, Arcturi, Vergiliarum, Caniculæ, eodem modo quo flatuum imbriumque mutationes, quo serenitatum, procellarumque ac teporum.

4. Cur vomitus, quum tempestates immutantur, adhiberi non debent? An ne conturbatio fiat, quum varia excrementa proveniant propter mutationes?

5. Quamobrem cum pallentes, tum qui fame laborant, pedibus intumescere solent? An utrisque per colliquationem illud accidit? colliquantur enim qui esuriunt quidem, quia nullum penitus capiunt alimentum; pallentes vero, quia quod adsumpserint, eo perfrui haudquaquam possunt.

6. Quamobrem, quum morbi a bili oriundi per æstatem contrahi soleant (febriunt enim inprimis æstate), morbi acuti, qui certe e bile consistunt, per hyemem potius urgent? An quia morbi illi febribus comitati, acuti propterea sunt, quia violenti; violentia vero contra naturam est? locis enim quibusdam in corpore humescentibus calida oritur inflammatio, quæ quum caloris exsuperantia sit, febres adcendit. Æstivo igitur tempore sicci calidique

ρει ξηραὶ καὶ θερμαί εἰσιν αἱ νόσοι, ἐν δὲ τῷ χειμῶνι ὑγραὶ καὶ θερμαί· διὸ ὀξεῖαι· ταχέως γὰρ ἀναιροῦσιν· οὐ γὰρ θέλει πέττεσθαι διὰ τὸ πλῆθος τοῦ περιττώματος.

morbi sunt, hiberno autem humidi calidique, ac proinde acuti: celeriter namque interimunt, quum propter copiosas redundantias concoqui nequeant.

7. Διὰ τί ποτε ὁ λοιμὸς μόνη τῶν νόσων μάλιστα τοὺς πλησιάζοντας τοῖς θεραπευομένοις προσαναπίμπλησιν; Ἢ ὅτι μόνη τῶν νόσων κοινή ἐστιν ἅπασιν, ὥστε διὰ τοῦτο πᾶσιν ἐπιφέρει τὸν λοιμόν, ὅσοι φαύλως ἔχοντες προϋπάρχουσιν; καὶ γὰρ διὰ τὸ ὑπέκκαυμα τῆς νόσου τῆς παρὰ τῶν θεραπευομένων γινομένης ταχέως ὑπὸ τοῦ πράγματος ἁλίσκονται.

7. Cur tandem pestilentia sola ex omnibus morbis præcipue obruit eos qui ad ægrotos prope adcesserint? An quod is solus omnium morborum communis omnibus est, ita ut hanc ob causam pestem omnibus inferat, qui antea jam male haberent? propter fomitem enim morbi ab ægrotis venientem hac re adfliguntur.

8. Διὰ τί τοῦ χειμῶνος βορείου γενομένου, ἐὰν τὸ ἔαρ ἔπομβρον γένηται καὶ νότιον, τὸ θέρος νοσῶδες γίνεται πυρετοῖς καὶ ὀφθαλμίαις; Ἢ ὅτι τά τε σώματα ἐκδέχεται τὸ θέρος πολλὴν ἔχοντα ἀλλοτρίαν ὑγρότητα, καὶ ἡ γῆ καὶ ὁ τόπος ἐν ᾧ ἂν οἰκῶσι, γίνεται ἔφυδρος καὶ τοιοῦτος οἷοι λέγονται οἱ ἀεὶ νοσώδεις τόποι; Πρῶτον μὲν οὖν ὀφθαλμίαι γίνονται τηκομένης τῆς περὶ τὴν κεφαλὴν περιττώσεως, ἔπειτα πυρετοί· δεῖ γὰρ νοῆσαι ὅτι τὸ αὐτὸ καὶ θερμότατον γίνεται καὶ ψυχρότατον, οἷον ὕδωρ καὶ λίθος ὁ μὲν ζεῖ, τὸ δὲ κάει μᾶλλον. Ἐν τ' οὖν ἀέρι πνίγη γίνεται θερμαινομένου τοῦ ἀέρος διὰ πάχος, καὶ ἐν τοῖς σώμασιν ὡσαύτως πνίγη καὶ καύματα, τὸ δ' ἐν σώματι καῦμα πυρετός ἐστιν, ἐν δ' ὀφθαλμοῖς ὀφθαλμίαι. Ὅλως δὲ καὶ ἡ μεταβολὴ ἰσχυρὰ οὖσα τὰ σώματα φθείρει, ὅταν τοῦ ἔαρος ὑγροῦ ὄντος εὐθὺς ἐπιλαμβάνῃ τὸ θέρος θερμὸν ὂν καὶ ξηρόν. Ἔτι δὲ χαλεπώτερον, ἐὰν καὶ τὸ θέρος ἔπομβρον γένηται· ἔχει γὰρ ὁ ἥλιος ὕλην ἣν ποιήσει ζεῖν, καὶ ἐν τοῖς σώμασι, καὶ ἐν τῇ γῇ καὶ ἀέρι· διὸ γίνονται πυρετοὶ καὶ ὀφθαλμίαι.

8. Cur, si venti septemtrionales hyemem occuparunt, ver autem austros pluviasque exhibuit, æstas gravis tam febribus quam lippitudinibus fit? An quod æstas corpora nostra multum humoris alieni continentia adcipit, et terra habitandique locus madescunt, talesque redduntur quales loci perpetuo morbidi sese habere dicuntur? Primum itaque lippitudines fiunt, colliquescentibus redundantiis in capite obviis, dein febres: ita enim intelligendum est, ut res eadem et calidissima et frigidissima reddi possit, ceu aqua et lapis; fervet enim illa, urit vero hic gravius. In aere igitur suæ crassitudinis causa incalescente æstus supervenit, et corpora pari ratione æstu ac ardore vexantur, ardor autem in corpore quidem febris, in oculis vero lippitudo est. Denique mutatio quoque vigore suo corpora pervertit, quum præcedente vere humido æstas protinus calida et sicca occupavit. Molestius etiam erit si æstas quoque pluvia fuerit: ita enim sol materiam obtinet, quam fervescere tum in corporibus, tum in terra, tum etiam in aere faciat: qua de causa febres oriuntur et lippitudines.

9. Διὰ τί, ἐὰν ὁ χειμὼν νότιος γένηται καὶ ἔπομβρος, τὸ δ' ἔαρ αὐχμηρὸν καὶ βόρειον, νοσῶδες γίνεται καὶ τὸ ἔαρ καὶ τὸ θέρος; Ἢ ὅτι ἐν μὲν τῷ χειμῶνι διὰ τὴν ἀλέαν καὶ ὑγρότητα ὁμοίως τὰ σώματα διάκειται τῇ ὥρᾳ; ὑγρὰ γὰρ ἀνάγκη εἶναι καὶ οὐ συνεστηκότα· οὕτω δ' ἐχόντων, τὸ ἔαρ ψυχρὸν ὂν ἔπηξε καὶ ἐσκλήρυνεν αὐτὰ διὰ τὸν αὐχμόν, ὥστε ταῖς μὲν κυούσαις ὁ τόκος ὁ ἐαρινὸς εἰς ἐκτρώσεις γίνεται διὰ τὴν θερμασίαν καὶ τὸν σφακελισμὸν τὸν γινόμενον ὑπὸ τῆς ξηρᾶς ψυχρότητος, ἅτε οὐκ ἐκκρινομένης τῆς ὑγρότητος, τὰ δὲ κυόμενα παιδία ἀσθενῆ γίνεται καὶ πηρὰ διὰ τὴν ὑπερβολὴν τοῦ ψύχους· συμβέβηκε γὰρ τότε γεννώμενα, ἐν εὐδίᾳ καὶ συστῆναι καὶ τραφῆναι ἐν τῇ τεκούσῃ. Τοῖς δ' ἄλλοις, ἅτε ἐν τῷ ἔαρι οὐκ ἀποκαθαρθέντος τοῦ φλέγματος τὴν ὑπερβολήν, ὃ συμβαίνει ὅταν ἀλεεινὸν γένηται, ἀλλὰ διὰ ψῦχος συστάντος, ὅταν ἐπιλάβῃ τὸ θέρος καὶ ἡ ἀλέα τήκουσα βίᾳ, τοῖς μὲν χολώδεσι καὶ ξηροῖς, διὰ τὸ μὴ διερὰ εἶναι τὰ σώματα αὐτοῖς, ἀλλὰ τὴν φύσιν αὖον ἔχειν, γίνονται μὲν ὑγρότητες, αὗται δὲ λεπταί, ὥστ' ὀφθαλμίαις ξηραῖς ἁλίσκονται, οἱ δὲ φλεγματώδεις βράγχοις καὶ εἰς τὸν

9. Cur, si hyems austrina et pluvia fuit, ver autem siccum et aquilonium est, morbidum fit tum ver, tum æstas? An quod hyemis quidem tepor et humor faciunt ut corpora eodem modo se habeant quo tempestas? humida enim necessario sunt, non vero solida: quæ quum ita se habeant, ver, quippe frigidum, propter siccitatem concrescere ea facit atque indurat, ita ut gravidis quidem partus vernus in abortum abeat propter calorem et siderationem a frigore sicco oriundum, quia nempe non excernitur humor; infantes vero quos gerunt, imbecilles mutilique immodicum ob frigus redduntur: accidit enim ut qui tunc nascuntur, per teporem et constiterint et nutriti fuerint intra parentem. Ceteris vero, quum pituitæ redundantia vere purgata non est (quod fit, ubi tepidum se exhibuit), sed coacta propter frigus constitit, ubi æstas occupavit teporque vi liquans, biliosis quidem siccisque, quod eorum corpora humida non sunt, sed squalidam sortiuntur naturam, excitantur quidem humores, sed tenues, ita ut lippitudinibus aridis capiantur, pituitosi vero raucitatibus destillationibusque

πνεύμονα κατάρροις. Ταῖς γυναιξὶ δὲ δυσεντερίαι γίνονται διὰ τὴν ὑγρότητα καὶ ψυχρότητα τῆς φύσεως, τοῖς δὲ γεραιτέροις ἀποπληξίαι, ὅταν ἀθρόον λυθὲν ὑγρὸν ἐπιπέσῃ καὶ δι' ἀσθένειαν τοῦ συμφύτου θερμοῦ παγῇ.

quæ in pulmonem fiunt. Mulieres autem affligunt difficultates intestinorum, quia natura sunt humida frigidaque; seniores tandem stupor adtonitos reddit, ubi universus resolutus humor ingruit exque imbecillitate caloris nativi concrevit.

10. Διὰ τί, ἐὰν μὲν τὸ θέρος αὐχμηρὸν γένηται καὶ βόρειον, τὸ δὲ μετόπωρον ἐναντίον ὑγρὸν καὶ νότιον, ἐν τῷ χειμῶνι κεφαλαλγίαι τε γίνονται καὶ βράγχοι καὶ βῆχες, καὶ τελευτῶσιν εἰς φθίσεις; Ἢ ὅτι λαμβάνει ὕλην πολλὴν ὁ χειμών, ὥστ' αὐτῷ ἔργον ἐστὶ πῆξαι τὴν ὑγρότητα καὶ φλέγμα ποιῆσαι; Ἐν μὲν οὖν ταῖς κεφαλαῖς ὅταν ὑγρασία γένηται, βάρη ποιεῖ, ἐὰν δ' ᾖ πολλὴ καὶ ψυχρά, σφακελισμούς· ἐὰν δὲ διὰ πλῆθος μὴ πήξῃ, ῥεῖ εἰς τὸν ἐχόμενον τόπον, ὅθεν αἱ βῆχες καὶ οἱ βράγχοι καὶ αἱ φθόαι γίνονται.

10. Cur, si æstas quidem sicca et aquilonia fuit, autumnus vero ex adverso humidus atque austrinus, hyeme dolores capitis raucitatesque et tusses oriuntur, atque in tabes evadunt? An quia hyems multum materiæ adcipit, ita ut humorem cogere atque pituitam inde conficere magnum ei negotium sit? Quodsi igitur in capite humor constiterit, gravedines adfert, et si multus frigidusque fuerit, siderationes; nec non si ob nimiam copiam eum non coegit hyems, in locum defluit proximum : unde tusses raucitatesque et tabes fiunt.

11. Διὰ τί, ἐὰν βόρειον γένηται τὸ θέρος καὶ αὐχμῶδες, καὶ τὸ μετόπωρον, συμφέρει τοῖς φλεγματώδεσι καὶ ταῖς γυναιξίν; Ἢ ὅτι ἡ φύσις ἐπὶ θάτερα ἀμφοῖν ὑπερβάλλει, ὥστ' εἰς τοὐναντίον ἡ ὥρα ἑλκύσασα καθίστησιν εἰς τὴν εὐκρασίαν; Καὶ παραχρῆμά θ' ὑγιαίνουσιν, ἐὰν μή τι δι' ἑαυτοὺς ἁμαρτάνωσι, καὶ εἰς τὸν χειμῶνα οὐχ ὑγροὶ ἀφικνοῦνται, ἔχοντες ὑπεκκαύματα τῷ ψύχει.

11. Cur, si aquilonia ac sicca fuit æstas itemque autumnus, pituitosis et mulieribus confert? An quia natura utrorumque in alteram exuberat partem, ita ut tempestas in partem trahendo contrariam ad medium perducat temperamentum? Confestim quoque optime valent, nisi quid ultro ipsi perperam agant, nec humidi ad hyemem deveniunt, (sed) ita ut fomitem frigori subministrent.

12. Διὰ τί τοῖς χολώδεσι νοσῶδές ἐστι τὸ βόρειον καὶ αὐχμῶδες θέρος καὶ μετόπωρον; Ἢ ὅτι ἐπὶ ταὐτὸ ῥέπει αὐτοῖς τὸ σῶμα καὶ αἱ ὧραι, ὥσθ' ὥσπερ πῦρ ἐπὶ πυρὶ γίνεται; ξηραινομένων γὰρ τῶν σωμάτων, καὶ τοῦ γλυκυτάτου μὲν ἐξικμαζομένου ἐξ αὐτῶν, ὑπερθερμαινομένων δὲ λίαν, ἀνάγκη διὰ μὲν τὰς συντήξεις ὀφθαλμίας ξηρὰς γίνεσθαι, διὰ δὲ τὸ χολῶδες τοὺς ὑπολειπομένους εἶναι χυμούς, ὑπερθερμαινομένων δὲ καὶ τούτων πυρετοὺς ὀξεῖς γίνεσθαι, ἅθ' ὑπ' ἀκράτου τῆς χολῆς, ἐνίοις δὲ μανίας, οἷς ἂν μέλαινα χολὴ φύσει ἐνῇ· αὕτη γὰρ ἐπιπολάζει ἀναξηραινομένων τῶν ἐναντίων χυμῶν.

12. Cur æstas aquilonia et sicca itemque autumnus morbo biliosos infestant? An quoniam ad idem cum corpus eorum, tum tempestates vergant, ita ut veluti ignis igni adjiciatur? quum enim corpora exsiccentur, quodque in iis dulcissimum erat, eliciatur, vehementer illis ultra modum incalescentibus, necesse est ut propter colliquamenta quidem aridæ lippitudines oriantur, propter biliosam vero eorum naturam humores restent : quibus impense calescentibus, febres acutæ, utpote ex bili sincera, necessario fiunt; nonnullis vero insaniæ, quibuscumque scilicet naturaliter atra bilis inerat : hæc enim redundat, ubi humores contrarii siccescunt.

13. Διὰ τί τὸ τὰ ὕδατα μεταβάλλειν νοσῶδές φασιν εἶναι, τὸ δὲ τὸν ἀέρα οὔ; Ἢ ὅτι τοῦτο γίνεται τροφή, καὶ ἔχοντες καὶ ἀπολελαυκότες τοῦ ὕδατος ἀπέρχονται, τοῦ δ' ἀέρος οὐδέν; Ἔτι ὕδατος μὲν πολλὰ εἴδη ἐστὶ καὶ διάφορα καθ' αὑτά, ἀέρος δ' οὔ, ὥστε καὶ τοῦτο αἴτιον· ἐν μὲν γὰρ τῷ ἀέρι σχεδὸν τῷ αὐτῷ συμβαίνει διατελεῖν καὶ ἀποδημοῦντας, ἐν δ' ὕδασιν ἄλλοις· διὸ καλῶς δοκεῖ νοσώδης ἡ τοῦ ὕδατος μεταβολὴ εἶναι.

13. Cur mutationem aquarum morbidam, aeris vero non morbidam esse adfirmant? An quod aqua quidem alimentum fit, aquaque absumpta et in rem nostram conversa abimus, aere autem nequaquam hac ratione utimur? Aquæ item genera multa et varia per se sunt, non vero aeris : itaque hoc etiam causa erit, quippe quum vel peregre profectis eveniat, ut in aere quidem prope eodem, in aquis autem aliis versentur eveniat : quapropter aquæ mutationem morbidam esse recte opinantur.

14. Διὰ τί μᾶλλον ἡ τοῦ ὕδατος ἢ ἡ τῶν σιτίων μεταβολὴ νοσώδης; Ἢ ὅτι πλεῖστον ἀναλίσκομεν τὸ ὕδωρ; ἔν τε γὰρ τοῖς σιτίοις ὑπάρχει καὶ ὄψοις, καὶ ἐν τῷ πόματι τὸ πλεῖστον ὕδωρ.

14. Cur aquæ mutatio magis quam ciborum morbida est? An quia plurimum aquæ consumimus? nam et in cibis, et in obsoniis, imo in potu plurima aqua inest.

15. Διὰ τί ἡ μεταβολὴ νοσώδης; Ἢ ὅτι πᾶσα μὲν ἡ μεταβολὴ καὶ ὥρας καὶ ἡλικίας εὐκίνητον; εὐκίνητα γὰρ τὰ ἄκρα, οἷον καὶ αἱ ἀρχαὶ καὶ αἱ τελευταί· ὥστε καὶ αἱ τροφαὶ ἕτεραι οὖσαι ἀλλήλας φθείρουσιν· αἱ μὲν

15. Cur mutatio morbida est? an quod omnis mutatio etiam tempestatis et ætatis motu facilis est? extrema namque moveri facile possunt, cujusmodi sunt et principia et fines : ergo et cibi qui inter se distant, se invicem corrum-

γὰρ ἄρτι, αἱ δ' οὔπω προσπεφύκασιν. Ἔτι δ' ὥσπερ ἡ ποικίλη τροφὴ νοσώδης (ταραχώδης γάρ, καὶ οὐ μία πέψις), οὕτω συμβαίνει μεταβάλλουσι τὸ ὕδωρ ποικίλῃ πόματος χρῆσθαι τῇ τροφῇ, καὶ ἡ τοιαύτη τροφὴ κυριωτέρα τῆς ξηρᾶς ἐστι, τῷ πλεῖστον εἶναι καὶ ἐξ αὐτῶν τῶν σιτίων τὸ ὑγρὸν γίνεσθαι τροφήν.

16. Διὰ τί ἡ τῶν ὑδάτων μεταβολὴ τοῖς ἔχουσι φθεῖρας ποιεῖ πολλοὺς ἔχειν; Ἢ ὅτι ἀπεψία γινομένη τοῦ ὑγροῦ διὰ τὴν ταραχήν, ἣ γίνεται διὰ τὴν ποικιλίαν τοῦ ὕδατος πυκνὰ μεταβάλλουσιν, ὑγρότητα ἐμποιεῖ, καὶ μάλιστα ἐν τῷ ἐπιτηδείῳ ὑπάρχοντι τόπῳ, ὁ δ' ἐγκέφαλος ὑγρός; διὸ καὶ ἡ κεφαλὴ ἀεὶ μάλιστα. Δηλοῖ δέ, ὅτι αἱ τρίχες ἔνεισι μάλιστα ἐν αὐτῇ. Ἡ δὲ τοῦ τόπου τούτου ὑγρότης φθειρῶν ποιητική. Δηλοῖ δ' ἐπὶ τῶν παίδων· ὑγροκέφαλοί τε γάρ εἰσι, καὶ πολλάκις ἢ κορυζῶσιν, ἢ αἷμα ποιεῖ ῥεῖν, καὶ φθεῖρας πλείους οἱ ἐν ταύτῃ τῇ ἡλικίᾳ ἔχουσιν.

17. Διὰ τί ἀπὸ Πλειάδος μέχρι ζεφύρου οἱ τὰς μακρὰς νόσους κάμνοντες μάλιστα ἀναιροῦνται, καὶ οἱ γέροντες μᾶλλον τῶν νέων; Πότερον ὅτι δύο ἐστὶ τὰ φθαρτικώτατα, ὑπερβολή τε καὶ ψῦχος (τὸ γὰρ ζῆν θερμόν), ἡ δ' ὥρα αὕτη ἄμφω ταῦτ' ἔχει; ψυχρά τε γάρ ἐστι, καὶ ἀκμαιότατος ὁ χειμών· τὸ λοιπὸν γὰρ ἔαρ ἐστίν. Ἢ ὅτι ὁμοίως μὲν διάκεινται τοῖς γέρουσι τῶν καμνόντων οἱ τὰς μακρὰς κάμνοντες ἀσθενείας; οἷον γὰρ ἤδη γῆρας ἡ μακρὰ ἀσθένεια συμβαίνει· τὸ γὰρ σῶμα ἀμφοῖν ξηρὸν καὶ ψυχρόν ἐστι, τῶν μὲν δι' ἡλικίαν, τῶν δὲ διὰ νόσον· ὁ δὲ χειμὼν καὶ οἱ πάγοι ὑπερβολή ἐστι ψυχρότητος καὶ ξηρότητος. Μικρᾶς οὖν δεομένοις αὐτοῖς ῥοπῆς γίνεται οἷον πῦρ ἐπὶ πυρὶ ὁ χειμών, καὶ φθείρει διὰ ταῦτα.

18. Διὰ τί ἐν τοῖς ἑλώδεσι τὰ μὲν ἐν τῇ κεφαλῇ ἕλκη ταχὺ ὑγιάζεται, τὰ δ' ἐν ταῖς κνήμαις μόλις; Ἢ ὅτι βαρεῖα ἡ ὑγρότης διὰ τὸ γεῶδες εἶναι, τὰ δὲ βαρέα εἰς τὸ κάτω ἀποχωρεῖ; Τὰ μὲν οὖν ἄνω ἔκκριτα διὰ τὸ ἀποκεχωρηκέναι εἰς τὰ κάτω, τὰ δὲ κάτω πολλῆς γέμει περιττώσεως καὶ εὐσήπτου.

19. Διὰ τί, ἐὰν τοῦ χειμῶνος γενομένου βορείου καὶ τοῦ ἔαρος νοτίου καὶ ἐπόμβρου, τὸ θέρος λίαν αὐχμηρὸν γένηται, θανατῶδες γίνεται τὸ μετόπωρον πᾶσι, μάλιστα δὲ τοῖς παιδίοις, καὶ τοῖς ἄλλοις δὲ δυσεντερίαι καὶ τεταρταῖοι χρόνιοι γίνονται ἐν αὐτῷ; Ἢ ὅτι μετρίου μὲν ἐπιγενομένου ὕδατος θερινοῦ, καταψυχθὲν τὸ ζέον ὑγρὸν ἐν ἡμῖν λωφᾷ, ὅσον ἠθροίσθη ἐν τῷ ἦρι γενομένῳ τῷ ὑγρῷ; Εἰ δὲ μή, τὰ μὲν παιδία διὰ τὸ ὑγρὰ εἶναι φύσει καὶ θερμὰ ὑπερζεῖ τῷ πάθει, διὰ τὸ μὴ καταψυχθῆναι. Ὅσα δὲ μὴ τοῦ θέρους, τοῦ μετοπώρου ὅσον ἐκζεῖ. Αἱ δὲ περιττώσεις ἐὰν μὴ εὐθὺς ἀνέλωσι, περὶ πνεύμονα καὶ ἀρτηρίαν γινόμεναι (ἄνω γὰρ πρῶται συνίστανται διὰ τὸ ὑπὸ τοῦ ἀέρος ἡμᾶς θερμαίνεσθαι· διὰ γὰρ ταῦτα καὶ ὀφθαλμίαι πυρετῶν πρότερον γίνονται ἐν τῷ νοσερῷ θέρει), ἐὰν οὖν μὴ ἐν τοῖς ἄνω,

punt, quippe quum alii nuper, alii nondum adhæserint. Ad hæc, ut varius cibus morbidus est (turbidus enim est, nec unica ejus concoctio), sic in iis adcidit qui aquam mutant ut vario utantur alimento potulento, estque id alimenti genus quam siccum majoris momenti, quoniam plurimum est, exque cibis ipsis quantum humidum est, (tantummodo) fit alimentum.

16. Cur mutationes aquarum faciunt ut pediculi, in quibus adsunt, multi habeantur? An quod humoris cruditas, a perturbatione orlunda, quæ ex aquæ vario usu in crebro commutantibus redundat, humiditatem adfert, præsertim in loco opportuniori, cerebrum autem humidum est? quare et caput maxime perpetuo humet. Cujus rei indicium est, quod pili in hoc potissimum adsunt. Hujus autem loci humiditas ad progenerandos pediculos apta est. Patet hoc in puerili ætate: caput enim puerorum humidum est, et sæpe aut gravedine conflictantur, aut sanguinis profusioni ansam dat humiditas; quin etiam pediculos plures illa ætate habere solent.

17. Cur a Vergiliarum obcasu ad favonii usque flatus hi potissimum pereunt, qui morbo longo laborant, et senes quam juvenes potius? Utrum quia summæ intereundi causæ duæ exstant, excessus atque frigus (vita enim calida est res), tempestas autem hæc ambo illa sortitur? frigida enim est, et hyems tum acerrime viget: subsequens enim tempus ver est. An quod ægroti qui morbis laborant diuturnis, non secus ac senes adfecti sunt? longus etenim morbus quasi senecta jam advenire videtur: utrorumque enim corpora sicca et frigida sunt, altera ob ætatem, altera ob languorem; hyems vero et gelu frigoris atque siccitatis excessus sunt. Hinc parvo quum egeant momento, hyems iis quasi ignis igni cumulatus supervenit, atque ea propter interimit.

18. Cur in locis paludosis capitis quidem ulcera cito sanantur, crurum autem ægre? An quia humor, quippe terrenus, gravis est, grave autem omne deorsum tendit? Ergo superiora pura sunt, quoniam deorsum humor decessit; inferiora vero excrementis referta sunt abundantibus putredini obnoxiis.

19. Cur, si post hyemem aquiloniam et ver austrinum ac pluvium æstas sicca admodum fuit, perniciosus omnibus autumnus fit, et infantibus præsertim, ceterisque difficultates intestinorum febresque quartanæ longæ eo tempore eveniunt? An quod, si aqua mediocris per æstatem incessit, quantum humoris collectum est per ver humidum, in nostris corporibus refrigeratum fervere cessat? Sed si non ita contingit, infantes, quippe natura humidi et calidi, vehementer eo nimis fervescunt adfectu, quoniam refrigerati non fuerunt. Quicumque vero per æstatem non corripiuntur, autumno certe, quantum ad exhauriendum fervorem subficit. Redundantiæ vero, nisi confestim peremerint, ad pulmonem atque arteriam venientes (supra enim primum consistunt, quoniam aere calefimus: hinc enim et lippitudines febres præcedunt in æstate morbida): ergo si non in locis

καθάπερ εἴρηται, τὰ περιττώματα εὐθὺς ἀνέλῃ, καταβαίνουσιν εἰς τὰς κοιλίας ἄπεπτα ὄντα, τοῦτο δ' ἐστὶ δυσεντερία, διὰ τὸ μὴ ἐκκρίνεσθαι ὑπὸ πλήθους τὸ ὑγρόν. Καὶ ἐὰν παύσωνται, τεταρταῖοι γίνονται τοῖς σωζομένοις· ἡ γὰρ τοῦ ἀπέπτου ὑπόστασις μονιμωτάτη ἐστὶ καὶ σύντονος γίνεται τῷ σώματι, καθάπερ ἡ μέλαινα χολή.

20. Διὰ τί, ἐὰν τὸ θέρος ἔπομβρον γένηται καὶ νότιον, καὶ τὸ μετόπωρον, ὁ χειμὼν νοσερὸς γίνεται; Ἢ ὅτι σφόδρα ὑγρὰ τὰ σώματα ὁ χειμὼν λαμβάνει, καὶ ἡ μεταβολὴ ἔτι μεγάλη γίνεται ἐξ ἀλέας πολλῆς, καὶ οὐκ ἐκ προσαγωγῆς, διὰ τὸ καὶ τὸ μετόπωρον γίνεσθαι ἀλεεινόν, ὥστε τοῖς μὲν γίνεσθαι ἀνάγκη τὰ ὀξέα νοσήματα, μὴ ἀραιοῖς οὖσιν; τοῖς γὰρ τοιούτοις ἄνω μᾶλλον τὰ ὑγρὰ περιττώματα ἀθροίζεται, διὰ τὸ τούτους μὲν τόπους ἔχειν χώραν, τοὺς δὲ κάτω ἑτέρους εἶναι. Οἱ οὖν ὄντες πυκνόσαρκοι οὐ πολλὰ περιττώματα δέχονται. Ψυχομένης οὖν τῆς περιττώσεως τῆς ἐν τοῖς ἄνω μέρεσι τοῦ σώματος, ὥσπερ τοῖς οἰνωμένοις ὅταν ῥιγῶσι, τὰ εἰρημένα νοσήματα συμβαίνει γίνεσθαι. Τοῖς δὲ ἀραιοτέροις πυρετῶν γινομένων, τοὺς ἀπὸ πλείστης ἀπεψίας γινομένους πυρετοὺς καύσους συμβαίνει γίνεσθαι, διὰ τὸ τοῖς τοιούτοις ἐσκεδάσθαι μὲν μᾶλλον κατὰ πᾶν τὸ σῶμα τὰ ὑγρὰ ἢ τοῖς πυκνοσάρκοις, συνισταμένης δὲ τῆς σαρκὸς αὐτῶν ὑπὸ τοῦ χειμῶνος θερμαινόμενα τὰ ὑγρὰ πυρετοὺς ποιεῖν· ἡ γὰρ παντὸς τοῦ σώματος ὑπερβάλλουσα θερμότης ἐστὶ πυρετός· ἐπιτεινομένη δὲ διὰ τὸ πλῆθος τῆς ἐνυπαρχούσης αὐτοῖς ὑγρότητος καῦσος γίνεται.

21. Διὰ τί, ὅταν ἐκ γῆς ἀτμὸς ἀνίῃ πολὺς ὑπὸ τοῦ ἡλίου, τὸ ἔτος λοιμῶδες γίνεται; Ἢ ὅτι ὑγρὸν ἀνάγκη καὶ ἔπομβρον τὸ ἔτος σημαίνειν, καὶ τὴν γῆν ὑγρὰν ἀνάγκη εἶναι; Οἷον οὖν ἐν ἑλώδει τόπῳ ἡ οἴκησις γίνεται, νοσώδης δ' ἡ τοιαύτη ἐστίν. Καὶ τὰ σώματα δὴ τότε ἀνάγκη περίττωμα πολὺ ἔχειν, ὥστ' ἐν τῷ θέρει ἔχειν ὕλην νοσώδη.

22. Διὰ τί γίνεται τὰ ἔτη νοσώδη, ὅταν γένηται φορὰ τῶν μικρῶν βατράχων τῶν φρυνοειδῶν; Ἢ ὅτι ἕκαστον εὐθενεῖ ἐν τῇ οἰκείᾳ χώρᾳ τῆς φύσεως; Καὶ ταῦτα δὴ φύσει ἐστὶν ὑγρά, ὥστ' ἔπομβρον καὶ ὑγρὸν σημαίνει τὸν ἐνιαυτὸν γίνεσθαι, τὰ δὲ τοιαῦτα ἔτη νοσώδη ἐστίν· ὑγρὰ γὰρ τὰ σώματα ὄντα πολὺ ἔχει τὸ περίττωμα, ὅ ἐστι τῶν νόσων αἴτιον.

23. Διὰ τί οἱ νότοι οἱ ξηροὶ καὶ μὴ ὑδατώδεις πυρετώδεις εἰσίν; Ἢ ὅτι ὑγρότητα καὶ θέρμην ἀλλοτρίαν ποιοῦσιν; εἰσὶ γὰρ ὑγροὶ καὶ θερμοὶ φύσει, τοῦτο δ' ἐστὶ πυρετῶδες· ὁ γὰρ πυρετὸς ἐξ ἀμφοτέρας τῆς τούτων ἐστὶν ὑπερβολῆς. Ὅταν μὲν οὖν ἄνευ ὕδατος πνέωσι, ταύτην ἐν ἡμῖν ποιοῦσι τὴν διάθεσιν, ὅταν δ' ἅμα ὕδατι, τὸ ὕδωρ καταψύχει ἡμᾶς. Οἱ δ' ἐκ θαλάττης νότοι καὶ συμφέρουσι τοῖς φυτοῖς· ἐψυγμένοι γὰρ ἀπὸ

superioribus redundantiæ, ut dictum est, protinus interemerint, descendunt crudæ ad ventres, atque id ipsum difficultas est intestinorum, quia nempe præ nimia sui copia humor non excernitur. Quodsi vero ab hoc morbo liberantur, quartanæ iis fiunt qui evadere mortem potuerunt : crudi enim humoris sedimentum pertinacissimum est firmiterque corpori adhærescit modo atræ bilis.

20. Cur, si æstas et autumnus imbres austrosque habuerunt, hyems morbida consequitur? An quod hyems corpora præhumida adcipit, mutatio etiam ingens occurrit ex calore immodico, neque pedetentim fit, quando autumnus quoque tepidus existit, ita ut alios quidem morbi necessario extorqueant acuti, qui nempe raro corpore non sunt? his enim humidæ redundantiæ supra potius colliguntur, quum hæc loca spatia opportuna contineant, dum inferiora alio modo sese habent. Ideoque qui densam habent carnem, non multas redundantias admittunt. Quum igitur quæ locis superioribus corporis exstant, redundantiæ friguerint, quemadmodum ebriis evenit, ubi riguerint, fit ut prædicti morbi oriantur. At quibus laxius corpus est, iis, febribus ortis, evenit, ut quæ summa de cruditate febres proveniunt, transeant in ardentes, quoniam his magis per totum corpus humores dispersi sunt quam densa qui sunt carne, exque vi frigoris coacta eorum carne humores incalescunt, atque hac ratione febres adcendunt : superans enim calor totius corporis febris est; et si idem intendatur copia jam obvii humoris, ardens efficitur.

21. Cur annus pestilens tunc evadit, quum sol multum vaporis de terra excitat? An quia annum humidum pluviumque significet necesse est, terramque madere necessarium est? Fit igitur quasi locis palustribus, gravibusque proinde, inhabitetur. Corpora itaque multis tunc quoque excrementis redundare necessarium est, ita ut morbosam materiam habeant in æstate.

22. Cur tunc fiunt anni morbidi, quum copia est pusillarum ranarum, quæ rubetarum faciem repræsentant? An quia res unaquæque loco suæ naturæ idoneo vigere solita est? Itaque ejusmodi animantium genus, quum natura humidum sit, humidum pluviumque annum impendere indicat; anni ejusmodi vero morbidi sunt : quæ enim corpora humida fuerint, multis excrementis premuntur, idque causa est morborum.

23. Cur austri sicci et non aquosi febres creare solent? An quia humorem caloremque excitant alienum? sunt enim suapte natura humidi calidique, idque ipsum febriculosum est, quippe quum per excessum ambarum qualitatum illarum febris oriri soleat. Quum igitur imbre austri vacant, corpora nostra ita adficiunt; at quum flatibus imber adest, nos aqua refrigerat. Austri vero quos mare miserit, vel stirpibus prosunt : refrigerati namque beneficio maris

τῆς θαλάττης ἀφικνοῦνται πρὸς αὐτά· αἱ δ' ἐρυσίβαι γίνονται ὑφ' ὑγρότητος καὶ θέρμης ἀλλοτρίας.

24. Διὰ τί ἐν τοῖς νότοις βαρύτερον ἔχουσι καὶ ἀδυνατώτερον οἱ ἄνθρωποι; Ἢ ὅτι ἐξ ὀλίγου πολὺ ὑγρὸν γίνεται, διατηκόμενον διὰ τὴν ἀλέαν, καὶ ἐκ πνεύματος κούφου ὑγρὸν βαρύ; Ἔτι δ' ἡ δύναμις ἡμῶν ἐν τοῖς ἄρθροις ἐστί, ταῦτα δ' ἀνίεται ὑπὸ τῶν νοτίων. Δηλοῦσι δ' οἱ ψόφοι τῶν κεκολλημένων· τὸ γὰρ γλίσχρον ἐν τοῖς ἄρθροις πεπηγὸς μὲν κινεῖσθαι κωλύει ἡμᾶς, ὑγρὸν δὲ λίαν ὂν συντείνεσθαι.

25. Διὰ τί ἀρρωστοῦσι μὲν μᾶλλον τοῦ θέρους, ἀποθνήσκουσι δὲ μᾶλλον οἱ ἀρρωστοῦντες τοῦ χειμῶνος; Ἢ ὅτι τοῦ χειμῶνος διὰ τὴν πυκνότητα ἐντὸς τῶν σωμάτων συνεσταλμένου τοῦ θερμοῦ, καὶ πονοῦντες μᾶλλον εἰ μὴ πέττοιμεν, τῶν ἐν ἡμῖν συνισταμένων περιττωμάτων, ἰσχυρὰν ἀνάγκη τὴν ἀρχὴν εἶναι τῆς νόσου, τοιαύτην δ' οὖσαν φθαρτικὴν εἰκός ἐστιν αὐτὴν εἶναι; Ἐν δὲ τῷ θέρει, μανοῦ καὶ κατεψυγμένου παντὸς τοῦ σώματος καὶ ἐκλελυμένου πρὸς τοὺς πόνους ὄντος, ἀρχὰς νόσων ἀνάγκη πλείους μὲν γίνεσθαι διά τε κόπους καὶ ἀπεψίαν τῶν εἰσφερομένων (καὶ γὰρ οἱ νέοι καρποὶ τότε εἰσίν) ἀλλ' οὐχ οὕτως ἰσχυράς· διὸ εὐβοήθητοι.

26. Διὰ τί μετὰ τὰς τροπὰς ἀμφοτέρας μέχρι ἑκατὸν ἡμερῶν ἀποθνήσκουσι μάλιστα; Ἢ ὅτι ἄχρι τοσούτου ἑκατέρα ἡ ὑπερβολὴ διέχει, ἥ τε τοῦ θερμοῦ καὶ τοῦ ψυχροῦ, ἡ δ' ὑπερβολὴ τοῖς ἀσθενέσι ποιεῖ τὰς νόσους καὶ τὰς φθοράς;

27. Διὰ τί τὸ ἔαρ καὶ τὸ φθινόπωρον νοσώδη; Ἢ ὅτι αἱ μεταβολαὶ νοσώδεις; Τὸ δὲ μετόπωρον τοῦ ἔαρος νοσωδέστερον, ὅτι μᾶλλον τοῦ θερμοῦ ψυχομένου ἢ τοῦ ψυχροῦ θερμαινομένου νοσοῦμεν. Ἐν μὲν οὖν τῷ ἔαρι τὸ ψυχρὸν θερμαίνεται, ἐν δὲ τῷ μετοπώρῳ τὸ θερμὸν ψύχεται.

28. Διὰ τί ἐν τῷ χειμῶνι ἐλάττω μὲν τὰ ἀρρωστήματα ἢ ἐν τῷ θέρει, θανάσιμα δὲ μᾶλλον; Ἢ ὅτι ἐν μὲν τῷ θέρει ἀπὸ μικρᾶς προφάσεως τὰ ἀρρωστήματα, ἐν δὲ τῷ χειμῶνι οὔ; πεπτικώτεροι γὰρ καὶ ὑγιεινότεροι ἡμῶν αὐτῶν, ὥστ' εἰκότως τὰ ἀπὸ μείζονος προφάσεως γινόμενα μείζω καὶ ἀναιρετικώτερα. Ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῶν ἀθλητῶν, καὶ ὅλως ἐπὶ τῶν ὑγιεινῶς διακειμένων ὁρῶμεν· ἢ γὰρ οὐ λαμβάνονται νόσῳ, ἢ ταχὺ συναπίασιν· μεγάλης γὰρ αἰτίας δέονται.

29. Διὰ τί τοῦ μὲν φθινοπώρου καὶ τοῦ χειμῶνος οἱ καῦσοι μᾶλλον γίνονται ἐν ταῖς ψυχραῖς ὥραις, τοῦ δὲ θέρους τὰ ῥίγη ἐνοχλεῖ καυμάτων ὄντων; Ἢ ὅτι τῶν κατὰ τὸν ἄνθρωπον ἡ χολὴ μέν ἐστι θερμόν, τὸ δὲ φλέγμα ψυχρόν; Ἐν μὲν οὖν τῷ θέρει τὸ ψυχρὸν ἀναλύεται, καὶ διαχυθὲν ῥίγη καὶ τρόμους παρασκευάζει· ἐν δὲ τῷ χειμῶνι τὸ θερμὸν ὑπὸ τῆς ὥρας κρατεῖται κατεψυγμένον. Οἱ δὲ καῦσοι μᾶλλον ἐνοχλοῦσι τοῦ

ad eas deveniunt; rubigo autem ab humore caloreque alieno oritur.

24. Cur homines se graviores debilioresque sentiunt, quum austri adflant? An quia multum ex paulo tunc redundat humoris, quem deliquescere tepor cogit, exque levi flatu gravis humor citatur? Adde quod vires nostræ in articulis resident, qui austrinis laxari flatibus consueverunt. Constat id ex crepitu rerum conglutinatarum: tenax etenim humor, qui articulis inditus est, ut concretus nos moveri non patitur, sic nimis humefactus intendi non sinit.

25. Cur per æstatem quidem magis adversa valetudine laboratur, per hyemem vero magis qui laborant, emoriuntur? An quia calore per hyemem intro propter corporum densitatem coercito, consistentibusque intra nos excrementis, ubi validiora subeuntes exercitia nihilominus non concoquimus, validam esse morbi originem necesse est, eumque ita se habentem perniciosum esse consentaneum est? Contra in æstate, quoniam corpus universum rarum, refrigeratum atque ad labores subeundos languidum est, idcirco morborum quidem plures origines suboriri necesse est ob lassitudinem cruditatemque ciborum (novi etenim fructus tunc adsunt), non tamen ita validas: quamobrem facultas hisce subcurrendi datur facile.

26. Cur post utrumlibet solstitium per centum dierum spatium moriuntur inprimis homines? An quia ad hoc usque tempus persistit uterque ultra modum excessus, cum caloris, tum frigoris, iique morbos perniciemque adferunt ægrotis?

27. Cur ver atque autumnus morbidi? An quia mutationes morbidæ sunt? Sed autumnus vere morbidior, quia calido refrigescente quam frigido incalescente potius ægrotamus. Vere igitur frigidum recalescit, in autumno autem calidum refrigescit.

28. Cur per hyemem minus quidem quam per æstatem, sed letalius ægrotatur? An quoniam in æstate morbi parva de causa exsistunt, in hyeme vero non? Sumus enim tunc et ad concoquendum et ad bene valendum solito aptiores, ita ut rationi congruat majora perniciosioraque mala esse, quæ majori de causa provenerint. Quod idem in athletis, et omnino in iis qui secunda utuntur valetudine, videmus: aut enim nullo morbo premuntur, aut celeriter una e vita decedunt, quippe qui magna indigent causa.

29. Cur per autumnum quidem ac hyemem febres ardentes potius oriuntur, quæ tempestates frigus præ se ferunt, per æstatem vero, quum æstus adsunt, rigores infestant? An quia inter corporis humani elementa bilis quidem calida, pituita vero frigida est? Itaque per æstatem quod frigidum est dissolvitur, diffusumque rigores tremoresque excitat; per hyemem autem calor tempestate retinetur ac refrigeratus est. Febres autem ardentes per hyemem autumnumque po-

χειμῶνος καὶ τοῦ φθινοπώρου, ὅτι διὰ τὸ ψῦχος τὸ θερμὸν εἴσω συστέλλεται, ὁ δὲ καῦσος ἔσωθέν ἐστι καὶ οὐκ ἐπιπολῆς· εἰκότως οὖν οἱ καῦσοι ταύτην τὴν ὥραν γίνονται. Καταμάθοι δ' ἄν τις τοῦτο ἀκριβέστερον ἐπὶ τῶν ψυχρολουτρούντων τοῦ χειμῶνος καὶ τῶν τοῦ χειμῶνος λουομένων τῷ θερμῷ, ὅτι οἱ μὲν τῷ ψυχρῷ λουόμενοι, ἀπορριγώσαντες ὀλίγον χρόνον ἕως λούονται, τὴν λοιπὴν ἡμέραν οὐδὲν πάσχουσιν ὑπὸ τοῦ ψυχροῦ, οἱ δὲ τῷ θερμῷ ὕδατι χρησάμενοι δυσριγοτέρως διάγουσιν· τῶν μὲν γὰρ τῷ ψυχρῷ λουομένων πυκνοῦται ἡ σὰρξ καὶ συστέλλεται εἴσω τὸ θερμόν, τῶν δὲ θερμολουτρούντων ἡ σὰρξ ἀραιοῦται καὶ τὸ θερμὸν ἕως τοῦ ἔξω τόπου περισπᾶται.

tias conflictant, quoniam calor pulsus a frigore introrsus se contrahit : febris enim ardens non residet in summis, sed intrinsecus : rationi igitur congruit febres ardentes hiberno tempore oriri. Melius id in iis intelligi potest, qui aqua frigida quique calida se hiberno tempore laverint : qui enim frigida lavantur, postquam aliquantisper per ipsum balneum riguerint, reliquo toto die tuti a frigore sunt; at qui calida usi fuerint, alsiosi potius sunt : caro enim eorum qui frigida lavarint, spissescit, calorque introrsus se colligit; contra iis qui calido usi sunt balneo, caro rarescit, calorque ad exterum usque locum evocatur.

30. Τίς καταπλάσματος ἀρετή; Ἢ διὰ τὸ χυτικὸν εἶναι; Κἂν ἱδρῶτα ποιοῖ καὶ ἀποπνοήν.

30. Quænam virtus est cataplasmatis? An quia fundendi vim habet? Possit et sudorem movere et perspirationem.

31. Τῷ δῆλον ὅταν ἔμπυον; Ἢ ἐὰν καταχεομένου τοῦ θερμοῦ ἀλλαγῇ, ἔμπυον· εἰ δὲ μή, οὔ;

31. Quonam argumento constat pus subesse? An si aqua superfusa calida, immutatio fiat, pus subest; sin vero minus, non?

32. Ποῖα δεῖ καίειν, ἢ ποῖα δεῖ τέμνειν; Ἢ ὅσα μὲν ἔχει στόμα μέγα καὶ οὐ ταχὺ συμφύεται, ταῦτα καίειν δεῖ, ὅπως ἡ ἐσχάρα ἐκεῖ πέσῃ; οὕτω γὰρ οὐκ ἔσται ὕπουλα.

32. Quænam urenda, quæve incidenda? An quæ ore sunt amplo, nec brevi coagmentantur, hæc urenda sunt, ut crusta illic incumbat? sic enim nullum pus cicatrice inducta occultabitur.

33. Τίς ἐναίμου ἀρετή; Ἢ τὸ ξηραντικὸν εἶναι καὶ τῆς ἐπιούσης περιττώσεως σταλτικὸν ἄνευ ἐσχαρώσεως καὶ σήψεως τῆς σαρκός; οὕτω γὰρ ἂν ἀφλέγμαντον εἴη καὶ συμφυτικόν· μὴ ἐπιρρέοντος μὲν γὰρ ἀφλέγμαντον ἔσται, ξηρὸν δ' ὂν συμφύσεται· ἕως δ' ἂν ὑγρορροῇ, οὐ συμφύσεται. Διὰ τοῦτο οὖν δριμέα τὰ πλεῖστα, ὥστ' ἀποστύφειν.

33. Quænam virtus medicamentorum quæ cruentis protinus vulneribus injiciuntur? An quod exsiccant, et materiæ superfluæ confluvium compescunt sine crusta, aut carnis putredine? ita enim inflammationem præpediet et coalescere faciet : ubi enim nulla est adfluentia, inflammatione carebit vulnus; quod vero siccum est, coalescet; quamdiu autem humorem projiciunt, non coalescent. Eam ob rem quæ cruentis injiciuntur vulneribus, acria magna ex parte sunt, quo adstringant.

34. Ποῖα τέμνειν δεῖ, καὶ ποῖα καίειν, καὶ ποῖα οὔ, ἀλλὰ φαρμάκοις; Ἢ τὰ μὲν ἐπὶ ταῖς μασχάλαις καὶ βουβῶσι φαρμάκῳ (μετὰ γὰρ διαίρεσιν τὰ μὲν ἐπίπονα, τὰ δὲ ἐπικίνδυνα)· καίειν δὲ τὰ πλατέα τῶν φυμάτων καὶ πολὺ πρόβλημα ἔχοντα, καὶ ἐν φλεβώδεσι καὶ μὴ εὐσάρκοις· τέμνειν δὲ τὰ εἰς ὀξὺ συνηγμένα καὶ τὰ μὴ ἐν στερεοῖς;

34. Quænam incidenda, quæve urenda, quæ contra non ita, sed medicamentis sananda? An quæ in ala, aut in inguine exstant, medicamentis sananda sunt (incisa enim partim dolorem adferunt, partim periculum); urenda vero sunt tubercula lata quibusque multa sunt objectamenta, quæque venosis, non carnosis resident locis; incidenda tandem quæ in acutum se colligunt, quæque non in parte solida exstant?

35. Διὰ τί, ἐὰν χαλκῷ τις τμηθῇ, ῥᾷον ὑγιάζεται ἢ σιδήρῳ; Πότερον ὅτι λειότερον, ὥσθ' ἧττον σπαράττει καὶ ποιεῖ πληγήν; Ἢ εἴπερ ἀκμὴν μᾶλλον ὁ σίδηρος λαμβάνει, ῥάων καὶ ἀπαθεστέρα ἡ διαίρεσις; Ἀλλὰ μὴν φαρμακῶδες ὁ χαλκός, ἡ δ' ἀρχὴ ἰσχυρόν. Τὸ οὖν εὐθὺς ἅμα τῇ τομῇ θᾶττον τὸ φάρμακον ποιεῖ τὴν σύμφυσιν.

35. Cur si quis ære incisus sit, facilius quam si ferro, sanescit? Utrum quia æs lævius est, ita ut minus laceret ictumque faciat? An quod ferrum aciem exactiorem recipit, sectio facilior tolerabiliorque? At vero æs medicamenti vim obtinet, et principium validum quid. Quod igitur æs, simulac fuerit incisum, medicamento adest, facit ut vulnus celerius coeat.

36. Διὰ τί δὲ καὶ τὰ διὰ χαλκοῦ καύματα θᾶττον ὑγιάζεται; Ἢ ὅτι μανότερον καὶ ἧττον σωματικόν; ἐν δὲ τοῖς στερεωτέροις πλείων ἡ θερμότης.

36. Cur et ambusta ex ære sanantur celeriter? An quoniam rarius est minusque corpulentum? plus enim caloris corpori solidiori.

37. Πότερον ἡ πτισάνη κουφοτέρα ἡ κριθίνη καὶ βελτίων πρὸς τὰ ἀρρωστήματα ἢ ἡ πυρίνη; δοκεῖ γάρ τισιν αὕτη σημεῖον ποιουμένοις τοὺς μεταχειριζομέ-

37. Utrum ptisana hordeacea levior et ad morbos accommodatior, an triticea? hanc enim nonnulli anteponunt, argumentumque ex pistoribus capiunt, quod multo

νους, ὅτι πολὺ εὐχρούστεροι οἱ περὶ τὴν τῶν ἀλεύρων ἐργασίαν ἢ τὴν τῶν ἀλφίτων· εἶθ' ὅτι ὑγροτέρα ἡ κριθή, τὸ δ' ὑγρότερον πλέονος πέψεως. Ἢ οὐθὲν κωλύει ἔνια ἔχειν δυσπεπτότερα καὶ ἔνια πρὸς κουφότητα χρησιμώτερα; οὐ γὰρ μόνον ὑγροτέρα ἐστὶν ἡ κριθὴ τοῦ πυροῦ, ἀλλὰ καὶ ψυχροτέρα, δεῖ δὲ τὸ ῥόφημα καὶ τὸ προσφερόμενον τοιοῦτον εἶναι τῷ πυρέττοντι, ὃ τροφήν τε βραχεῖαν ποιήσει καὶ καταψύξει, ἣ δὲ πτισάνη τοῦτο ἔχει ἡ κριθίνη· διὰ γὰρ τὸ ὑγρότερον ἢ σωματωδέστερον εἶναι ὀλίγον δίδωσιν, καὶ τοῦτο ψυκτικόν.

38. Διὰ τί τὴν αἱμωδίαν παύει ἡ ἀνδράχνη καὶ ἅλες; Ἢ ὅτι ἡ μὲν ὑγρότητά τινα ἔχει (φανερὰ δ' αὕτη μασωμένοις τε καὶ ἐὰν συντεθῇ χρόνον τινά· ἕλκεται γὰρ ἡ ὑγρότης. Τὸ δὴ γλίσχρον εἰσδυόμενον ἐξάγει τὸ ὀξύ· καὶ γὰρ ὅτι συγγενής, ἡ ὀξύτης σημαίνει· ἔχει γάρ τινα ὀξύτητα ὁ χυμός)· ὁ δ' ἅλς συντήκων ἐξάγει καὶ τὴν ὀξύτητα; Διὰ τί οὖν ἡ κονία καὶ τὸ λίτρον οὔ; Ἢ ὅτι στύφει, καὶ οὐ τήκει;

39. Διὰ τί τοὺς μὲν θερινοὺς κόπους λουτρῷ ἰᾶσθαι δεῖ, τοὺς δὲ χειμερινοὺς ἀλείμματι; Ἢ τοὺς μὲν ἀλείμματι διὰ τὰς φρίκας καὶ τὰς γινομένας μεταβολάς; θέρμῃ γὰρ λύειν δεῖ, ἣ ποιήσει ἀλεάζειν· τὸ δ' ἔλαιον θερμόν· ἐν δὲ τῷ θέρει καθυγραίνειν· ἡ γὰρ ὥρα ξηρά, καὶ οὐ φοβεραὶ αἱ φρῖκαι διὰ τὴν εἰς ἀλέαν ἔκκλισιν. Ὀλιγοσιτία δὲ καὶ κωθωνισμὸς θέρους, τὸ μὲν ὅλως, τὸ δὲ μᾶλλον, ὁ μὲν πότος θέρους ὅλως διὰ τὴν ξηρότητα, ἡ δ' ὀλιγοσιτία κοινὸν μέν, μᾶλλον δὲ θέρους· ἐκθερμαίνεται γὰρ διὰ τὴν ὥραν ὑπὸ τῶν σιτίων.

40. Διὰ τί τῶν φαρμάκων τὰ μὲν τὴν κοιλίαν λύει, τὴν δὲ κύστιν οὔ, τὰ δὲ τὴν μὲν κύστιν λύει, τὴν κοιλίαν δ' οὔ; Ἢ ὅσα μέν ἐστιν ὑγρὰ τὴν φύσιν καὶ ὕδατος μεστά, ταῦτα ἂν ᾖ φαρμακώδη, λύει τὴν κύστιν; ἐκεῖ γὰρ ὑφίσταται τὰ ἄσηπτα τῶν ὑγρῶν· ὑποδοχὴ γάρ ἐστιν ἡ κύστις τοῦ μὴ πεττομένου ὑγροῦ ἐν τῇ κοιλίᾳ ὃ οὐ μένει, ἀλλὰ πρὶν ποιῆσαί τι ἢ παθεῖν ὑποχωρεῖ. Ὅσα δ' ἐκ γῆς τὴν φύσιν ἐστίν, ἂν ᾖ φαρμακώδη, ταῦτα δὲ τὴν κοιλίαν λύει· εἰς ταύτην γὰρ ἡ φορὰ τῶν γεωδῶν, ὥστ' ἂν ᾖ κινητικόν, ταράττει.

41. Διὰ τί δὲ τὰ μὲν τὴν ἄνω κοιλίαν, τὰ δὲ τὴν κάτω κινεῖ, οἷον ἐλλέβορος μὲν τὴν ἄνω, σκαμμωνία δὲ τὴν κάτω, τὰ δ' ἄμφω, οἷον ἐλατήριον καὶ τῆς θαψίας ὁ ὀπός; Ἢ ὅτι τὰ μέν ἐστι θερμά, τὰ δὲ ψυχρὰ τῶν φαρμάκων τῶν τὴν κοιλίαν κινούντων, ὥστε τὰ μὲν διὰ τὴν θερμότητα εὐθὺς ἐν τῇ ἄνω κοιλίᾳ ὄντα φέρεται ἐξ αὐτῆς πρὸς τὸν ἄνω τόπον, κἀκεῖθεν συντήξαντα μάλιστα μὲν τὰ ἀλλοτριώτατα καὶ ἥκιστα συμπεφυκότα, ἂν δ' ἰσχυρὸν ᾖ τὸ φάρμακον, ἢ πλέον δοθῇ τῆς φύσεως, κατάγει εἰς τὴν ἄνω κοιλίαν ταῦτά τε καὶ ἐάν τι περίττωμα ᾖ, καὶ διὰ τὴν θερμότητα ταράττον τὸ πνεῦμα πολὺ γινόμενον ὑπ' αὐτοῦ, προσιστὰν τοὺς ἐμέτους ποιεῖ· τὰ δὲ ψυχρὰ τὴν φύσιν αὐτῶν διὰ βάρος καὶ πρὶν παθεῖν τι, ἢ ποιῆσαι, κάτω φέρεται, κἀκεῖθεν

coloratiores sunt qui triticeam farinam quam qui polentam tractant; addunt etiam quod hordeum humidius est; quod autem humidius est, concoctionem desiderat pleniorem. An nihil prohibet, quominus alia concoctu sint difficiliora, alia vero levitatis ergo utiliora? hordeum enim non humidius tantum tritico est, sed frigidius etiam: qualis certe sorbitio cibusque competit febrienti, ut parum alat itemque refrigeret; id ipsum autem ptisana hordeacea obtinet: quia enim magis humida est quam corpulenta, hinc alimenti parum, idque refrigerans præstat.

38. Cur dentium stuporem portulaca tollit et sal? An quia portulaca quidem quemdam habet humorem (is cum manducanti patet, tum si aliquantisper reponatur: trahitur enim iste humor. Lentor igitur subiens educit acorem, quippe qui adfinitate quadam præditus est, argumento saporis, quem acidulum reddit); sal vero colliquefaciendo acorem itidem educit? Cur itaque lixivium nitrumque hoc idem non faciunt? An quod adstringunt, non vero liquefaciunt?

39. Cur æstivis quidem lassitudinibus balneo, hibernis autem unctione mederi convenit? An hibernis quidem unctio datur propter horrores mutationesque quæ fieri solent? Per calorem enim solvendæ sunt, utpote tepescere facientem; oleum vero calidum est; at in æstate humectandum est, quoniam tempestas hæc sicca, nec metus interpellit horroris, eo quod ad teporem vergit. Cibus autem parcus et comessatio per æstatem conveniunt, hæc quidem omnino, illa vero præsertim, et compotatio quidem per æstatem omnino propter siccitatem; parsimonia vero cibi communis tempestatum omnium est, sed magis æstati convenit, quum tempestatis ergo calor a cibis cietur.

40. Cur ex medicamentis alia quidem alvum solvunt, vesicam autem non; alia vero vesicam solvunt, sed alvum non? An quod quæcumque natura quidem humida sunt atque aqua referta, si medendi obtinent facultatem, vesicam solvunt? subsident enim in ea humores putredine immunes, quippe vesica ejus humoris conceptaculum est, qui in ventre non concoquitur, isteque non manet, sed priusquam agat quidquam, aut patiatur, excernitur. At quæcumque terrenam sortiuntur naturam, si vires habeant medicas, alvum hæc solvunt: hanc enim terrena petunt: turbant ergo, si movendi obtinent facultatem.

41. Cur vero alia quidem ventrem movent superiorem, alia autem inferiorem, ut veratrum quidem superiorem, scammonea autem inferiorem; alia tandem citant utrumque, ut elaterium et thapsiæ succus? An quod ex medicamentis quæ ventrem movent, alia frigida, alia calida sunt, ita ut hæc quidem propter calorem, protinus ut in superiori ventre fuerint, exinde loca petant superiora, indeque liquefaciendo, maxime quæcumque alienissima sint ac minime coaluerint, medicamento scilicet vehementiori epoto, aut copiosiori quam natura patiatur, tam ea ipsa quam redundantias, si quæ adsint, ad ventrem deducant superiorem, quodque flatus, cujus magnam copiam calore suo excitant, perturbans obsistensque vomitum movet; medicamenta vero quæ natura frigida sunt, deorsum versus pondere suo labuntur, etiam priusquam quadamtenus vel afficiantur, vel agant, ac inde proficiscentia idem actitant quod sursum purgan-

ὁρμῶντα τὸ αὐτὸ δρᾷ τοῖς ἄνω; κατὰ γὰρ τοὺς πόρους ἀνιόντα ἐκεῖθεν, καὶ κινήσαντα ὧν ἂν κρατήσῃ, περιττωμάτων καὶ συντηγμάτων, λαβόντα τὴν αὐτὴν ἄγει ὁδόν· Ὅσα δ' ἀμφοῖν μετέχει καί ἐστι μικτὰ τῶν φαρμακωδῶν ἐκ θερμοῦ καὶ ψυχροῦ, ταῦτα δὲ δι' ἑκατέραν τὴν δύναμιν ἀπεργάζεται ἄμφω, ὥσπερ καὶ νῦν σκευάζουσιν οἱ ἰατροὶ μιγνύντες ἀλλήλοις.

42. Διὰ τί τὰ φάρμακα καθαίρει, ἄλλα δὲ πικρότερα ὄντα καὶ στρυφνότερα καὶ τοῖς ἄλλοις τοῖς τοιούτοις ὑπερβάλλοντα οὐ καθαίρει; Ἢ διότι οὐ διὰ τὰς τοιαύτας δυνάμεις καθαίρει, ἀλλ' ὅτι ἄπεπτά ἐστιν; ὅσα γὰρ δι' ὑπερβολὴν θερμότητος, ἢ ψυχρότητος, μικρὰ ὄντα τοὺς ὄγκους, ἄπεπτά ἐστι καὶ οἷα κρατεῖν, ἀλλὰ μὴ κρατεῖσθαι ὑπὸ τῆς τῶν ζῴων θερμότητος, εὐδιάχυτα ὄντα ὑπὸ τῶν δύο κοιλιῶν, ταῦτα φάρμακά ἐστιν· ὅταν γὰρ εἰς τὴν κοιλίαν εἰσέλθωσι καὶ διαχυθῶσι, φέρονται καθ' οὕσπερ ἡ τροφὴ πόρους εἰς τὰς φλέβας, οὐ πεφθέντα δέ, ἀλλὰ κρατήσαντα, ἐκπίπτει φέροντα τὰ ἐμπόδια αὐτοῖς, καὶ καλεῖται τοῦτο κάθαρσις. Χαλκὸς δὲ καὶ ἄργυρος καὶ τὰ τοιαῦτα ἄπεπτα μέν ἐστιν ὑπὸ τῆς τῶν ζῴων θερμότητος, ἀλλ' οὐχ εὐδιάχυτα ταῖς κοιλίαις· ἔλαιον δὲ καὶ μέλι καὶ γάλα καὶ τὰ τοιαῦτα τῆς τροφῆς καθαίρει, ἀλλ' οὐ τῷ ποιῷ, ἀλλὰ τῷ ποσῷ· ὅταν γὰρ διὰ πλῆθος ἄπεπτα γένηται, τότε καθαίρει, ἄνπερ καθαίρῃ· διὰ δύο γὰρ αἰτίας ἄπεπτά ἐστιν, διὰ τὸ ποιὰ αὐτὰ εἶναι, ἢ διὰ τὸ ποσά· διόπερ οὐ φάρμακόν ἐστιν οὐδὲν τῶν εἰρημένων· οὐδὲ γὰρ διὰ δύναμιν καθαίρει. Στρυφνότης δὲ καὶ πικρότης συμβέβηκε τοῖς φαρμάκοις καὶ δυσωδία, τῷ ἐναντίον εἶναι τῇ τροφῇ τὸ φάρμακον· τὸ μὲν γὰρ πεφθὲν ὑπὸ τῆς φύσεως, τοῦτο προσφύεται τοῖς σώμασι καὶ καλεῖται τροφή· τὸ δὲ μὴ πεφυκὸς κρατεῖσθαι, εἰσιὸν δ' εἰς τὰς φλέβας καὶ δι' ὑπερβολὴν θερμότητος ἢ ψυχρότητος ταράττον, αὕτη δὲ φαρμάκου φύσις ἐστίν.

43. Διὰ τί τὸ μὲν πέπερι πολὺ μὲν ὂν τὴν κύστιν λύει, ὀλίγον δὲ τὴν κοιλίαν, ἡ δὲ σκαμμωνία πολλὴ οὖσα τὴν κοιλίαν λύει, ὀλίγη δὲ καὶ παλαιὰ τὴν κύστιν; Ἢ διότι ἑκάτερον ἑκατέρας ἐστὶ κινητικώτερα; τὸ μὲν γὰρ πέπερι οὐρητικόν ἐστιν, ἡ δὲ σκαμμωνία κατωτερικόν. Τὸ μὲν οὖν πέπερι, πολὺ μὲν ὄν, φέρεται εἰς τὴν κύστιν, καὶ οὐ διαχεῖται ἐν τῇ κοιλίᾳ, ὀλίγον δ' ὂν κρατηθὲν διαλύει καὶ γίνεται φάρμακον αὐτῆς· ἡ δὲ σκαμμωνία, πολλὴ μὲν οὖσα, εἰς τοῦτο κρατεῖται ὥστε διαχυθῆναι, διαχυθεῖσα δὲ γίνεται φάρμακον διὰ τὴν εἰρημένην ἐν τοῖς ἀνωτέρω αἰτίαν· ὀλίγη δ' οὖσα μετὰ τοῦ ποτοῦ ἀναπίνεται εἰς τοὺς πόρους, καὶ ταχὺ πρὶν ταράξαι καταφέρεται εἰς τὴν κύστιν, καὶ ἐκεῖ τῇ αὐτῆς δυνάμει ἀπάγει τὰ περιττώματα καὶ τὰ συντήγματα ὅσα ἐπιπολῆς ἐστιν· ἡ δὲ πολλή, ὥσπερ εἴρηται, διὰ τὴν ἰσχὺν πολὺν χρόνον ἐμμείνασα, κατάγει πολλὴν κάθαρσιν καὶ γεώδη.

tia? ubi enim per meatus illinc adscenderint agitarintque excrementa colliquamentaque quibus superiora evaserint, hæc ipsa adprehendunt ac eodem tramite deducunt. At quæcumque medicinæ utrorumque participes mistæque ex calido frigidoque sunt, hæc ob eam utramque facultatem rem utramque conficiunt: quomodo et nunc medici, commistis inter se utrisque, medicinas componunt.

42. Cur medicamenta purgant, dum alia, etiamsi amariora acerbioraque ceterisque ejusmodi qualitatibus præcellentia, non purgant? An quia non ob ejusmodi vires purgant, sed quia concoqui nequeunt? etenim quæ ob excessum caliditatis, aut frigiditatis, quamvis exigua mole prædita, concoctu difficilia sunt, quæque vincere possunt, non vinci ab animantium calore, hæc eadem, si facile a ventre utrolibet diffundantur, medicamenta sunt: ubi enim ventrem intraverint ac diffusa fuerint, ad venas per eosdem feruntur meatus per quos cibus; ubi vero concoqui non potuerint, sed victrice perstiterint potentia, excidunt, quæ sibi obsistunt, secum detrahentia: quæ res purgatio vocitatur. Æs vero, argentum ceteraque generis ejusdem concoqui quidem a calore animalium non possunt, sed haud facile a ventribus diffunduntur; oleum autem, mel, lac ceteraque ejusmodi ad cibi genus pertinentia purgant quidem, non tamen qualitatis, sed quantitatis ratione: ubi enim ob nimiam copiam concoqui non potuerunt, tum purgant, si quando id facere possunt: duabus namque de causis aliquid concoqui nequit, aut propter qualitatem qua præditum est, aut propter quantitatem: quamobrem nihil ex prædictis medicamentum est, quippe quum nec facultate sua purgant. Acerbitas autem, amaritudo malusque odor medicamenta comitantur, eo quod genus medicamentorum cibo contrarium est: quod enim concoctum a natura est, id corporibus adhærescit alimentumque adpellatur; quod autem suapte natura domari non potest, sed venas ingressum per excessum caliditatis frigiditatisve turbat, hoc naturam obtinet medicamenti.

43. Cur piper, si large quidem sumatur, vesicam solvit, si vero parce, alvum: e contrario scammonea si large sumatur, alvum solvit, si vero parce, itemque si vetus est, vesicam? An quia utrumlibet medicamentum magis alterutram movet? piper enim urinam ciet, scammonea vero deorsum purgat. Itaque si piper sumptum copiosius est, ad vesicam defertur; nec in ventre diffunditur; sed si exiguum ceperis, vincitur ac dissolvit, atque ita medicamentum ejus exsistit; scammonea vero, ubi data quidem copiosius est, eatenus vincitur, ut diffundi queat; diffusa vero medicamentum efficitur, ob causam quam superius proposuimus; at si exigua sit copia, una cum potu in meatus absorbetur, ac celerius, antequam turbet, in vesicam defertur, qua pro sua facultate quæcumque recrementa, vel colliquamenta in superficie adsunt, abducit; sed multa, ut dictum est, quum propter vigorem diu persistit, copiosa, eaque terrena deducit purgamenta.

44. Διὰ τί τὰς αὐτὰς φλεγμασίας οἱ μὲν ψύχοντες ὑγιάζουσιν, οἱ δὲ θερμαίνοντες πέττουσιν; Ἀλλ' οἱ μὲν ἀλλοτρίᾳ θερμότητι, οἱ δὲ καταψύχοντες τὴν οἰκείαν συνάγουσιν.

45. Διὰ τί μεταβάλλειν δεῖ τὰ καταπλάσματα; Ἢ ὅτι ὡς μᾶλλον αἰσθάνηται; τὰ γὰρ συνήθη ὥσπερ ἐπὶ τῶν ἐδεσμάτων οὐκέτι φάρμακα, ἀλλὰ τροφὴ γίνεται, οὕτω καὶ ἐπὶ τῶν τοιούτων.

46. Διὰ τί ὑγιεινὸν τὸ τῆς τροφῆς μὲν ὑποστέλλεσθαι, πονεῖν δὲ πλείω; Ἢ ὅτι τοῦ νοσεῖν αἴτιον περιττώματος πλῆθος, τοῦτο δὲ γίνεται, ἡνίκα τροφῆς ὑπερβολή, ἢ πόνων ἔνδεια;

47. Διὰ τί τὰ φάρμακα καὶ τὰ πικρά, ὡς ἐπὶ τὸ πολύ, καὶ τὰ δυσώδη καθαίρει; Ἢ ὅτι ἅπαντα τὰ δυσώδη καὶ πικρὰ ἄπεπτά ἐστιν; διὸ καὶ τὰ φάρμακα πικρὰ καὶ δυσώδη· τῷ γὰρ ἄπεπτα εἶναι καὶ κινητικὰ μετὰ πικρότητος, φάρμακά ἐστι, καὶ ἐὰν δοθῇ πλείω, διαφθείρει· ὅσα δέ, κἂν μικρὰ δοθῇ, διαφθαρτικά, ταῦτα οὐ φάρμακα λέγεται εἶναι, ἀλλὰ θανατηφόρα. Οὐδ' ὅσα μὴ τῷ ποιῷ καθαίρει, οὐκ ἔστι φάρμακα· καὶ γὰρ τῆς τροφῆς πολλὰ μὲν ταὐτὸ ποιεῖ, ἐὰν ποσὰ δοθῇ, οἷον γάλα, ἔλαιον, γλεῦκος· ἅπαντα δὲ ταῦτα διὰ τὸ μὴ εἶναι εὔπεπτα καθαίρει, καὶ τούτοις οἷς μὴ εὔπεπτα, καθαίρει, καὶ τούτους· ἔστι γὰρ ἄλλα ἄλλοις εὔπεπτα καὶ δύσπεπτα· διὸ οὐ πᾶσι ταὐτὰ φαρμακώδη, ἀλλ' ἐνίοις ἴδια· ὅλως γὰρ τὸ φάρμακον δεῖ οὐ μόνον μὴ πέττεσθαι, ἀλλὰ καὶ κινητικὸν εἶναι, ὥσπερ καὶ τὸ γυμνάσιον ἔξωθεν ἧκον, ἢ ἔσωθεν, τῇ κινήσει ἐκκρίνει τὰ ἀλλότρια.

48. Διὰ τί τὰ μὲν εὐώδη οὐρητικά, καὶ σπέρματα καὶ φυτά; Ἢ ὅτι θερμὰ καὶ εὔπεπτα, τὰ δὲ τοιαῦτα οὐρητικά; ταχὺ γὰρ λεπτύνει ἡ ἐνοῦσα θερμότης, καὶ ἡ ὀσμὴ οὐ σωματώδης, ἐπεὶ καὶ τὰ ὀσμώδη, οἷον σκόροδα, διὰ τὴν θερμότητα οὐρητικά, μᾶλλον μέντοι συντηκτικά· θερμὰ δὲ τὰ εὐώδη σπέρματα.

49. Διὰ τί δεῖ πρὸς μὲν τὰ μὴ καθαρὰ καὶ φαῦλα τῶν ἑλκῶν ξηροῖς καὶ δριμέσι καὶ στρυφνοῖς χρῆσθαι φαρμάκοις, πρὸς δὲ τὰ καθαρὰ καὶ ὑγιαζόμενα ὑγροῖς καὶ μόνοις; Ἢ διότι ἀπὸ μὲν τῶν μὴ καθαρῶν δεῖ ἀφαιρεῖν τι, τοῦτο δ' ἐστὶν ὑγρότης ἀλλοτρία, ἣν ἀφαιρεῖν δεῖ, τὰ δηκτικὰ δὲ καὶ δριμέα καὶ στρυφνὰ τοιαῦτα, καὶ τὸ ξηρὸν μᾶλλον τοῦ ὑγροῦ· τὰ δὲ καθαρὰ συνεπουλώσεως δεῖται μόνον;

50. Διὰ τί συμφέρει πρὸς τὰ ἀπὸ φλέγματος νοσήματα λαγνεία; Ἢ ὅτι τὸ σπέρμα περιττώσεως ἀπόκρισις καὶ φύσει ὅμοιον φλέγματι, ὥστ' ἀφαιροῦσα πολὺ φλεγματῶδες ὠφελεῖ ἡ συνουσία; Πότερον δὲ τροφὴν προσφέρειν ἀρχομένῳ βέλτιον, ἢ ὕστερον; Ἢ ἀρχομένῳ, ὅπως μὴ προεξησθενηκότι ἡ φλεγμασία ἐπιπίπτῃ; Ἢ οὖν ἀπισχναντέον εὐθύς, ἢ οὕτω προσοιστέον. Ἀναλαμ-

44. Cur inflammationes easdem alii quidem frigefaciendo sanant, alii vero calefaciendo concoquunt? Verum hi quidem alieno utuntur calore, illi vero refrigerando proprium calorem colligunt.

45. Cur mutari cataplasmata debent? An ut plenius ea sentiat ægrotus? quemadmodum enim solita in cibis non amplius medicamenta sunt, sed alimenta fiunt, sic etiam in hisce obtinet.

46. Cur cibum quidem imminuere, laborem vero augere salubre est? An quia causa ægrotandi excrementorum copia est; hæc autem supervenit, quum aut cibus superest, aut labor deest?

47. Cur medicamenta et res amaræ, aut fœdi odoris, magna ex parte purgant? An quoniam amara quæcumque maleque olentia difficulter concoquuntur? qua de causa medicamenta quoque amara sunt atque fœtida: quia enim concoctionem nullam admittunt movereque cum amaritudine possunt, hinc medicamenti sortiuntur naturam, et si justo plus data sint, perimunt; quæ autem necant, etiamsi exigua copia dentur, hæc non medicamenta, sed letifera esse dicimus. Ne illa quidem medicamenta sunt, quæ non qualitate sua purgant: sunt enim et in genere cibi multa, quæ si certa quadam copia dentur, idem faciant, ceu lac, oleum, mustum; sed hæc omnia, quod minus facile concoquuntur, idcirco purgant, purgantque iis tantummodo sui elementis quorum concoctio impeditur, istosque homines quibus concoctu sunt difficilia: sunt enim aliis alia concoctu facilia difficiliave: quamobrem non eadem medicamento omnibus sunt, sed propria nonnullis: in universum enim medicamentum non solum concoctionis immune, sed etiam motus efficiens esse debet, sicut et exercitatio, sive extrinsecus adcesserit, seu intrinsecus, nonnisi per motum aliena excernit.

48. Cur odorata, tam semina quam plantæ, movere urinam possunt? An quia calida concoctuque facilia sunt, ejusmodi autem res citare urinam valent? calor enim qui his inest, brevi adtenuat, odorque eorum non est corpulentus: nam et quæ odorifera, velut allia, caliditate sua movent urinam, potius tamen vim obtinent liquandi; semina vero odorata calida sunt.

49. Cur impuris quidem tetrisque ulceribus sicca, acria acerbaque medicamenta adhibenda sunt, puris vero et sanescentibus humida, eaque sola? An quod impuris quidem detrahendum aliquid est, id autem humor est alienus, qui adimi debet; genus autem medicamenti, quod mordax, acre acerbumque est, hujusmodi est, et siccum magis quam humidum; at quæ pura sunt, cicatricem tantum desiderant?

50. Cur morbis qui contrahuntur a pituita, res venerea prodest? An quod semen genitale excrementi cujusdam detractio est, naturamque præ se fert pituitæ, ita ut, quoniam multum pituitosæ detrahit materiei, juvet concubitus? Utrum initio cibum propinare melius est, an post? An initio, ne jam penitus debilitato inflammatio obcurset? Igitur vel extenuandum protinus est, vel ita

βάνειν χρὴ πρῶτον τοῖς ῥοφήμασιν· πρᾳότερα γὰρ καὶ λειότερα καὶ εὐτηκτότερα, καὶ ἐκδέξασθαι τὴν τροφὴν ἐκ τούτου ῥᾴδιόν ἐστιν ἀσθενεῖ σώματι· οὗ (οὐ?) γὰρ ἐν τῇ κοιλίᾳ δεῖ παθεῖν τὰ σῖτα πρῶτον, διαχυθῆναί τε καὶ θερμανθῆναι, μετὰ πόνου τῷ σώματι ταῦτα πέπονθεν.

alendum. Sorbitionibus primum recreandum: hæ namque mitiores ac læviores colliquabilioresque sunt, et alimentum hinc capere infirmum corpus facile potest: cujus enim in ventre adfici diffundique ac calefieri ante debet cibus, hæc nonnisi cum labore corpori infligendo subit.

51. Διὰ τί δεῖ σκοπεῖν τὰ περὶ τὸ οὖρον σημεῖα, ἀπολαμβάνοντα τὴν οὔρησιν, εἰ ἤδη πέπεπται, ἢ μή, μᾶλλον ἢ συνεχῶς οὐροῦντα; Ἢ διότι σημεῖον μὲν τοῦ πεπέφθαι, ἐὰν ᾖ πυρρόν, τοῦτο δὲ γίνεται μᾶλλον διαλαμβάνουσιν; Ἢ διότι ἔνοπτρον γίνεται ἅπαν μᾶλλον ὑγρὸν χρόας ὀλίγον ἢ πολὺ ὄν; ἐν μὲν γὰρ τῷ πολλῷ ὑγρῷ τὰ σχήματα ἐνορᾶται, ἐν δὲ τῷ ὀλίγῳ τὰ χρώματα, οἷον καὶ ἐπὶ τῆς δρόσου καὶ τῶν ῥανίδων καὶ ἐπὶ τῶν δακρύων τῶν ἐπὶ ταῖς βλεφαρίσιν. Συνεχῶς μὲν οὖν ἀφιέμενον γίνεται πλεῖον, διασπώμενον δὲ δέχεται μᾶλλον· ὥστε κἂν ᾖ αὐτὸ τοιοῦτον ἤδη διὰ τὴν πέψιν, καὶ φαίνεται μᾶλλον τῆς ἀνακλάσεως γινομένης καὶ ἐνόπτρου ἔνοπτον διὰ τὴν διαίρεσιν.

51. Cur intuendum urinæ signa, an concoctio jam facta sit, necne, profluvio intercepto mingendi potius quam perpetuo? An quod signum concoctionis urina exhibet, si rufa sit, idque potius intercepto profluvio evenit? an quia genus unumquodque humoris coloris potius fit speculum, ubi exigua adest copia quam ubi multa? nam in multo quidem humore figuræ, in exiguo vero colores conspiciuntur, quemadmodum et in rore, in adspergine, inque lacrymis ciliis incumbentibus evenit. Urina igitur si continue emittatur, copiosior fit; sin intercipiatur, (colorem), utpote disjecta, magis recipit, ita ut si jam ex concoctione colorem traxerit ejusmodi, repercussione facta ipsaque speculi partes obeunte, propter intermissionem profluvii magis etiam adpareat ac sub conspectum cadat.

52. Ὅτι οὐ δεῖ πυκνοῦν τὴν σάρκα πρὸς ὑγείαν, ἀλλ' ἀραιοῦν· ὥσπερ γὰρ πόλις ὑγιεινὴ καὶ τόπος εὔπνους (διὸ καὶ ἡ θάλασσα ὑγιεινή), οὕτω καὶ σῶμα τὸ εὔπνουν μᾶλλον ὑγιεινόν· δεῖ γὰρ ἢ μὴ ὑπάρχειν μηθὲν περίττωμα, ἢ τούτου ὡς τάχιστα ἀπαλλάττεσθαι, καὶ ἀεὶ οὕτως ἔχειν τὸ σῶμα ὥστε λαμβάνον εὐθὺς ἐκκρίνειν τὴν περίττωσιν, καὶ εἶναι ἐν κινήσει καὶ μὴ ἠρεμεῖν· τὸ μὲν γὰρ μένον σήπει, ὥσπερ ὕδωρ τὸ μὴ κινούμενον, σηπόμενον δὲ νοσοποιεῖ· τὸ δ' ἐκκρινόμενον πρὸ τοῦ διαφθαρῆναι χωρίζεται. Τοῦτο οὖν πυκνουμένης μὲν τῆς σαρκὸς οὐ γίνεται (ὡσπερεὶ γὰρ ἐμφράττονται οἱ πόροι), ἀραιουμένης δὲ συμβαίνει· διὸ καὶ οὐ δεῖ ἐν τῷ ἡλίῳ γυμνὸν βαδίζειν· συνίσταται γὰρ ἡ σὰρξ καὶ κομιδῇ ἀποσαρκοῦται, καὶ ὑγρότερον τὸ σῶμα γίνεται· τὸ μὲν γὰρ ἐντὸς διαμένει, τὸ δ' ἐπιπολῆς ἀπαλλάττεται, ὥσπερ καὶ τὰ κρέα τὰ ὀπτὰ τῶν ἑφθῶν μᾶλλον. Οὐδὲ τὰ στήθη γυμνὰ ἔχοντα βαδίζειν· ἀπὸ γὰρ τῶν ἄριστα ᾠκοδομημένων τοῦ σώματος ὁ ἥλιος ἀφαιρεῖ ἃ ἥκιστα δεῖται ἀφαιρέσεως, ἀλλὰ μᾶλλον τὰ ἐντός. Ἐκεῖθεν μὲν οὖν διὰ τὸ πόρρω εἶναι, ἐὰν μὴ μετὰ πόνου, οὐκ ἔστιν ἱδρῶτα ἀγαγεῖν, ἀπὸ τούτου δὲ διὰ τὸ πρόχειρον ῥᾴδιον.

52. Corporis, cui secundam conciliemus valetudinem, non densa, sed rara reddi debet caro: ut enim urbs locusque salubris est, prouti flatui pervius est (quapropter mare quoque salubre est), ita etiam corpus flatui pervium sanius est: aut enim nullum recrementum adesse, aut ab eo quam celerrime liberari debet corpus, idque semper ita regendum, ut simulatque recrementum admiserit, protinus illud excernat, sitque motui deditum, non quieti: quod enim manet, putredinem movet modo aquæ immotæ, putrescens vero morbum contrahit; at quod excernitur, antequam vitietur, decedit. Hoc igitur, si caro densatur quidem, non contingit (meatus enim quasi obstruuntur); sin vero rarefit, evenit: quamobrem et in sole nudo corpore ambulandum non est: spissatur etenim caro et valenter obcluditur, corpusque humidius redditur: quod enim intus adest, manet intactum; quod vero in superficie, abit: qua ratione quoque carnes assæ elixis humidiores sunt. Nec pectore nudo ambulandum est: sol enim corporis partibus optime conditis adimit quæ nullo modo egent ademptione; sed interna potius eam desiderant. Inde igitur, ut e remoto, nonnisi cum labore sudor educi licet; hinc vero facile, quia prope subest.

53. Διὰ τί ποτε τοῖς χιμέτλοις καὶ τὸ ψυχρὸν ὕδωρ συμφέρει, καὶ τὸ θερμόν; Ἢ ὅτι τὰ χίμετλα δι' ὑπερβολὴν γίνεται ὑγροῦ; Τὸ μὲν οὖν ψυχρὸν συνίστησι καὶ τραχύνει τὸ ὑγρόν, τὸ δὲ θερμὸν ἐκπνευματοῖ καὶ ἔξοδον ποιεῖ τῷ πνεύματι, ἀραιοῦν τὴν σάρκα.

53. Cur tandem pernionibus tam aqua frigida quam calida prodest? An quoniam perniones nimio humore consistunt? Frigida igitur humorem cogit atque exasperat, calida vero in spiritum vertit, carnemque rarefaciens spiritui exitum parat.

54. Διὰ τί τὸ ψυχρὸν καὶ ποιεῖ καὶ παύει τὰ χίμετλα, καὶ τὸ θερμὸν τὰ πυρίκαυτα; Ἢ διὰ τὸ αὐτό; Ποιεῖ μὲν συντήκοντα, παύει δὲ μᾶλλον ξηραίνοντα.

54. Cur tum frigus perniones, tum calor ambusta, et facit et tollit? An eadem de causa? Faciunt quidem colliquefaciendo, tollunt vero potius exsiccando.

55. Ἐν τοῖς πυρετοῖς διδόναι δεῖ τὸ ποτὸν πολλάκις καὶ κατ᾽ ὀλίγον· τὸ μὲν γὰρ πολὺ παραρρεῖ, τὸ δὲ ὀλίγον μέν, πολλάκις δέ, διαβρέχει καὶ εἰς τὰς σάρκας χωρεῖ· οἷα γὰρ τὰ ἐν τῇ γῇ, ἐὰν μὲν κατὰ πολὺ ἔλθῃ τὸ ὕδωρ, παραρρεῖ, ἐὰν δὲ κατ᾽ ὀλίγον, βρέχει μόνον, τὸ αὐτὸ καὶ ἐν τοῖς πυρετοῖς· τὰ γὰρ ῥέοντα ὕδατα ἐάν τις κατ᾽ ὀλίγον ἄγῃ, ὁ ὀχετὸς ἐκπίνει· ἐὰν δὲ τὸ ἴσον ἀθρόον ἄγῃ, ὅπου ἂν ἄγῃ, χωρεῖ. Ἔπειτα κατακείσθω ἀκίνητος ὡς μάλιστα, ἀκίνητος μέν, ὅτι καὶ τὸ πῦρ φανερῶς, ἐάν τις μὴ κινῇ, καταμαραίνεται. Πρὸς πνεῦμα δὲ μὴ κατακείσθω, διότι ὁ ἄνεμος τὸ πῦρ ἐξεγείρει καὶ ῥιπιζόμενον τὸ πῦρ ἐξ ὀλίγου πολὺ γίνεται. Περιστέλλεσθαι δὲ τούτου ἕνεκεν, ὅτι πυρὶ ἐὰν ἀναπνοὴν μὴ διδῷς, σβέννυται. Καὶ τὰ ἱμάτια μὴ ἀπογυμνούσθω, ἕως ἂν νοτὶς ἐγγένηται· τὸ φανερὸν γὰρ πῦρ τὸ ὑγρὸν σβέννυσιν· κατὰ ταῦτα δὲ καὶ ἐν τῇ φύσει. Ἐπὶ δὲ τῶν διαλειπόντων πυρετῶν προπαρασκευάζειν δεῖ καὶ ἐκλούοντα, καὶ πυριάματα πρὸς τοὺς πόδας παρατιθέντα, καὶ περιεσταλμένον ἀναπαύεσθαι, ὅπως ὅτι θερμότατος ᾖ πρὸ τοῦ τὴν λῆψιν εἶναι· καὶ γὰρ ὅπου πολὺ πῦρ, λύχνος οὐ δυνήσεται καίεσθαι· τὸ γὰρ πῦρ τὸ πολὺ τὸ ὀλίγον ἄγει πρὸς ἑαυτό. Τούτου ἕνεκα πολὺ πῦρ ἐν τῷ σώματι παρασκευάζειν δεῖ, ὅτι ὀλίγον ὁ πυρετὸς πῦρ ἔχει, ὥστε τὸ πολὺ πῦρ τὸ ὀλίγον πρὸς ἑαυτὸ ἄγει.

55. Potus febrientibus sæpe et paulatim subministrandus est : copiosus enim si fuerit, præterfluit; parce vero, sed sæpius propinatus, madefacit carnesque subit : sicut enim humo fixa si aqua adfatim adcesserit, præterfluit, si paulatim vero, tunc tantummodo madefacit, ita etiam in febribus fit : nam et aquas fluentes si quis paulatim deducat, canalis ebibit; si vero tantumdem aquæ subito adducat, scaturigo eo profluit quo deducere libitum fuerit. Tum æger immotus, quoad maxime fieri potest, jacere debet : immotus, inquam, quod ignem quoque emarcescere manifestum est, ubi a nullo movetur. Nec adversus flatui cubet, quoniam ventus excitat ignem, sollicitatusque flabello ignis ex parvo magnus fit. Obvelandus autem æger propterea est, quia si nullum igni concedatur spiraculum, exstinguitur. Nec vestibus quidem exui debet, donec mador supervenerit : ut enim subjectum visui ignem humor exstinguit, sic etiam intra naturam fit (humanam). In febribus autem intermittentibus balneis præparandus est ægrotus et fomentis pedibus admovendis, opertusque quiescere debet, quo calidissimus sit, antequam adcessio ingruat : nec enim ubi multum adest ignis, lucerna poterit ardere, exiguum quippe ignem copiosus ad se trahit. Hac de causa multum ignis in corpore præparandum est, quia febris exiguum obtinet ignem, ita ut copiosus ad se ducat exiguum.

56. Τεταρταίοις πυρετοῖς δεῖ μὴ λεπτύνειν, ἀλλὰ πῦρ ἐν τοῖς σώμασιν ἐμποιεῖν εἰσάγοντα. Δεῖ δὲ καὶ τοῖς γυμνασίοις χρῆσθαι. Ἧι δ᾽ ἡμέρᾳ ἡ λῆψις, λουσάμενον ὕπνον μὴ ζητεῖν. Διὰ δὲ τοῦτο καὶ συμφέρει θερμαίνουσα δίαιτα, ὅτι ἀσθενὴς ὁ τεταρταῖος πυρετός· εἰ γὰρ μὴ ἦν ἀσθενής, οὐκ ἂν τεταρταῖος ἐγένετο. Ὁρᾷς; ὅπου πῦρ πολύ, λύχνος οὐ δύναται καίεσθαι· τὸ γὰρ πολὺ τὸ ὀλίγον πρὸς ἑαυτὸ ἁρπάζει. Τούτου δ᾽ ἕνεκεν πολὺ πῦρ ἐν τῷ σώματι ἐμποιεῖν, ὅτι ὀλίγον ὁ πυρετὸς πῦρ ἔχει. Ἔστι δὲ τὸ καθ᾽ ἡμέραν διαίτημα τὸ μὲν πῦρ, τὸ δὲ νοτίδα εἰς τὸ σῶμα εἰσάγοντα.

56. In quartanis febribus adtenuandum non est, sed ignis corpori interserendus. Exercitatione quoque utendum est. Qua vero die adcessio instat, ægroto, balneo administrato, somnus quærendus non est. Hac de causa et victus calefaciens prodest, quia nimirum febris quartana imbecilla est : nam nisi imbecilla esset, quartana non fuisset. Videsne? lucerna, ubi multus ignis adest, flagrare nequit; multus enim ignis exiguum ad se rapit. Hac de causa multum ignis introducendum in corpus est, quoniam exiguum febris obtinet. Quotidiana autem victus ratio eo constat ut partim ignem, partim madorem indus in corpus.

57. Εἰσὶ δὲ νόσοι αἱ μὲν ἀπὸ πυρός, αἱ δ᾽ ἀπὸ νοτίδος· ἰατρεύονται δ᾽ αἱ μὲν ἀπὸ πυρὸς νόσοι νοτίδι, αἱ δ᾽ ἀπὸ νοτίδος πυρί· νοτίδα γὰρ ξηραίνει.

57. Morborum alii quidem ab igne, alii vero a madore proveniunt; morbi autem qui ab igne proveniunt, madore sanantur; qui vero a madore, igne : exsiccat enim madorem.

ΤΜΗΜΑ Β.

ΟΣΑ ΠΕΡΙ ΙΔΡΩΤΑ.

SECTIO II.

QUÆ AD SUDOREM PERTINENT.

1. Διὰ τί οὔτε συντείνουσιν, οὔτε κατέχουσι τὸ πνεῦμα γίνεται ἱδρώς, ἀλλὰ μᾶλλον ἀνιεῖσιν; Ἢ ὅτι τὸ πνεῦμα κατεχόμενον πληροῖ τὰς φλέβας, ὥστε κωλύει ἐξιέναι, ὥσπερ τὸ ὕδωρ τὸ ἐκ τῶν κλεψυδρῶν, ὅταν πλήρεις οὔσας ἐπιλάβῃ τις· ὅταν δ᾽ ἐξέλθῃ, πολὺς γίνεται διὰ τὸ ἐν αὐτῇ [τῇ] ἐπιληψίᾳ ἀθροισθῆναι κατὰ μικρόν;

1. Cur neque intento, nec retento spiritu, sed potius relaxato, sudor provenit? An quoniam retentus spiritus venas implet, ita ut (humorem) exire non sinat, quemadmodum nec aqua e clepsydris exire potest, si quis plenas intercluserit; ubi vero spiritus exierit, multus erumpit sudor, quoniam per ipsam obclusionem copia humoris paulatim collecta est?

2. Διὰ τί οὐχ ἱδροῦσι τὰ ἐν θερμῷ ὕδατι μέρη, οὐδ' ἂν θερμὰ ᾖ; Ἢ διότι κωλύει τὸ ὕδωρ τήκεσθαι, ὁ δ' ἱδρὼς τὸ κακῶς προσῳκοδομημένον ἐστὶν ἐν τῇ σαρκί, ὃ κωλύει τήκεσθαι, ὅταν ἐκκρίνηται διὰ θερμότητα.

3. Διὰ τί ὁ ἱδρὼς ἁλμυρόν; Ἢ διότι γίνεται ὑπὸ κινήσεως καὶ θερμότητος ἀποκρινούσης ὅσον ἀλλότριον ἔνεστιν ἐν τῇ προσφύσει τῆς τροφῆς πρὸς αἷμα καὶ τὰς σάρκας; τοῦτο γὰρ τάχιστα ἀφίσταται διὰ τὸ μὴ οἰκεῖον εἶναι, καὶ ἔξω ἐξικμάζει. Ἁλμυρὸς δ' ἐστὶ διὰ τὸ τὸ γλυκύτατον καὶ κουφότατον εἰς τὸ σῶμα ἀνηλῶσθαι, τὸ δ' ἀλλοτριώτατον καὶ ἀπεπτότατον ἀπολύεσθαι. Τὸ τοιοῦτον δ' ἐν μὲν τῇ κάτω ὑποστάσει οὖρον καλεῖται, ἐν δὲ σαρκὶ ἱδρώς· ἄμφω δ' ἁλμυρὰ διὰ τὴν αὐτὴν αἰτίαν.

4. Διὰ τί τὰ ἄνω ἱδροῦσι μᾶλλον τῶν κάτω; Πότερον τὸ θερμὸν ἄνω καὶ ἀνέρχεται, καὶ ἔστιν ἄνω, τοῦτο δ' ἄνω φέρει τὸ ὑγρόν; Ἢ ὅτι πνεῦμα ποιεῖ τὸν ἱδρῶτα, τοῦτο δ' ἐν τοῖς ἄνω; Ἢ διότι ἄπεπτον ὑγρὸν ὁ ἱδρώς ἐστι, τοιοῦτο δ' ἐν τοῖς ἄνω; ἡ γὰρ κρᾶσις ἄνω.

5. Διὰ τί τὰς χεῖρας γυμναζομένοις μάλιστα ἱδρὼς γίνεται, ἐὰν τὰ ἄλλα ὁμοιοσχημονῶμεν; Ἢ διότι ἰσχύομεν μάλιστα τούτῳ τῷ τόπῳ; τούτῳ γὰρ τὸ πνεῦμα κατέχομεν τῷ ἔγγιστα τοῦ ἰσχύοντος· πονοῦντες δὲ μᾶλλον ἰσχύομεν· οὕτω δ' ἔχοντες τὸ πνεῦμα μᾶλλον κατέχομεν. Εἶτα καὶ τῇ τριβομένῃ συμπονοῦμεν μᾶλλον ἢ ὅταν ἄλλο μέρος τριβώμεθα· τῇ γὰρ καθέξει τοῦ πνεύματος καὶ τριβόμενοι γυμναζόμεθα καὶ τρίβοντες.

6. Διὰ τί ὁ ἱδρὼς ἐκ τῆς κεφαλῆς ἢ οὐκ ὄζει, ἢ ἧττον τοῦ ἐκ τοῦ σώματος; Ἢ ὅτι εὔπνους ὁ τῆς κεφαλῆς τόπος; δηλοῖ δὲ μανὸς ὢν τῇ τῶν τριχῶν ἐκφύσει. Δυσώδεις δ' οἱ τόποι καὶ τὰ ἐν αὐτοῖς γίνεται, ὅσα μὴ εὔπνοα.

7. Διὰ τί οἱ γυμναζόμενοι ἐὰν διαναπαυσάμενοι παλαίωσιν, μᾶλλον ἱδροῦσιν ἢ ἐὰν συνεχῶς; Ἢ διὰ τὸ ἀθροίζεσθαι διαναπαυομένων, ἔπειτα τοῦτον τὸν ἱδρῶτα ἐξάγει ὕστερον ἡ πάλη, ἡ δὲ συνεχὴς ἀναξηραίνει ὥσπερ ὁ ἥλιος;

8. Διὰ τί μᾶλλον ἱδροῦσιν, ὅταν μὴ διὰ πολλοῦ χρόνου χρῶνται ταῖς ἀφιδρώσεσιν; Ἢ διότι οἱ ἱδρῶτες γίνονται οὐ μόνον δι' ὑγρότητα, ἀλλὰ καὶ διὰ τὸ τοὺς πόρους ἀνεῷχθαι μᾶλλον καὶ ἀραιὰ τὰ σώματα εἶναι; Τοῖς μὲν οὖν μὴ χρωμένοις συμμεμύκασιν οἱ πόροι, τοῖς χρωμένοις δ' ἀναστομοῦνται.

9. Διὰ τί τοῦ ἡλίου μᾶλλον θερμαίνοντος τοὺς γυμνοὺς ἢ τοὺς ἀμπεχομένους, ἱδροῦσι μᾶλλον οἱ ἀμπεχόμενοι; Πότερον ὅτι τοὺς πόρους συμμύειν ποιεῖ ἐκκαίων ὁ ἥλιος; Ἢ διότι τὰς ἀτμίδας ξηραίνει, ἀμπεχομένοις δὲ ταῦτα ἧττον συμβαίνει;

2. Cur membra aquæ immersa calidæ non sudant, ne tunc quidem quum calida sunt? An quod aqua liquescere non sinit, sudor autem pars male condita carnis est, cujus liquationem impedit aqua, quo tempore propter calorem excernitur.

3. Cur sudor salsus est? An quia motu efficitur et calore secernente quantum alieni inest alimento, dum sanguini carnibusque adplicatur? id enim ocissime segregatur, quoniam familiare non est, et foras evaporatur. Salsus vero propterea est quod pars dulcissima levissimaque ad corpus nutriendum absumpta est, pars autem alienissima crudissimaque solvitur. Hujusmodi autem res, si deorsum quidem subsidat, urina vocatur, si vero in carne, sudor; ambo tamen salsa ob eamdem causam sunt.

4. Cur magis parte superiori corporis quam inferiori sudamus? Utrum calor sursum tendit eoque adscendit ibique manet, hic autem humorem sursum evehit? An quoniam sudorem spiritus ciet, is autem sedem habet superiorem? An quia sudor humor est incoctus, isque supra reperitur? temperatio etenim supra fit.

5. Quam ob causam, quum manus exercitamus, sudor maxime oritur, modo ceteræ corporis partes positum suum servent? An quoniam robur huic præcipue loco inditus est? hac enim ipsa de causa spiritum retinemus, quia nimirum ad robustissimum proxime accedit; dum vero laboramus, robore inprimis pollemus; sic autem habentes præsertim spiritum retinemus. Tum etiam manus laborem potius participamus, ubi nos ipsos fricat quam ubi alio membro fricamur : spiritus namque retentione exercemur, cum quia perfricamur, tum quia perfricamus.

6. Cur sudor capitis aut nullum reddit malum odorem, aut minus quam corporis? An quia locus capitis spiritui pervius est? et quidem laxum se esse, ipsum demonstrat pullulandis capillis. Loca autem et quæ locis continentur, graviter olent, ubicumque spirandi carent libertate.

7. Quam ob causam qui se exercent, si interposita interdum quiete luctentur, magis sudant quam si continue? An quoniam interposita requie sese colligit, deinde hunc sudorem lucta postmodum educit; continua vero modo solis resiccat?

8. Cur magis sudamus, quum non longo interposito tempore sudor evocatur? An quia non humor tantum causa est ut sudemus, sed meatuum quoque apertio major et corporum raritas? His igitur qui sudationibus non utuntur, meatus obclusi sunt; utentibus vero aperiuntur.

9. Quare quum sol nudos magis quam indutos calefaciat, induti magis sudant? Utrum quia sol meatus deurendo connivere facit? An quia vapores exsiccat, hæc autem minus adcidunt indutis?

10. Διὰ τί ἱδροῦσι μάλιστα τὰ πρόσωπα; Ἢ ὅσα ἀραιά, καὶ ὑγρὰ μάλιστα; διὰ δὲ τούτων ὁ ἱδρὼς διαπορεύεται. Δοκεῖ δὲ πηγὴ εἶναι ἡ κεφαλὴ τοῦ ὑγροῦ· διὸ καὶ αἱ τρίχες, διὰ τὸ πολὺ ὑγρόν· ὁ δὲ τόπος ἀραιὸς καὶ ἰσχνός· δίεισιν ἄρα κατὰ φύσιν.

11. Διὰ τί οὔτ' ἀθρόου ὄντος τοῦ πυρὸς μᾶλλον ἱδροῦσιν, οὔτ' ἐλάττονος ἀεί, ἀλλὰ πλείονος ἐπεισφερομένου; οἱ γὰρ ἐν τοῖς πυριατηρίοις ἱδροῦσι μᾶλλον ἢ εὐθὺς εἰ εἴη τοσοῦτον. Ἢ ὅτι τὸ σύμμετρον ἕκαστον ἐργάζεται; Οὐκοῦν εἰ τοσοῦτον ποιεῖ, τὸ πλεῖον οὐ ποιήσει πλεῖον, ἢ μᾶλλον τοὐναντίον, ὅτι τῷ σύμμετρον εἶναι ἐργάζεται τὸ ἔργον. Διὰ μὲν οὖν τοῦτο οὐχὶ πρὸς πλεῖον μᾶλλον ἱδροῦσι, διὰ δὲ τὸ πρὸς ἕκαστον ἄλλην εἶναι συμμετρίαν, καὶ τὸ πεποιηκὸς μηκέτι ποιεῖν προστιθεμένου μᾶλλον· οὐ γὰρ ταὐτὸ προοδοποιεῖται εἰς ἕκαστον καὶ ἐπιτηδείως ἔχειν παρασκευάζει, καὶ ἤδη τοῦτο ἐργάζεται, ἀλλ' ἕτερον. Τὸ μὲν οὖν ὀλίγον μᾶλλον ἢ πολὺ προωδοποίησε καὶ παρεσκεύασε τὸ σῶμα πρὸς τὸ ἱδροῦν· ἄλλης δὲ δεῖ συμμετρίας καὶ πλείονος πρὸς τὸ ποιῆσαι· τοῦτο δ' οὐκέτι ποιεῖ ὃ πεποίηκεν, ἀλλὰ μετ' αὐτὸ ὕστερον ἄλλο τῆς συμμετρίας γινόμενον.

12. Διὰ τί ἀποστλεγγισαμένοις μᾶλλον ῥεῖ ὁ ἱδρὼς ἢ ἐῶσιν ἐπιμεῖναι; Πότερον διὰ τὸ καταψύχεσθαι ὑπὸ τοῦ ἔξω; Ἢ ὅτι ὥσπερ πῶμα γίνεται ὁ ἔξω ἱδρὼς ἐπὶ τοῖς πόροις, ὥστε κωλύει τοῦ ἔσωθεν τὴν ὁρμήν;

13. Διὰ τί τὸ πήγανον δυσώδεις τοὺς ἱδρῶτας ποιεῖ, καὶ ἔνια τῶν μύρων; Ἢ ὅτι ὧν ἐν τῇ ὀσμῇ βαρύτης ἔνι, ταῦτα κεραννύμενα ταῖς περιττωματικαῖς ὑγρότησι κακωδεστέραν ποιεῖ τὴν ὀσμήν;

14. Διὰ τί ἱδροῦμεν τὸν νῶτον μᾶλλον ἢ τὰ πρόσθεν; Ἢ ὅτι ἐν μὲν τῷ πρόσθεν ἐστὶ τόπος ἐντός, εἰς ὃν ἀποχετεύεται τὸ ὑγρόν, ἐν δὲ τῷ ὄπισθεν οὐκ ἔστιν, ἀλλ' ἔξω τὴν ἔκκρισιν ἀναγκαῖον γίνεσθαι; Τὸ δ' αὐτό ἐστιν αἴτιον καὶ ὅτι τὴν κοιλίαν ἧττον ἱδροῦμεν ἢ τὸ στῆθος. Ἔτι δ' ὅτι μᾶλλον διαφυλακτικόν ἐστι τοῦ ἱδρῶτος τὰ νῶτα καὶ τὰ ὄπισθεν ἢ τὰ πρόσθεν διὰ τὸ μᾶλλον τὰ ἔμπροσθεν τῶν ὄπισθεν ἀποψύχεσθαι· ὅπερ ἐστὶν αἴτιον καὶ τοῦ τὰς μασχάλας ἱδροῦν τάχιστα καὶ μάλιστα· ἥκιστα γὰρ ψύχονται. Ἔτι δὲ σαρκωδέστερά ἐστι τὰ περὶ τὸν νῶτον τῶν πρόσθεν, ὥσθ' ὑγρότερα. Πλείων δ' ὑγρότης ἐστὶν ἐν τοῖς ὄπισθεν· ὁ γὰρ μυελὸς κατὰ τὴν ῥάχιν ὢν ὑγρασίαν πολλὴν παρέχει.

15. Διὰ τί ἐφ' ἃ κατακείμεθα, οὐχ ἱδροῦμεν; Ἢ ὅτι θερμὸς ὢν ὁ τόπος ᾧ ἁπτόμεθα, κωλύει διεξιέναι τὸν ἱδρῶτα; ἀναξηραίνει γὰρ αὐτόν. Ἔτι δὲ θλίβεται, θλιβόμενον δὲ διαχεῖται τὸ αἷμα, οὗ συμβαίνοντος καταψύχεται μᾶλλον. Σημεῖον δ' ἡ νάρκη· κατάψυξίς τε γάρ ἐστι τὸ πάθος, καὶ γίνεται ἐκ θλίψεως ἢ πληγῆς.

10. Cur facie maxime sudant? An quæ rara sunt, eadem humida quoque maxime sunt? hæc enim sudor permeat. Sed caput fons esse videtur humoris : inde et pili, propter humoris nempe copiam : locus enim rarus gracilisque est : igitur secundum naturam permeat.

11. Cur neque ubi adfatim adest ignis, neque ubi semper minor copia, sed ubi major copia superingeritur, magis sudant? qui enim in æstuariis degunt, ita magis sudant quam si protinus sic se haberent. An quia id quod modice se habet, unumquodque efficit? Ergo si tantum agit, plus si fuerit, non majus efficiet, imo potius contrarium, quoniam scilicet eo opus suum peragit quod modice se habet. Hac igitur de causa nihilo plus sudamus, ubi plus additum est, idque sane quia unicuique effectui suus respondet modus, quodque jam egerat, nihil majus efficiet, siquid superaddatur : neque enim idem quod viam sternit et præparat ut apte disponantur res ad unumquemque effectum, hoc idem protinus efficit, sed aliud. Parum itaque potius quam multum viam stravit præparavitque corpus ad sudandum, sed ad agendum alio certe ampliorique modo opus est : quod enim egerat, non amplius agit, sed aliud deinceps post illud, quod modum obtinet convenientem.

12. Cur strigilis ope detergentibus magis profluit sudor quam residere sinentibus? Utrum quoniam ab ambienti refrigeratur? An quod sudor qui foras jam pervenit, velut operculum meatibus incumbit, ita ut interioris impetum compescat?

13. Qua de causa ruta et nonnulla unguenta sudores fœtidos movent? An quia quorum odor gravitatem præ se fert, hæc humoribus superfluis admista augent malum odorem?

14. Cur tergo magis quam priori parte sudamus? An quod in parte priori quidem locus intus habetur in quem humor derivatur; in posteriori vero non est, sed foras ibi excernatur necesse est? Hoc idem etiam facit ut ventre minus quam pectore sudemus. Addo quod sudorem terga magis conservare valent, et posterior pars magis quam prior, quoniam prior magis quam posterior refrigeratur : quod etiam causæ est ut alæ citissime atque maxime sudent, videlicet quia minime refrigerantur. Ad hæc tergi regio carnulentior est quam prior pars, et proinde humidior. Posterior autem pars plus continet humiditatis : medulla enim, quæ spinam occupat, multum humiditatis præbet.

15. Cur ea parte cui incubamus, non sudamus? An quoniam pars qua tangimus, calore suo prohibet ne permeet sudor? resiccat enim eum. Præterea vero comprimitur; sanguis autem compressus diffunditur : quæ ubi fiunt, impensius refrigeratur. Argumento torpor est: hicce enim adfectus refrigeratio est atque efficitur vel compressione, vel ictu.

16. Διὰ τί οἱ καθεύδοντες μᾶλλον ἱδροῦσιν; Ἢ διὰ τὴν ἀντιπερίστασιν; ἀθροισθὲν γὰρ τὸ θερμὸν ἐντὸς ἐξελαύνει τὸ ὑγρόν.

17. Διὰ τί τὸ πρόσωπον μάλιστα ἱδροῦσιν ἀσαρκότατον ὄν; Ἢ ὅτι εὐίδρωτα μὲν ὅσα ὕφυγρα καὶ ἀραιά, ἡ δὲ κεφαλὴ τοιαύτη; ὑγρότητα γὰρ οἰκείαν ἔχει πλείστην. Δηλοῦσι δ' αἱ φλέβες τείνουσαι ἐντεῦθεν, καὶ οἱ κατάρροι ἐξ αὐτῆς, καὶ ὁ ἐγκέφαλος ὑγρός, καὶ οἱ πόροι πολλοί· σημεῖον δ' αἱ τρίχες ὅτι πολλοὶ οἱ πόροι εἰσί, περαίνοντες ἔξω. Οὔκουν ἐκ τῶν κάτω ὁ ἱδρώς, ἀλλ' ἐκ τῆς κεφαλῆς γίνεται· διὸ ἱδροῦσι καὶ πρῶτον καὶ μάλιστα τὸ μέτωπον· ὑπόκειται γὰρ πρῶτον· τὸ δ' ὑγρὸν κάτω ῥεῖ, ἀλλ' οὐκ ἄνω.

18. Διὰ τί οἱ ἱδροῦντες ἐὰν ψυχθῶσιν ἢ ὕδατι, ἢ πνεύματι, ναυτιῶσιν; Πότερον τὸ ὑγρὸν ψυχθὲν ἔστη ἀθρόον, ἔμπροσθεν οὐκ ἠρεμοῦν διὰ τὸ ῥεῖν; Ἢ καὶ τὸ πνεῦμα διιὸν ἔξω γινόμενον ἱδρὼς διὰ τὴν ψύξιν, τοῦτο ἔσω ψυχθὲν πρὶν ἐξελθεῖν ὑγρὸν ἐγένετο, καὶ προσπεσὸν ποιεῖ τὴν ναυτίαν;

19. Διὰ τί ποτε ἐκ τῆς κεφαλῆς καὶ τῶν ποδῶν μάλιστα οἱ ἱδρῶτες γίνονται θερμαινομένων; Ἢ ὅτι τὸ θερμαινόμενον ἐφέλκει ἐφ' ἑαυτὸ τὸ ὑγρόν, τὸ δ' ὑγρὸν οὐκ ἔχει ὅπῃ καταναλίσκηται διὰ τὸ εἶναι τοὺς τόπους τούτους ὀστώδεις; Ἐκπίπτει οὖν ἔξω.

20. Διὰ τί οἱ πονοῦντες, ὅταν παύσωνται, ἱδροῦσιν; ἔδει γάρ, εἴπερ ὁ πόνος αἴτιος, ὅταν πονῶσιν. Πότερον ὅτι πονούντων μὲν ὑπὸ τοῦ πνεύματος αἱ φλέβες ἐμφυσώμεναι τοὺς πόρους συμμεμυκέναι ποιοῦσι, παυσαμένων δὲ συνίζουσιν, ὥστε δι' εὐρυτέρων γινομένων τῶν πόρων ῥᾷον διέρχεται τὸ ὑγρόν; Ἢ ὅτι πονούντων μὲν ἀποκρίνει ἡ κίνησις ἐκ τοῦ συμπεφυκότος ὑγροῦ πνεῦμα, καὶ διὰ θερμότητα τὴν ἀπὸ τῆς κινήσεως γίνεται τὸ ὑγρὸν πνεῦμα ἐπιπολῆς· ὅταν δὲ παύσηται πονῶν, ἅμα καὶ ἡ θερμότης λήγει, καὶ ἐκ τοῦ πνεύματος πυκνουμένου ὑγρότης γίνεται, ὁ καλούμενος ἱδρώς;

21. Πότερον δεῖ μᾶλλον τοῦ θέρους παρασκευάζειν τὸ ἱδροῦν ἢ τοῦ χειμῶνος; Ἢ ὅτε μᾶλλον ὑγροὶ καὶ χαλεπώτεροι ἄνευ ἐπιμελείας γένοιντ' ἄν; ὥστε τοῦ χειμῶνος ἂν δέοι μᾶλλον, ᾗ μεγάλη ἡ μεταβολὴ καὶ τὰ περιττώματα οὐ συνεκπέττεται. Πάλιν ψυχθέντος ἔτι παρὰ φύσιν τὸ τοῦ χειμῶνος. Δῆλον ἄρα ὅτι τοῦ θέρους μᾶλλον· καὶ γὰρ τὰ ὑγρὰ σήπεται μᾶλλον ἅπαντα τοῦ θέρους· διὸ τότε δεῖ ἀπαντλεῖν. Διὰ τοῦτο δὲ καὶ οἱ ἀρχαῖοι πάντες οὕτως ἔλεγον.

22. Διὰ τί ἀεὶ τοῦ σώματος ῥέοντος καὶ τῆς ἀπορροῆς γινομένης ἐκ τῶν περιττωμάτων οὐ κουφίζεται τὸ σῶμα, ἐὰν μὴ ἀφιδρώσῃ; Ἢ ὅτι ἐλάττων ἡ ἔκκρισις; ὅταν γὰρ ἐξ ὑγροῦ μεταβάλλῃ εἰς ἀέρα, πλεῖον γίνεται ἐξ ἐλάττονος· τὸ γὰρ ὑγρὸν διακρινόμενον πλεῖον· ὥστε

16. **Quare qui dormiunt, magis sudant? An circumquaque obsistendi ratione evenit? calor enim parte interna collectus expellit humorem.**

17. Cur facie maxime sudamus, quum in ea minimum carnis sit? An quod expeditius illa sudant, quæ subtus humida ac rara sunt, caput autem tale est? continet enim plurimum humiditatis propriæ. Probant autem venæ hinc pertendentes, distillationesque quæ ex capite oriuntur, et cerebri humiditas, et meatus numero multi; magnum autem numerum esse meatuum capilli probant, utpote foras pertendentes. Igitur sudor non a partibus inferioribus, sed e capite oritur: unde etiam fit ut primum et maxime fronte sudemus: prima enim frons subjacet; humor autem deorsum fluit, non sursum.

18. Qua de causa qui sudant, si vel aqua, vel flatu refrigescant, nauseant? Utrum humor, qui propter fluxum antea non quiescebat, refrigescens subito constitit? An potius spiritus, qui foras transiens in sudorem ob refrigerationem convertebatur, hic intus ante frigescens quam exeat, humor fit, atque ingruens nauseam movet?

19. Cur tandem e capite pedibusque, nobis incalescentibus, sudores maxime proveniunt? An quoniam humorem ad se membrum incalescens trahit, humor autem locum quo absumatur, nullum habet, quum eæ partes ossibus scateant? Foras itaque excidit.

20. Quare qui laborant, ubi a labore destiterint, sudant? nam si labor causa esset, quum laborarent, sudare debuissent. Utrum quod inter laborandum quidem venæ spiritu inflatæ meatus connivere faciunt; cessantibus vero consident, ita ut per ampliores jam factos meatus expeditius humor pervadat? An quoniam apud laborantes quidem spiritum ex insito humore motus secernit, et propter calorem qui a motu excitatur, humor in superficie fit spiritus; ubi vero a labore cessatum est, simul et calor desinit, et ex spiritu spissescente fit humor, isque sudor adpellatur?

21. Utrum per æstatem potius, an per hyemem sudor movendus? An quando humidiores sumus, sudoresque nulla adhibita industria difficiliores fuissent? ita ut per hyemem potius conveniret, in qua magna fit mutatio, nec excrementa universa percoquuntur. Attamen frigore dominante contra naturam quoque excitatur sudor hyeme. Igitur per æstatem potius movendum esse constat, quippe quum humores per æstatem potius omnes putrescunt: quapropter exhauriendum tunc est. Hac de causa etiam veteres omnes ita censebant.

22. Quare quum corpus adsidue fluat effluxusque de excrementis proveniat, corpus non levatur, nisi sudaverit? An quia parcior est decessus? quum enim ex humore mutatio fit in aerem, quod antea parum erat, nunc copiosius fit: humor namque transsudans copia augetur, ita ut diutius

πλείονι χρόνῳ ἡ ἔκκρισις, διά τε τοῦτο καὶ ὅτι δι' ἐλαττόνων πόρων ἡ ἔκκρισίς ἐστιν. Ἔτι τὸ γλίσχρον καὶ τὸ κολλῶδες μετὰ μὲν τοῦ ὑγροῦ ἐκκρίνεται διὰ τὴν κατάμιξιν, μετὰ δὲ τοῦ πνεύματος ἀδυνατεῖ· μάλιστα δὲ τοῦτ' ἐστὶ τὸ λυποῦν· διὸ καὶ οἱ ἔμετοι τῶν ἱδρώτων κουφίζουσι μᾶλλον, ὅτι συνεξάγουσι τοῦτο, ἅτε παχύτεροι καὶ σωματωδέστεροι ὄντες, καὶ ὅτι τῇ μὲν σαρκὶ πόρρω ὁ τόπος οὗτος, ἐν ᾧ τὸ γλίσχρον καὶ τὸ κολλῶδες, ὥστ' ἔργον μεταστῆσαι, τῇ δὲ κοιλίᾳ ἐγγύς· ἢ γὰρ ἐν αὐτῇ ἐγγίνεται, ἢ πλησίον· διὸ καὶ δυσεξάγωγον ἄλλως.

23. Διὰ τί ἧττον ἱδροῦσιν ἐν αὐτῷ τῷ πονεῖν ἢ ἀνέντες; Ἢ ὅτι πονοῦντες μὲν ποιοῦσι, πεπονηκότες δὲ πεποιήκασιν; Εἰκότως οὖν ἐκκρίνεται πλέον· ὁτὲ μὲν γὰρ γίνεται, ὁτὲ δὲ ἔστιν. Ἢ ὅτι πονούντων μὲν συγκλείονται τῆς σαρκὸς οἱ πόροι διὰ τὴν κάθεξιν τοῦ πνεύματος, ὅταν δ' ἀνῶσιν, ἀνοίγονται; διὸ καὶ τὸ πνεῦμα κατέχοντες ἧττον ἱδροῦσιν.

24. Διὰ τί οὐχὶ ὅταν τροχάζωμεν, ὁ ἱδρὼς πλείων, καὶ ὅταν ἐν κινήσει ᾖ τὸ σῶμα, ἀλλ' ὅταν παύσωνται; Ἢ ὅτι τότε μέν, ὥσπερ ὑπὸ τῆς χειρός, ἢ ἄλλου τινός, ἔστιν ὕδωρ ῥέον ἀποφράξαι πανταχόθεν συναθροιζόμενον, ὅταν δ' ἀφεθῇ, πλέον ἢ ὅσον ἐξ ἀρχῆς, ὡς δ' ὑπὸ τῆς χειρός, οὕτω καὶ ὑπὸ τοῦ πνεύματος ἔστιν ἀποληφθῆναι, ὥσπερ ἐν τῇ κλεψύδρᾳ, καὶ πάλιν πρὸς τὴν κύστιν; ἀπολαμβάνει γὰρ ἐντός. Ὁμοίως οὖν πολλῆς κινήσεως οὔσης τὸ πνεῦμα ἐναπολαμβάνεται· διὸ καὶ αἱ φλέβες διατείνονται, τοῦ ὑγροῦ οὐ δυναμένου ἐξιέναι· ἀπολαμβανόμενον δὲ ἀθρόον τὸ ὑγρόν, ὅταν ἀνεθῇ τὸ πνεῦμα, ἀθρόον ἐξέρχεται.

25. Διὰ τί, ὅταν πίωσιν, ἧττον ἱδροῦσιν ἐπιφαγόντες; Ἢ διότι τὰ σιτία ἐπισπᾶται μὲν τὴν ὑγρότητα καθάπερεὶ σπόγγος ἐμπεσών; Ἔστι δὲ κωλῦσαι τὴν ὁρμὴν οὐ μικρὸν μέρος, ὥσπερ ἐν τοῖς ῥεύμασι, τὸ ἐπιλαβεῖν τοὺς πόρους προσενεγκάμενον τὴν τροφήν.

26. Διὰ τί οἱ ἀγωνιῶντες ἱδροῦσι τοὺς πόδας, τὸ δὲ πρόσωπον οὔ; μᾶλλον γὰρ εὔλογον, ὅταν πᾶν ἱδρῶσι τὸ σῶμα, τότε μᾶλλον καὶ τοὺς πόδας· ψυχρότατος γὰρ ὁ τόπος· διὸ ἥκιστα ἱδροῦσιν. Καὶ οἱ ἰατροὶ ἐν ταῖς ἀρρωστίαις μάλιστα περιστέλλειν τοὺς πόδας παραγγέλλουσιν, ὅτι εὔψυχτοί εἰσιν, ὥστ' ἀρχὴν ῥᾳδίως ῥίγους ποιοῦσι καὶ τῷ ἄλλῳ σώματι. Ἢ ὅτι καὶ ἡ ἀγωνία ἐστὶ θερμότητος οὐ μετάστασις ὥσπερ ἐν τῷ φόβῳ ἐκ τῶν ἄνω τόπων εἰς τοὺς κάτω (διὸ καὶ αἱ κοιλίαι λύονται τῶν φοβουμένων), ἀλλ' αὔξησις θερμοῦ, ὥσπερ ἐν τῷ θυμῷ; καὶ γὰρ ὁ θυμὸς ζέσις τοῦ θερμοῦ ἐστὶ τοῦ περὶ τὴν καρδίαν, καὶ ὁ ἀγωνιῶν οὐ διὰ φόβον καὶ διὰ ψύξιν πάσχει, ἀλλὰ διὰ τὸ μέλλον.

27. Διὰ τί τὸ πρόσωπον ἐξέρυθροι γίνονται, οὐχ ἱδροῦσι δέ; Ἢ διὰ τὸ μᾶλλον θερμαίνεσθαι, ὥστε τὸ μὲν ἐν τῷ προσώπῳ ὑγρὸν ξηραίνει ἡ θερμότης ἐπιπο-

perstet decessus cum hac de causa tum quia per angustiores fit meatus. Lenta item glutinosaque cum humore quidem propter mistionem excernuntur, cum spiritu vero nequeunt; hæc tamen ipsa maxime molesta sunt. Hinc etiam vomitus magis quam sudores corpora levant, quoniam hæc secum educunt, ut qui crassiores corpulentioresque sunt, tum quia a carne quidem remotus est locus ille, qui lentam glutinosamque materiam continet, ita ut non sine magno negotio dimoveri queat, ventri autem vicinus : aut enim in eo consistit, aut prope : quo fit ut difficile alioquin educatur.

23. Cur minus inter laborandum ipsum sudamus quam a labore cessantes? An quoniam laborantes quidem agimus, post laborem vero egimus? Rationi igitur congruit plus tunc excerni : tunc enim fiebat, nunc vero jam adest. An quia quum laboramus quidem, carnium meatus retento spiritu obserantur, quum autem cessaverimus, aperiuntur? quo fit etiam ut spiritu retento minus sudemus.

24. Quamobrem non inter currendum agitandumque corpus, sed posteaquam cessatum est, plus sudoris evadit? An quia tunc quoque quemadmodum manu, vel alio quodam obstaculo, fluentem aquam quæ undique corrivatur, retinere licet, dimissa vero manu, copiosior profluit quam olim, quemadmodum, inquam, manus, sic etiam spiritus obstructionem facere potest, ut in clepsydra, idque rursus in vesicam tendit? intus enim includit. Pari igitur ratione in motu vehementi spiritus intus includitur : propterea et venæ distenduntur, quum humor exire nequeat; ubi autem humor confertim inclusus est, spiritu relaxato, subito erumpit.

25. Cur si quis, quum biberit, superedat, minus sudat? An quoniam cibus humorem quidem adtrahit, quasi spongia incidens? Pro satis magna autem parte impetum inhibere licet, si eodem modo quo in fluentis fit, cibo ingesto meatus præcludas.

26. Cur trepidantes pedibus sudant, non vero facie? magis enim rationi congrueret ut tunc pedibus quoque potius sudaretur, quum corpore toto sudatur : locus namque frigidissimus est : quamobrem minime solent sudare. Et quidem medici in adversis valetudinibus pedes potissimum operiendos præcipiunt, quoniam frigus hi facile sentiunt, ita ut rigoris initium reliquo etiam corpori facile subpeditent. An quod trepidatio quoque non caloris de summis locis ad ima transitio est, ut adcidit in metu, ex quo alvi etiam metuentium relaxantur, sed incrementum caloris, ut in ira? ira enim caloris fervor cordi proximi est, et trepidantis adfectus non propter metum refrigerationemque fit, sed propter futurum eventum.

27. Cur iidem facie non sudant, sed perquam erubescunt? An quoniam amplius incalescunt, ita ut faciei quidem humorem calor exsiccet superiora petens, pedum vero

λάζουσα, τὸ δ' ἐν τοῖς ποσὶ συντήκει διὰ τὸ ἐλάττων μὲν εἶναι, πλείων δὲ τῆς ἐμφύτου καὶ προϋπαρχούσης.

60. Cur tum aves et homines, tum inter animantes fortes sunt duriores? An quod animositas cum calore est? metus enim refrigeratio est. Quorumcumque igitur sanguis præcalidus est, hæc et fortia et animosa sunt; sanguis enim alimentum est: nam quæcumque ex stirpibus aqua calida rigantur, omnes duriores sunt.

61. Διὰ τί τέρατα τίκτουσι μάλιστα τὰ τετράποδα τὰ μὴ μεγάλα, ἄνθρωπος δὲ καὶ τὰ μέγαλα ἧττον, οἷον ἵπποι καὶ ὄνοι; Ἢ ὅτι πολύγονα ταῦτα; οἷον κύνες καὶ ὕες καὶ αἶγες καὶ πρόβατα πολὺ μᾶλλον τῶν μεγάλων, ἐκείνων δὲ τὰ μὲν ὅλως μονοτόκα, τὰ δ' ὡς ἐπὶ τὸ πολύ. Τὰ δὲ τέρατα γίνεται ἐπαλλαττόντων τῶν σπερμάτων ἀλλήλοις καὶ συγχεομένων ἐν τῇ ἐξόδῳ τῆς γονῆς, ἢ ἐν τῇ μίξει τῇ ἐν τῇ ὑστέρᾳ τῆς θηλείας· διὸ καὶ ὄρνιθες αὐτὰ ποιοῦσιν· τὰ γὰρ ᾠὰ δίδυμα τίκτουσι, τὰ δὲ τέρατα ἐκ τῶν διδύμων γίνεται, ὧν ἡ λέκιθος τῷ ὑμένι οὐ διαιρεῖται.

61. Cur monstra inprimis parvæ quadrupedes pariunt, homo autem grandesque animantes minus, ut equi et asini? An quod hæ fœcundiores sunt? sic canes, sues, capræ, oves longe sunt fœcundiores quam grandes; illarum vero aliæ quidem omnino singulos pariunt, aliæ vero magna ex parte. Monstra autem tum fiunt, quum semina inter sese intricantur confunduntarque, vel ubi exit genitura, vel ubi in feminæ matrice permiscentur: unde et aves monstra edunt: ova enim pariunt gemina, monstra autem ex geminis proveniunt, quorum vitellus nulla interjecta membrana distinguitur.

62. Διὰ τί ἡ κεφαλὴ δασεῖα τῶν ἀνθρώπων μᾶλλον τοῦ ἄλλου σώματος καὶ οὐ κατὰ λόγον, τοῖς δ' ἄλλοις ζῴοις τοὐναντίον; Ἢ ὅτι καὶ τῶν ἄλλων τὰ μὲν εἰς ὀδόντας ἐκδίδωσι καθ' ὑπερβολὴν τῆς τροφῆς, τὰ δ' εἰς

62. Cur hominum caput pilosius est quam reliquum corpus, nec pro portione, celerorum autem animalium contra? An quia inter cetera alia quidem in dentes elocant, si quid superest alimenti, alia vero in cornua, alia tandem in pi-

κέρατα, τὰ δ' εἰς τρίχας; Ὅσα μὲν εἰς κέρατα, ἧττον τὴν κεφαλὴν ἔχει δασεῖαν· ἐκεῖ γὰρ ἀνήλωται· ὅσα δ' εἰς ὀδόντας, μᾶλλον μὲν τῶν κερατοφόρων· ἔχει γὰρ λοφιάν, ἧττον δὲ τῶν τοιούτων, οἷον ὀρνέων· ἔχουσι γὰρ ταῦτα καὶ τὴν τῶν ἀνθρώπων. Ὃ ἐκείνοις πολλαχῇ διὰ πλῆθος, τοῦτο εἰς κεφαλὴν ἐκδίδωσιν· οὐδὲ γὰρ οὐδὲν ἔχει, οὐδὲ πολὺ οὕτως ὥστε πανταχῇ.

los? Quæ igitur in cornua, capite minus piloso sunt: absumptum enim illuc est; quæ autem in dentes, pilosius quidem quam cornigera obtinent: comas enim caproneas habent, sed minus copiosas quam reliqua animalia hujusmodi coma prædita, ut muli: hæc enim vel idem quod homines habent excrementum. Quod his præ magna copia multis luxuriat locis, id homo in caput elocat: nec enim nullum habet, nec adeo multum ut undique excrescant pili.

63. Διὰ τί ἄνθρωπος μόνος τῶν ζῴων πολιὰς ἔχει; Ἢ ὅτι τὰ μὲν πλεῖστα τῶν ζῴων ῥυάδα τὴν τρίχα ἀνὰ πᾶν ἔτος ἔχει, οἷον ἵππος, βοῦς, ἔνια δὲ ῥυάδα μὲν οὐκ ἔχει, βραχύβια δ' εἰσί, καθάπερ πρόβατον καὶ ἄλλα· οὗ ἡ θρὶξ ὥσπερ οὐ γηράσκουσα οὐδὲ πολιοῦται· ὁ δ' ἄνθρωπος οὔτε ῥυάδα ἔχει τὴν τρίχα, μακρόβιόν τ' ἐστίν, ὥσθ' ὑπὸ τοῦ χρόνου πολιοῦται;

63. Cur unus omnium animantium homo canet? An quod pars animantium maxima pilum quotannis deciduum habet, ut equus, ut bos; nonnulla vero deciduum quidem non habent, tempus autem vivunt breve, ut oves aliaque, quorum pilus, utpote non senescens, non canescit; at homo nec deciduum habet pilum, et longævus est, ita ut tempore canescat?

64. Διὰ τί, ὅσοις τὰ ἀπὸ τοῦ ὀμφαλοῦ κάτω μείζονα ἢ τὰ πρὸς τὰ στήθη, βραχύβιοι καὶ ἀσθενεῖς; Ἢ ὅτι ἡ κοιλία ψυχρὰ διὰ μικρότητα, ὥστ' οὐ πεπτική, ἀλλὰ περιττωματική, οἱ δὲ τοιοῦτοι νοσακεροί;

64. Cur vita brevi imbecillisque viribus sunt quæ partem umbilico subjectam majorem habent quam ad pectus pertinentem? An quod venter ob exiguitatem frigidus est, ut concoquendi facultate non excellat, sed excrementis redundet; morbis autem patent qui hujusmodi sunt?

65. Διὰ τί τὰ μὲν γίνεται τῶν ζῴων οὐ μόνον ἐξ ἀλλήλων, ἀλλὰ καὶ αὐτόματα, τὰ δ' ἐξ ἀλλήλων μόνον, οἷον ἄνθρωπος καὶ ἵππος; Ἢ κἂν εἰ καὶ μὴ δι' ἑτέρας αἰτίας, ἀλλ' ὅτι τοῖς μὲν ὀλίγος ὁ χρόνος τῆς γενέσεως, ὥσθ' ἡ γεννητικὴ ὥρα [οὐχ?] ὑπερτείνει καὶ ἐνδέχεται γενέσθαι ἐν τῇ μεταβολῇ τῶν ὡρῶν, τῶν δὲ πολὺ ἡ γένεσις ὑπερτείνει; ἐνιαύσιοι γὰρ ἢ δεκάμηνοί εἰσιν· ὥστ' ἀνάγκη [ἢ μή?] γίνεσθαι ἢ ἐξ ἀλλήλων γίνεσθαι.

65. Quam ob causam animantium alia quidem non solum ex se invicem, sed etiam sponte naturæ procreantur, alia vero ex se invicem duntaxat, ut homo, ut equus? An etsi non alias ob causas, tamen quod apud illa quidem gignendi tempus breve est, ita ut tempestas generationi dicata contineri possit intra mutationem tempestatum anni, ejusque limites non excedat; his vero multum excedit generatio? etenim vel anno, vel decem mensium spatio gignuntur, ita ut necessario vel nullo pacto, vel ex se invicem procreentur.

66. Διὰ τί τῶν Αἰθιόπων οἱ μὲν ὀδόντες λευκοί, καὶ λευκότεροι ἢ τῶν ἄλλων, οἱ δ' ὄνυχες οὐκέτι; Ἢ οἱ μὲν ὄνυχες, ὅτι καὶ τὸ δέρμα μέλαν, καὶ μελάντερον ἢ τῶν ἄλλων, οἱ δ' ὄνυχες ἐκ τοῦ δέρματος φύονται; Οἱ δ' ὀδόντες λευκοὶ διὰ τί; Ἢ ὅτι ἐξ ὧν τὸ ὑγρὸν ἐξάγει ὁ ἥλιος ἄνευ τοῦ ἐπιβάπτειν, λευκαίνεται, οἷον καὶ τὸν κηρόν; Τὸ μὲν οὖν δέρμα ἐπιβάπτει, τοὺς δ' ὀδόντας οὐκ ἐπιβάπτει, ἀλλὰ τὸ ὑγρὸν διὰ τὴν ἀλέαν ἐξατμίζεται ἐξ αὐτῶν.

66. Cur Æthiopum dentes quidem candidi, et candidiores quam ceterorum, ungues autem non item? An ungues quidem, quia cutis etiam nigra est, et nigrior quam ceterorum, ungues autem ex cute proveniunt? Sed cur dentes candent? An quod albescunt illa quibus sol humorem detrahit, ita ut non inficiantur, quo modo etiam cera? Itaque cutem inficit calor, dentes vero non inficit, sed humor eorum propter æstum exhalatur.

67. Διὰ τί τὰ μὲν ἀφαιρουμένης τῆς κεφαλῆς ἀποθνήσκει εὐθύς, ἢ ταχύ, τὰ δ' οὔ; Ἢ ὅσα ἄναιμα καὶ ὀλιγότροφα, τοῦτο πάσχει; οὔτε τροφῆς γὰρ δεῖται ταχύ, οὔτ' ἐγχεῖται αὐτῶν τὸ θερμὸν ἐν τῷ ὑγρῷ, ὧν ἄνευ οὐχ οἷόν τε ζῆν τοῖς ἐναίμοις· τούτοις δ' οἷόν τ' ἐστίν· ἀπνευστὶ ζῆν γὰρ δύνανται πολὺ μᾶλλον. Ἡ δ' αἰτία ἐν ἑτέροις εἴρηται.

67. Cur animantium alia quidem præciso capite vel protinus moriuntur, vel paulo post, alia vero non? An ita adficiuntur quæcumque sanguine carent exiguoque utuntur cibo? neque enim cito cibum desiderant, neque in humorem calor eorum infusus est: quibus rebus privatum animal sanguine præditum vivere nequit; illa vero queunt: sine respiratione enim multo diutius vivere possunt. Causa hujus rei alias exposita est.

ΤΜΗΜΑ ΙΑ.

ΟΣΑ ΠΕΡΙ ΦΩΝΗΣ.

SECTIO XI.

QUÆ AD VOCEM PERTINENT.

1. Διὰ τί τῶν αἰσθήσεων ἐκ γενετῆς μάλιστα τὴν ἀκοὴν πηροῦνται; Ἢ ὅτι ἀπὸ τῆς αὐτῆς ἀρχῆς εἶναι δόξειεν ἂν ἥ τε ἀκοὴ καὶ ἡ φωνή, ῥᾷστα δὲ δοκεῖ διαφθείρεσθαι ἡ διάλεκτος οὖσα εἶδος φωνῆς, καὶ χαλεπώ-

1. Cur sensuum auditu maxime inde ab ortu mutilantur? An quod auditus et vox ab eodem initio proficisci videri possint? atqui locutio facillime depravari videtur, quæ species vocis est, eademque perfici difficillime. Indicium

τατα ἐπιτελεῖσθαι; Σημεῖον δ' ὅτι μετὰ τὸ γενέσθαι πολὺν χρόνον ἐνεοί ἐσμεν· τὸ μὲν γὰρ πρῶτον ὅλως οὐδὲ λαλοῦμεν οὐδέν, εἶτα ὀψέ ποτε ψελλίζομεν, διά τε τὸ τὴν διάλεκτον εὔφθαρτον εἶναι, τὴν αὐτὴν δ' ἀρχὴν ἀμφοτέρων εἶναι καὶ τῆς διαλέκτου (φωνὴ γάρ τις) καὶ τῆς ἀκοῆς ὥσπερ καὶ εἰ συμβεβηκότος, ῥᾷστα τῶν αἰσθήσεων φθείρεται, καὶ οὐ καθ' αὑτήν, ἡ ἀκοή. Τεκμήριον δ' ἐστι καὶ ἐκ τῶν ἄλλων ζῴων λαβεῖν ὅτι παντελῶς εὔφθαρτός ἐστιν ἡ ἀρχὴ τῆς διαλέκτου· λαλεῖ γὰρ οὐθὲν τῶν ἄλλων ζῴων πλὴν ἀνθρώπου, καὶ οὗτοι δ' ὀψέ ποτε, καθάπερ εἴρηται.

hujus rei est, quod postquam nati sumus, diu muti sumus: principio namque ne minimum quidem eloquimur, deinde sero tandem balbutimus, et quoniam facile pervertitur locutio, idemque initium locutionis (vocis enim quædam species est) quod auditus qui quasi vocis accidens est, omnium facillime sensuum auditus pervertitur, idque non per se. Argumentum autem, facile omnino loquendi principium destrui posse, vel ex ceteris animantibus erui licet: nullum enim ex celeris animalibus loquitur præter hominem, et hic quoque sero tandem, ut dictum est.

2. Διὰ τί οἱ κωφοὶ πάντες διὰ τῶν ῥινῶν φθέγγονται; Ἢ διὰ τὸ ἐγγὺς εἶναι τοῦ ἐνεοὺς εἶναι; οἱ δ' ἐνεοὶ λαλοῦσι διὰ τῶν ῥινῶν· ταύτῃ γὰρ αὐτῶν ἐκπίπτει τὸ πνεῦμα διὰ τὸ τῷ στόματι μεμυκέναι, μεμύκασι δέ, ὅτι οὐθὲν εἰς φωνὴν χρῶνται τῇ γλώττῃ.

2. Cur omnes surdi vocem reddunt per nares? An quod prope absunt ut muti sint? muti enim per nares loquuntur: illac namque excidit halitus eorum, quia ore compresso sunt, quod compressum ideo est, quoniam lingua ad vocem reddendam nullatenus utuntur.

3. Διὰ τί μεγαλόφωνοι πάντες εἰσὶν οἱ θερμοὶ τὴν φύσιν; Ἢ ὅτι ἀνάγκη καὶ ἀέρα πολὺν καὶ ψυχρὸν ἐν τούτοις εἶναι; ἕλκει γὰρ τὸ πνεῦμα τὸ θερμὸν πρὸς ἑαυτὸ καὶ ἀέρα, καὶ πλείω τὸ πλεῖον, ἡ δὲ μεγάλη φωνὴ γίνεται ἐν τῷ πολὺν ἀέρα κινεῖν, καὶ ὀξεῖα ἐν τῷ ταχέως, βαρεῖα δ' ἡ ἐν τῷ βραδέως.

3. Cur omnes qui natura sunt calida, magnam vocem emittunt? An quod et multum in his aerem frigidumque inesse necessarium est? calor enim ad se spiritum trahit et aerem, eoque plus, quo amplior est; vox autem magna eo constat, ut aeris multum moveatur, itemque acuta ut celeriter, gravisque ut tarde.

4. Διὰ τί οἱ κωφοὶ πάντες διὰ τῶν ῥινῶν φθέγγονται; Ἢ διὰ τὸ βιαιότερον πνεῖν τοὺς κωφούς; ἐγγὺς γὰρ τοῦ ἐνεοὶ εἶναί εἰσιν. Διίσταται οὖν τῶν μυκτήρων ὁ πόρος ὑπὸ τοῦ πνεύματος, οἱ τοιοῦτοι δὲ διὰ ῥινῶν φθέγγονται.

4. Cur omnes surdi per nares vocem emittunt? An quod surdi violentius spirant, quippe qui prope absunt ut muti sint? Meatus itaque narium spiritu distenditur; tales autem per nares vocem emittunt.

5. Διὰ τί εὐηκοώτερα τὰ τῆς νυκτός; Ἢ ὅτι μᾶλλον ἠρεμία διὰ τὴν τοῦ θερμοτάτου ἀπουσίαν; διὸ καὶ ὡς ἐπὶ τὸ πολὺ ἀταρακτότερα· ὁ γὰρ ἥλιος ὁ κινῶν.

5. Cur auditui potius favet nox? An quod requies magis prævalet, quoniam res calidissima abest? unde tranquillior quoque magna ex parte est: sol enim est qui movet.

6. Διὰ τί πόρρωθεν αἱ φωναὶ ὀξύτεραι δοκοῦσιν εἶναι; Οἱ γοῦν μιμούμενοι τοὺς σφόδρα πόρρω ὄντας καὶ βοῶντας ὀξὺ φθέγγονται καὶ ὅμοιον τοῖς ἀπηχοῦσιν, καὶ τῆς ἠχοῦς ὀξύτερος φαίνεται ὁ ψόφος, ἔστι δὲ πόρρω· ἀνακλᾶται γάρ. Οὐκοῦν ἐπεὶ ὀξὺ μὲν ἐν ψόφῳ τὸ ταχύ, βαρὺ δὲ τὸ βραδύ, ἔδει βαρυτέρας πόρρωθεν φαίνεσθαι τὰς φωνάς· τὰ γὰρ αὖ φερόμενα πάντα βραδύτερον φέρεται, ὅσῳ ἂν ἀπέχῃ τῆς ἀρχῆς πλεῖον, καὶ τέλος πίπτει. Πότερ' οὖν ὅτι οἱ μιμούμενοι ἀμενηνῇ τῇ φωνῇ μιμοῦνται καὶ λεπτὴν τὴν πόρρωθεν φωνήν; λεπτὴ δὲ βαρεῖα οὐκ ἔστιν, οὐδὲ μικρὸν καὶ ἀμενηνὸν φθέγγεσθαι βαρύ, ἀλλ' ὀξὺ ἀνάγκη. Ἢ οὐ μόνον οἱ μιμούμενοι διὰ τοῦτο μιμοῦνται, ἀλλὰ καὶ οἱ ψόφοι αὐτοὶ ὀξύτεροι γίνονται; Αἴτιον δ' ὅτι ὁ ἀὴρ ὁ φερόμενος ποιεῖ τὸν ψόφον, καὶ ὥσπερ τὸ πρῶτον ψοφεῖ τὸ κινῆσαν τὸν ἀέρα, οὕτω δεῖ πάλιν ποιῆσαι τὸν ἀέρα ἀεὶ ἄλλον κινοῦντα εἶναι, τὸν δὲ κινούμενον· διὸ ὁ ψόφος συνεχής, ὅτι ἀεὶ ἐκδέχεται κινοῦντα κινῶν, ἕως ἂν ἀπομαρανθῇ, ὃ ἐπὶ τῶν σωμάτων ἐστὶ τὸ πεσεῖν, ὅταν μηκέτι δύνηται ὠθεῖν ὁ ἀὴρ ἔνθα μὲν τὸ βέλος, ἔνθα δὲ τὸν ἀέρα· ἡ μὲν γὰρ φωνὴ γίνεται ἡ συνεχὴς

6. Cur voces e longinquo acutiores esse videntur? Itaque qui homines procul admodum distantes atque clamantes imitantur, vocem acutam emittunt et similem sono, quem resonantia edunt; echus quoque sonus acutior adparet, hic vero procul abest, quippe quum refrangitur. Quum igitur soni acumen velocitate continetur, gravitas vero tarditate, voces e longinquo tardiores adparere deberent: quæ enim retro feruntur, eo tardius omnia moventur, quo longius a principio discesserint, tandemque decidunt. Utrum igitur qui imitantur, voce exili simulant longinquam, quæ ipsa quoque tenuis est? tenuis enim gravis non est, et qui exili debilique voce utuntur, necessario non gravem, sed acutam emittunt. An non modo qui imitantur, ea de causa ita simulant, verum etiam soni ipsi acutiores fiunt? Causa vero est, quod aer motu citatus sonum excitat, et quemadmodum primum illud sonat quod aerem movit, sic rursus efficere debet ut semper alius quidem aer moveat, alius vero moveatur: eapropter continuus est sonus, quia semper moventi movens subcedit, donec emarcescat: quæ quidem res in corporibus casus est, ubi aer non amplius impellere valet illic quidem telum, hic vero aerem: vox enim continua redditur, ubi

ἀέρος ὠθουμένου ὑπ' ἀέρος, τὸ δὲ βέλος φέρεται σώματος ὑπ' ἀέρος κινουμένου. Ἐνταῦθα μὲν οὖν ἀεὶ τὸ αὐτὸ φέρεται σῶμα, ἕως ἂν καταπέσῃ, ἐκεῖ δ' ἀεὶ ἕτερος ἀήρ. Καὶ πρῶτον ἐλάττω θᾶττον μὲν κινεῖται, ἐπ' ὀλίγον δέ· διὸ πόρρω ὀξύτεραι καὶ λεπτότεραι αἱ φωναί· τὸ γὰρ θᾶττον ὀξύ, ὥσπερ καὶ διηπόρηται, ὥσπερ ἡ αὐτὴ αἰτία δι' ἣν καὶ οἱ μὲν παῖδες καὶ οἱ κάμνοντες ὀξὺ φθέγγονται, οἱ δ' ἄνδρες καὶ οἱ ὑγιαίνοντες βαρύ. Τὸ δὲ τοῖς ἐγγὺς μὴ ἐπίδηλον εἶναι τὴν φωνὴν ἢ βαρυτέραν ἢ ὀξυτέραν γινομένην, καὶ ὅλως μὴ ὁμοίως ἔχειν τοῖς ῥιπτομένοις βάρεσιν, αἴτιον ὅτι τὸ μὲν ῥιφθὲν ἓν φέρεται ἀεὶ τὸ αὐτό, ὁ δὲ ψόφος ἀήρ ἐστιν ὠθούμενος ὑπ' ἀέρος· διὸ καὶ τὸ μὲν εἰς ἓν πίπτει, ἡ δὲ φωνὴ πανταχῇ, ὥσπερ ἂν εἰ τὸ ῥιφθὲν ἅμα φερόμενον ἀπείρως θρυφθείη, καὶ ἔτι εἰς τοὔπισθεν.

7. Διὰ τί αἱ νεηλιφεῖς οἰκίαι μᾶλλον ἠχοῦσιν; Ἢ ὅτι μᾶλλον ἀνάκλασις γίνεται διὰ τὴν λειότητα; λειότεραι δὲ διὰ τὸ ἀρραγὲς καὶ τὸ συνεχές. Δεῖ δὲ μὴ παντελῶς ὑγράν, ἀλλ' ἤδη ξηρὰν λαμβάνειν· ἀπὸ πηλοῦ γὰρ οὐκ ἔστιν ἀνάκλασις· διὰ ταῦτα γὰρ καὶ τὰ κονιάματα μᾶλλον ἠχεῖ. Συμβάλλεται δ' ἴσως καὶ ἡ ἀκινησία τοῦ ἀέρος· ἀθρόος γὰρ ἰὼν μᾶλλον ἀποπλήττεται τὸν προσπίπτοντα.

8. Διὰ τί, ἐάν τις πίθον καὶ κεράμια κενὰ κατορύξῃ καὶ πωμάσῃ, μᾶλλον ἠχεῖ τὰ οἰκήματα, καὶ ἐὰν φρέαρ ἢ λάκκος ᾖ ἐν τῇ οἰκίᾳ; Ἢ ὅτι ἐπεὶ ἀνάκλασις ἡ ἠχώ, δεῖ περιειλημμένον ἀθρόον εἶναι τὸν ἀέρα, καὶ ἔχειν πρὸς ὃ ἀνακλασθήσεται προσπίπτον πυκνὸν καὶ λεῖον; οὕτω γὰρ μάλιστα ἠχὼ γίνεται. Τὸ μὲν οὖν φρέαρ καὶ ὁ λάκκος ἔχει τὴν στενότητα καὶ τὴν ἄθροισιν, οἱ δὲ πίθοι καὶ τὰ κεράμια καὶ τὴν πυκνότητα τῶν περιεχόντων, ὥστ' ἐξ ἀμφοτέρων τὸ συμβαῖνον· καὶ γὰρ τὰ κοῖλα μᾶλλον ἠχεῖ· διὰ τοῦτο καὶ ὁ χαλκὸς μάλιστα τῶν ἄλλων. Ὅτι δὲ κατορωρυγμένα, οὐθὲν ἄτοπον· ἡ γὰρ φωνὴ φέρεται κάτω οὐχ ἧττον· ὅλως δὲ πανταχῇ δοκεῖ καὶ κύκλῳ φέρεσθαι.

9. Διὰ τί δὲ μᾶλλον, ἐὰν κατορύξῃ τις, ἠχεῖ ἢ ἐὰν μή; Ἢ ὅτι περιστεγόμενα μᾶλλον εἰς αὐτὰ δέχεται καὶ κατέχει τὸν ἀέρα; Συμβαίνει δὲ καὶ τὴν πληγὴν σφοδροτέραν γίνεσθαι.

10. Διὰ τί τὸ ὕδωρ τὸ ψυχρὸν ἐκ τοῦ αὐτοῦ ἀγγείου ἐκχεόμενον ὀξύτερον ποιεῖ τὸν ψόφον; Ἢ ὅτι θάττων ἡ φορά; βαρύτερον γάρ· ἡ δὲ θάττων ὀξύτερον ποιεῖ τὸν ψόφον· τὸ δὲ θερμὸν καὶ τῇ μανότητι καὶ τῇ ἀναφορᾷ κουφίζει. Παρόμοιον δ' ὅτι καὶ αἱ δᾷδες καιόμεναι ἀσθενεστέραν τὴν πληγὴν ποιοῦσιν.

11. Διὰ τί τοῖς ἠγρυπνηκόσιν ἡ φωνὴ τραχυτέρα; Ἢ διότι ὑγρότερον τὸ σῶμα διὰ τὴν ἀπεψίαν, καὶ οὐχ ἥκιστα περὶ τὸν ἄνω τόπον (διὸ καὶ βάρος ἐν τῇ κεφαλῇ) ὑγρότητός τε περὶ τὸν βρόγχον οὔσης, ἀνάγκη καὶ τραχυτέραν εἶναι τὴν φωνήν; ἡ μὲν γὰρ τραχύτης

aer aerem propellit, telum autem fertur, ubi corpus ab aere movetur. Hic igitur semper idem corpus fertur donec corruat, hic vero alius atque alius aer. Atque primum quidem minora velocius moventur, sed minus: qua de causa acutiores ac tenuiores sunt voces longinquæ: est enim velocius acutum, qua ratione et quæstionem proposuimus, quemadmodum eadem quoque causa est, cur et pueri quidem et ægrotantes acutam, viri autem et bene valentes gravem emittant vocem. Quod vero prope adstantibus manifestum non est, graviorne, an acutior vox emittatur, quodque omnino vox non eodem modo se habet quo pondera projecta, hujus rei causa est quod projectum quidem pondus semper unum idemque manet, dum fertur; sonus autem aer propulsus ab aere est: hinc etiam pondus quidem unum in locum cadit, vox autem ubique, perinde ac si projectum pondus, quo tempore fertur, simul in partes frangeretur innumeras, idque etiam retrorsum.

7. Cur domus nuper illitæ magis sonant? An quod melior fit repercussio propter lævitatem? læviores autem ideo sunt, quoniam continuæ rimisque immunes. Non tamen penitus humidam, sed quæ jam sicca est, sumere oportet: nulla enim refractio de limo fit: hæc namque causa est, cur etiam opus tectorium magis sonet. Quin etiam aeris immobilitas fortasse aliquid confert: confertim enim fluens obcurrentem magis repercutit.

8. Quam ob causam, si quis dolium et fictilia inania obruat operculoque contegat, domicilia sonant amplius, nec non si puteus, vel cisterna in domo sit? An quod, quum echo refractio est, adesse debet aer confertim conclusus, habereque rem densam ac lævem in quam incidens refrangatur? sic enim potissimum echo nascitur. Ergo puteus et cisterna angustiam obtinent et aeris adcumulationem subpeditant, dolia vero atque fictilia ambientium densitatem, ita ut utrique causæ tribuenda sint quæ eveniunt: concava enim etiam magis sonant: quapropter et æs omnium aliorum maxime. Nequaquam vero absurdum est quod obruta illud faciant: vox enim non minus in ima se defert, ac denique quoquoversus, atque etiam in orbem ferri videtur.

9. Cur si quis obruerit, magis resonant quam si non? An quod protegentia magis intra sese recipiunt et detinent aerem? Simulque accidit ut ictus vehementior fiat.

10. Cur aqua frigida ex eodem profluens vase acutiorem efficit sonum? An quod motus velocior est? gravior enim frigida est; acutiorem autem sonum efficit quæ velocior est; calor vero et raritate sublevat et elatione. Subsimile autem est quod tædæ quoque ardentes ictum infligunt imbecilliorem.

11. Cur hominibus qui vigilaverint, vox asperior redditur? An quod corpus ob cruditatem humidius est, maximeque circa locum superiorem (unde caput quoque gravescit), tum quod ubi guttur humor obcupat, vocem quoque asperiorem esse necesse est? asperitas enim ob inæqualitatem,

διὰ τὴν ἀνωμαλίαν, ἡ δὲ βαρύτης διὰ τὴν ἔμφραξιν· βραδυτέρα γὰρ ἡ φορά.

12. Διὰ τί μετὰ τὰ σιτία τάχιστα ἀπορρήγνυται ἡ φωνή; Ἢ ὅτι κοπτόμενος μὲν ὁ τόπος ἐκθερμαίνεται, θερμαινόμενος δ' ἕλκει τὴν ὑγρότητα; πλείων δ' αὕτη καὶ ἑτοιμοτέρα διὰ τὴν προσφοράν.

13. Διὰ τί οἱ κλαίοντες ὀξὺ φθέγγονται, οἱ δὲ γελῶντες βαρύ; Ἢ ὅτι οἱ μὲν ὀλίγον κινοῦσι πνεῦμα δι' ἀσθένειαν, οἱ δὲ σφοδρῶς, ὃ ποιεῖ ταχὺ φέρεσθαι τὸ πνεῦμα, τὸ δὲ ταχὺ ὀξύ (καὶ γὰρ ἀπὸ συντόνου τοῦ σώματος ῥιπτούμενον ταχὺ φέρεται)· ὁ δὲ γελῶν τοὐναντίον διαλελυμένως· οἱ δ' ἀσθενεῖς ὀξύ (ὀλίγον γὰρ ἀέρα κινοῦσιν)· οἱ δ' ἐπιπολῆς; Ἔτι οἱ μὲν γελῶντες θερμὸν τὸ πνεῦμα ἀφιᾶσιν, οἱ δὲ κλαίοντες, ὥσπερ καὶ ἡ λύπη κατάψυξίς ἐστι τοῦ τόπου περὶ τὰ στήθη, καὶ τὸ πνεῦμα ψυχρότερον ἀφιᾶσιν. Τὸ μὲν οὖν θερμὸν πολὺν ἀέρα κινεῖ, ὥστε βραδέως φέρεσθαι, τὸ δὲ ψυχρὸν ὀλίγον. Συμβαίνει δὲ τοῦτο καὶ ἐπὶ τῶν αὐλῶν· οἱ γὰρ θερμοὶ τῷ πνεύματι αὐλοῦντες πολὺ βαρύτερον αὐλοῦσιν.

14. Διὰ τί οἱ παῖδες καὶ τὰ ἄλλα τῶν ζῴων τὰ νέα ὀξύτερον φθέγγονται τῶν τελείων, καὶ ταῦτα τῆς ὀξύτητος σφοδρότητος οὔσης; Ἢ ἡ φωνή ἐστιν ἀέρος κίνησις, καὶ ἡ θάττων ὀξυτέρα, ῥᾷον δὲ καὶ θᾶττον ὁ ὀλίγος τοῦ πολλοῦ κινεῖται ἀήρ; Κινεῖται δ' ἢ συγκρινόμενος, ἢ διακρινόμενος ὑπὸ θερμοῦ. Ἐπεὶ δ' ἡ μὲν εἰσπνοή ἐστι ψυχροῦ εἰσαγωγή, συγκρίνοιτ' ἂν ἐν αὐτῇ ὁ ἐν ἡμῖν ἀήρ· ἡ δ' ἐκπνοή, θερμοῦ κινήσαντος ἀέρα, γίνοιτ' ἂν ἡ φωνή· ἐκπνέοντες γάρ, οὐκ εἰσπνέοντες φωνοῦμεν. Ἐπεὶ δὲ τὰ νέα θερμότερά ἐστι τῶν πρεσβυτέρων καὶ τοὺς ἐν αὐτοῖς πόρους στενωτέρους ἔχει, ἐλάττω ἂν ἀέρα ἔχοι ἐν ἑαυτοῖς· ὄντος δὲ τοῦ τε κινουμένου ἐλάττονος καὶ τοῦ κινοῦντος θερμοῦ πλείονος ἐν αὐτοῖς, θᾶττον ἂν δι' ἄμφω ἡ κίνησις γένοιτο τοῦ ἀέρος· ἡ δὲ θάττων ὀξυφωνοτέρα ἂν εἴη διὰ τὰ προειρημένα.

15. Διὰ τί οἱ κλαίοντες ὀξὺ φθέγγονται, οἱ δὲ γελῶντες βαρύ; Ἢ ὅτι οἱ μὲν κλαίοντες συντείνοντες καὶ συνάγοντες τὸ στόμα φωνοῦσιν; Τῇ τε δὴ συντονίᾳ κινεῖται ταχὺ ὁ ἐν αὐτοῖς ἀήρ, καὶ τῷ διὰ στενοῦ τοῦ στόματος φέρεσθαι θᾶττον φέρεται· δι' ἄμφω οὖν ὀξεῖα γίνεται ἡ φωνή· οἱ δὲ γελῶντες ἀνέντες τὸν τόνον γελῶσι καὶ κεχηνότες. Ἐκπέμποντες οὖν διὰ τοῦτ' εὐρέως καὶ βραδέως τὸν ἀέρα εἰκότως βαρυφωνοῦσιν.

16. Διὰ τί οἱ ἄγονοι, οἷον παῖδες, γυναῖκες, καὶ οἱ ἤδη γέροντες, καὶ οἱ εὐνοῦχοι ὀξὺ φθέγγονται, οἱ δ' ἄνδρες βαρύ; Ἢ καθάπερ ἡ γραμμὴ καὶ τὰ ἄλλα λεπτὰ ἓν διάστημα ἔχει, τὰ δὲ παχέα πλείω, οὕτω καὶ ἡ λεπτὴ φωνὴ ἓν ἂν ἔχοι διάστημα· ῥᾷον δὲ καὶ ποιῆσαι καὶ κινῆσαι ἐστιν ἓν ἢ πλείω; Ἐχόντων οὖν τῶν προειρημένων πνεῦμα ἀσθενές, κινεῖ αὐτῷ ἀέρα ὀλίγον·

gravitas vero propter obstructionem supervenit : tardius enim fertur.

12. Cur cibo ingesto citissime abrumpitur vox? An quod locus dum percutitur quidem, concalescit, concalescens vero humorem adtrahit? is enim ob adsumptum cibum et largior est et paratior.

13. Quare qui flent, vocem mittunt acutam; qui rident vero, gravem? An quod hi quidem ob debilitatem parum spiritus movent, illi vero vehementer intendunt, quod facit ut spiritus velociter feratur, velox autem acutus est (quum enim ab intento projicitur corpore, fertur velociter); contra qui ridet, dissolute movet; sed debiles acutam emittunt vocem (parum enim aeris moveut); qui rident vero superficie tenus tantum. Ad hæc qui rident, spiritum calidum emittunt; qui vero flent, quemadmodum dolor quoque refrigeratio loci circa pectus est, ita et frigidiorem emittunt spiritum. Calidum itaque multum aeris movet, ita ut tarde feratur; frigidum autem parum. Idem vel in tibiis evenit : quodsi enim spiritu tibia canunt calido, multo gravius canunt.

14. Cur pueri ceteraque animalia juniora vocem reddunt acutiorem quam adulta, quum tamen acumen vehementia sit? An vox motus aeris est, motusque velocior acutior; facilius autem et velocius parum quam multum aeris movetur? Movetur autem quoties vel cogitur, vel discernitur a calore. Sed quum inspiratio quidem frigidi introductio est, aer intra nos per eam cogetur; exspiratio vero, quum aer a calore movetur, vox fiet : exspirantes enim, non inspirantes vocem edimus. Quum antem novella calidiora sint quam vetusta, meatusque intra se habeant arctiores, minus intra se aeris continebunt, quumque calor qui moveat, amplior in his insit, res autem quæ moveatur, parcior, velocius utraque de causa aer movebitur; at velocior vocem producet acutiorem ob ea quæ ante retulimus.

15. Cur vocem qui flent, acutam emittunt, qui vero rident, gravem? An quia flentes quidem intendendo contrahendoque os vociferantur? Itaque propere aer intra eos propter intentionem movetur, quumque per os transeat angustum, fertur velocius : utraque igitur de causa vox acuta fit; contra qui rident, tensionem remittentes hiantesque rident. Quum igitur ob eam rem late tardeque emittant aerem, merito voce utuntur gravi.

16. Cur vocem reddunt acutam qui expertes seminis sunt, ut pueri, mulieres, decrepiti, spadones, gravem autem viri? An quo modo linea ceteraque tenuia dimensionem unam duntaxat sortiuntur, crassa autem plures, sic vox etiam tenuis unam dimensionem habebit; unum autem et facere et movere facilius est quam plura? Ergo quum prædicti spiritum habeant imbecillum, eo parum aeris movent;

ἐλάχιστος δ' ἐστὶν ὁ ἓν διάστημα ἔχων· ὃς ἔσται λεπτὸς διὰ τὰ προειρημένα, καὶ ἡ ἀπ' αὐτοῦ φωνὴ γινομένη τοιαύτη· ἡ δὲ λεπτὴ φωνὴ ὀξεῖά ἐστιν. Οἱ μὲν οὖν ἄγονοι διὰ ταῦτα ὀξύφωνοί εἰσιν· οἱ δ' ἄνδρες ἰσχύοντες τῷ πνεύματι πολὺν ἀέρα κινοῦσι, πολὺς δ' ὢν βραδέως ἂν κινοῖτο, καὶ βαρεῖαν φωνὴν ποεῖ· ἐποίει γὰρ ἥ τε λεπτὴ καὶ ἡ ταχεῖα κίνησις ὀξεῖαν φωνήν, ὧν οὐδέτερον ἐπὶ τοῦ ἀνδρὸς συμβαίνει γίνεσθαι.

minimus autem est qui dimensione unica præditus est, isque ob prædictas rationes tenuis erit et vox quæ ab eo proficiscitur, ejusmodi; vox autem tenuis acuta est. Qui igitur semine carent, ob eam rem vocem reddunt acutam; viri vero, quoniam spiritu valent, multum aeris movent: qui quum multus sit, lente movebitur, vocemque efficit gravem: motus enim velox et tenius vocem efficiebat acutam: quorum neutrum ut in viro possit exsistere accidit.

17. Διὰ τί αἱ φωναὶ βαρύτεραι ἡμῖν εἰσι τοῦ χειμῶνος; Ἢ ὅτι παχύτερος ὁ ἀὴρ ἐστι τότε, καὶ ὁ ἐν ἡμῖν καὶ ὁ ἐκτός, παχυτέρου δὲ ὄντος βραδυτέρα ἡ κίνησις γίνεται, ὥσθ' ἡ φωνὴ βαρυτέρα; Ἔτι ὑπνωτικώτεροί ἐσμεν τοῦ χειμῶνος ἢ τοῦ θέρους, καὶ καθεύδομεν πλείω χρόνον· ἐκ δὲ τῶν ὕπνων βαρύτεροί ἐσμεν. Ἐν ᾧ οὖν πλείονα χρόνον καθεύδομεν ἢ ἐγρηγόραμεν (οὗτος δ' ἐστὶν ὁ χειμών), ἐν τούτῳ ἂν εἴημεν βαρυφωνότεροι ἢ ἐν ᾧ τοὐναντίον· τοῦ γὰρ μεταξὺ τῆς ἐγέρσεως ὄντος ὀλίγου χρόνου, ἡ ἐν τῷ ὕπνῳ ἕξις γενομένη διαμένει πρὸς τὴν καθύπνωσιν.

17. Cur voces nostræ graviores sunt tempore hiberno? An quod aer crassior tunc est, cum interior, tum exterior; crassior autem quum sit, tardior fit motus, ita ut vox gravior evadat? Adde quod somnolentiores hiberno tempore sumus quam æstivo, plusque temporis dormire solemus; post somnum autem torpidiores sumus. Quo igitur tempore plus dormimus quam vigilamus (idque hibernum est), in hoc voce utemur graviori quam quo contrarium facimus: quum enim tempus vigilandi quod intervenit, breve sit, habitus, qui inter dormiendum obtinet, permanet donec obdormiscamus.

18. Διὰ τί ἐκ τῶν πότων καὶ τῶν ἐμέτων καὶ ἐν τοῖς ψύχεσι βαρύτερον φθέγγονται; Ἢ διὰ τὴν ἔμφραξιν τοῦ φάρυγγος τὴν γινομένην ὑπὸ τοῦ φλέγματος; ἐπικατασπᾷ γὰρ ῥευμάτιον εἰς αὐτόν, καὶ τοῖς μὲν ὁ ἔμετος ἢ ὁ πότος, τοῖς δ' ἡ ὥρα καὶ τὸ συμπλήρωμα στενώτερον ποιεῖ τὸν φάρυγγα, ὥστε βραδυτέρα γίνεται ἡ φορὰ τοῦ πνεύματος· ἡ δὲ βραδεῖα φορὰ βαρεῖαν ποιεῖ τὴν φωνήν.

18. Cur ex potatione et vomitu, itemque per frigora vocem emittimus graviorem? An propter faucium obstructionem quæ a pituita fit, quippe quæ aliquid fluxionis in eas detrahit? Atque illis quidem vomitus, aut potatio, his vero tempestas, vel plenitudo fauces reddit angustiores, ita ut spiritus motus tardior fiat, tardus autem motus gravem efficit vocem.

19. Διὰ τί ἐγγύθεν μὲν ἡ βαρυτέρα μᾶλλον ἐξακούεται, πόρρωθεν δ' ἧττον; Ἢ διότι ἡ βαρυτέρα φωνὴ πλείω μὲν ἀέρα κινεῖ, οὐχ εἰς μῆκος δέ; Πόρρωθεν μὲν οὖν ἧττον ἀκούομεν, διότι ἐπ' ἔλαττον κινεῖται, ἐγγύθεν δὲ μᾶλλον, διότι πλείων ἡμῖν ἀὴρ πρὸς τὸ αἰσθητήριον προσπίπτει. Ἡ δ' ὀξεῖα πόρρω ἀκούεται, ὅτι λεπτοτέρα ἐστί, τὸ δὲ λεπτὸν τὴν εἰς μῆκος αὔξησιν ἔχει. Λέγοι δ' ἄν τις ὅτι καὶ θάττων ἐστὶν ἡ ποιοῦσα αὐτὴν κίνησις· εἴη δ' ἂν τοῦτο, εἰ πυκνὸν μέν, στενὸν δ' εἴη τὸ κινοῦν πνεῦμα τὸν ἀέρα· ὅ τε γὰρ ὀλίγος εὐκινητότερός ἐστιν ἀήρ (κινεῖται γὰρ ὀλίγος ὑπὸ τοῦ στενοῦ), καὶ τὸ πυκνὸν πλείους πληγὰς ποιεῖ, αἳ τὸν ψόφον ποιοῦσιν. Ἰδεῖν δ' ἔστι τοῦτο ἐπὶ τῶν ὀργάνων· αἱ γὰρ λεπτότεραι χορδαὶ ὀξύτεραί εἰσι, τῶν ἄλλων τῶν αὐτῶν ὑπαρχόντων αὐταῖς.

19. Cur vox gravior e propinquo quidem magis exauditur, e longinquo vero minus? An quod gravior plus quidem aeris movet, sed non per longum spatium? Ergo e longinquo quidem minus audimus, quoniam minus spatium percurrit; e propinquo autem magis, quoniam plus aeris sensorium ferit nostrum. Acuta autem procul ideo auditur, quoniam tenuior est: tenue autem augmentum in longitudinem obtinet. Dicere etiam possit quis quod motio, quæ eam efficit, velocior est, idque obtinebit, si densus quidem, sed angustus spiritus sit qui aerem movet: nam et exiguus aer mobilior est, quippe qui ab angusto movetur, et densus plures infligit ictus, qui sonum efficiunt. Licet autem hoc in musicis perspicere instrumentis: fides namque tenuiores, ceteris eisdem substantibus in iis, acutiores sunt.

20. Διὰ τί ἡ φωνὴ ὀξυτέρα φαίνεται τοῖς μακροτέραν ἀφεστηκόσι, τοῦ ὀξέος ὄντος ἐν τῷ ταχέως φέρεσθαι; τὸ δὲ μακροτέρω φερόμενον βραδύτερον κινεῖται. Ἢ ὅτι ἡ ὀξύτης τῆς φωνῆς οὐ μόνον ἐστὶν ἐν τῷ ταχέως κινεῖσθαι, ἀλλὰ καὶ ἐν τῷ λεπτότατον ψόφον γίνεσθαι· τοῖς δὲ μακροτέραν ἀφεστηκόσιν ἀεὶ λεπτοτέρα ἡ φωνὴ ἀφικνεῖται διὰ τὴν ὀλιγότητα τοῦ ἀέρος τοῦ κινουμένου; μαραίνεται γὰρ ἡ κίνησις, μαραινόμενος δ' ὁ ἀριθμὸς μὲν εἰς τὸ ἓν τελευτᾷ, σῶμα δ' εἰς διάστημα

20. Cur vox acutior illis adparet qui longius abstant, quum tamen acumen raptus celeritate constet? quod enim longius fertur, movetur tardius. An quod vocis acumen non solum in velocitate movendi, sed etiam in summa soni oborti tenuitate consistit; ad eos autem qui longius absunt, semper tenuior devenit vox ob aeris qui movetur, exiguitatem? motus enim marcescit; atqui numerus quidem emarcescens in unitatem relabitur, corpus vero in unicam di-

ἕν, ὅ ἐστιν ἐν σώματι λεπτότης. Ὁμοίως δὲ καὶ ἐν φωνῇ.

21. Διὰ τί καὶ οἱ γεγυμνασμένοι καὶ οἱ ἀσθενεῖς ὀξὺ φθέγγονται; Ἢ ὅτι οἱ μὲν ἀσθενεῖς ὀλίγον ἀέρα κινοῦσιν, ὁ δ' ὀλίγος τοῦ πλείονος θᾶττον φέρεται· οἱ δὲ γεγυμνασμένοι ἰσχυρῶς κινοῦσι τὸν ἀέρα, ὁ δ' ἰσχυρῶς κινούμενος ἀὴρ θᾶττον φέρεται· τὸ δὲ ταχὺ ἐν φορᾷ ἐν φωνῇ ὀξύ ἐστιν;

22. Διὰ τί τοῖς μετὰ τὰ σιτία κεκραγόσιν ἡ φωνὴ διαφθείρεται, καὶ πάντας ἂν ἴδοιμεν τοὺς φωνασκοῦντας, οἷον ὑποκριτὰς καὶ χορευτὰς καὶ τοὺς ἄλλους τοὺς τοιούτους, ἕωθέν τε καὶ νήστεις ὄντας τὰς μελέτας ποιουμένους; Ἢ τὸ διαφθείρεσθαι τὴν φωνὴν οὐθὲν ἕτερόν ἐστιν ἢ τὸν τόπον διαφθείρεσθαι καθ' ὃν τὸ πνεῦμα διεξέρχεται; διὸ καὶ οἱ βραγχιῶντες διαφθείρονται τὰς φωνάς, οὐ τῷ τὸ πνεῦμα γίνεσθαι χεῖρον, ὃ ποιεῖ τὴν φωνήν, ἀλλὰ τῷ τετραχύνθαι τὴν ἀρτηρίαν. Ὑπὸ δὲ τῆς θερμασίας τῆς σφοδρᾶς μάλιστα τραχύνεσθαι πέφυκεν ὁ τόπος οὗτος· διὸ καὶ οὔθ' οἱ πυρέττοντες, οὔθ' οἱ σφόδρα πεπυρεχότες εὐθὺς μετὰ τὴν ἄνεσιν τοῦ πυρετοῦ ᾄδειν δύνανται· τετράχυνται γὰρ ὁ φάρυγξ αὐτοῖς διὰ τὴν θερμασίαν. Ἀπὸ δὲ τῶν σιτίων εἰκὸς εἶναι τὸ πνεῦμα καὶ πολὺ καὶ θερμόν· τὸ δὲ τοιοῦτον εὔλογόν ἐστι διεξιὸν ἑλκοῦν τε καὶ τραχύνειν τὴν ἀρτηρίαν· τούτου δὲ συμβαίνοντος, εἰκότως ἡ φωνὴ διαφθείρεται.

23. Διὰ τί, εἴπερ ἡ φωνή ἐστιν ἀήρ τις ἐσχηματισμένος καὶ φερόμενος, διαλύεται πολλάκις τὸ σχῆμα, ἡ δ' ἠχώ, ἣ γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεόν, οὐ διαλύεται αὕτη, ἀλλὰ σαφῶς ἀκούομεν αὐτῆς; Ἢ ὅτι ἀνάκλασίς ἐστιν, ἀλλ' οὐ κατάκλασις; οὕτω δὲ τό θ' ὅλον διαμένει, καὶ δύο μέρη ὁμοιοσχήμονα ἐξ αὐτοῦ γίνεται· πρὸς ὁμοίαν γὰρ γωνίαν ἐστὶν ἡ ἀνάκλασις· διὸ καὶ ὁμοία γίνεται ἡ τῆς ἠχοῦς φωνὴ τῇ ἐξ ἀρχῆς.

24. Διὰ τί τῶν μὲν ἄλλων ζῴων τὰ νέα καὶ νήπια ὀξύτερον φθέγγονται τῶν τελείων, οἱ δὲ μόσχοι βαρύτερον τῶν τελείων βοῶν; Ἢ ὅτι ἐν ἑκάστῳ γένει τὸ νήπιον ὅμοιόν ἐστι τῷ ἐν αὐτῷ θήλει, τῶν βοῶν δ' αἱ θήλειαι βαρύτερον φθέγγονται τῶν ἀρρένων, οἱ δὲ μόσχοι ταύταις ὁμοιότεροί εἰσιν ἢ τοῖς ἄρρεσιν· τὰ δ' ἄλλα τοὐναντίον;

25. Διὰ τί, ὅταν ἀχυρωθῶσιν αἱ ὀρχῆστραι, ἧττον οἱ χοροὶ γεγώνασιν; Ἢ διὰ τὴν τραχύτητα προσπίπτουσα ἡ φωνὴ οὐ πρὸς λεῖον τὸ ἔδαφος ἧττον γίνεται μία, ὥστ' ἐλάττων; οὐ γὰρ συνεχής, ὥσπερ καὶ τὸ φῶς ἐπὶ τῶν λείων μᾶλλον, διὰ τὸ διαλαμβάνεσθαι τοῖς ἐμποδίζουσιν.

26. Διὰ τί ποτε ὁ ἅλς, ὅταν εἰς πῦρ ἐμβληθῇ, ψοφεῖ; Ἢ ὅτι ὁ ἅλς ὑγρὸν ἔχει οὐ πολύ, ὃ ὑπὸ τοῦ θερ-

mensionem, quæ in corpore tenuitas est. Eodem quoque modo apud vocem se habet res.

21. Cur vocem acutam et exercitati reddunt et debiles? An quod debiles quidem parum aeris movent; parum autem quam major copia velocius fertur; exercitati vero aerem movent vehementer; aer autem excitus vehementer velocius fertur; quod autem velox in motu, id acutum est in voce?

22. Cur vox corrumpitur his qui cibo ingesto clamitant, atque omnes qui vocem exercent, ut histriones, saltatores et ceteros generis ejusdem mane jejunoque ore exercitationes obire videmus? An vocis corruptio nihil aliud est quam loci, quem spiritus transmeat, corruptio: quocirca rauci quoque vocem corrumpunt, non quod spiritus vitiatur qui vocem efformat, sed quod exasperata arteria est. A vehementi autem calore exasperari maxime solet hicce locus: quamobrem neque qui febriunt, neque qui vehementer febricrunt, statim post febris remissionem cantare queunt: sunt enim asperis propter calorem faucibus. Cibum autem spiritum et auxisse et calefecisse consentaneum est; qui autem talis est, transmeando arteriam ulcerare atque exasperare rationi congruum est: quod quum inciderit, merito vox corrumpitur.

23. Cur quum vox aer quidam figuratus motuque citatus sit, sæpe figura ejus dissolvitur, echo contra quæ fit ubi ejusmodi aer in corpus aliquod solidum illiditur, non dissolvitur, sed eamdem expresse audimus? An quod refractio est, non perfractio? sic enim cum totum permanet, tum partes ab eo duæ eadem figura præditæ proficiscuntur, quippe quum secundum æqualem angulum refractio fiat: quapropter et echus vox similis pristinæ efficitur.

24. Cur cetera quidem animalia novella recensque edita vocem mittunt acutiorem quam adulta, vituli autem graviorem quam boves adulti? An quod infans unoquoque in genere similis feminæ ejusdem generis est; boum autem feminæ graviorem emittunt vocem quam mares, vitulique his similiores quam maribus sunt; reliqua vero animalia contrario modo sese habent?

25. Quam ob causam paleis in orchestra sparsis chori minus resonant? An quum propter asperitatem vox non in pavimentum incidat læve, minus fit una, atque eapropter minor, quippe quæ minus continua est, quomodo etiam lux in rebus lævibus magis una efficitur, quoniam ab impedimentis distrahitur?

26. Cur tandem sal igni injectus crepat? An quia sal parum humoris continet, quod a calore conversum in spiritum et vi

μοῦ ἐκπνευματούμενον καὶ βίᾳ ἐκπῖπτον σχίζει τὸν ἅλα, τὸ δὲ σχιζόμενον ἅπαν ψοφεῖ;

excidens salem findit; omne autem quod finditur, crepat?

27. Διὰ τί ποτε τῶν παιδίων ἔνια, πρὶν ἥκειν τὴν ἡλικίαν ἐν ᾗ σαφηνίζειν ὥρα αὐτοῖς, φθεγξάμενα καὶ σαφῶς εἰπόντα πάλιν ὁμοίως διάγουσιν, ἕως ἂν ἔλθῃ ὁ εἰωθὼς χρόνος; ἃ δὴ πολλοὶ τέρατα νομίζουσιν εἶναι· ἤδη δ' ἔνια λέγεται καὶ εὐθὺς γινόμενα φθέγξασθαι. Ἢ ὅτι ὡς μὲν ἐπὶ πολὺ τὰ πλείω τε τῶν γινομένων γίνεται κατὰ φύσιν; διὸ ὀλίγοις τοῦτο συμβαίνει, καὶ φύσει ἅμα κατάλληλα τελειοῦται· διὸ καὶ ἀκούει θ' ἅμα καὶ φωνεῖ καὶ ξυνίησι κατὰ τὴν ἀκοὴν καὶ λέγει καὶ σαφηνίζει. Οὐ μὴν ἀλλὰ πολλάκις οὐκ ἀπαρτίζει τὰ αὐτά, ἀλλὰ τὰ μὲν ξυνίησι πρότερον ἢ τοῦτο τὸ μόριον ἀπολυθῆναι ᾧ διαλέγεται· τοῖς δὲ τοὐναντίον. Ταῦτα μὲν οὖν οὐκ ἂν διαλεχθείη συνετῶς (ἃ γὰρ ἂν ἀκούσωσι, διαλέγονται), ἀλλ' ὅταν ἥκῃ καιρὸς ἀμφοῖν, ἀποδιδόασι τὸ κατὰ φύσιν. Ὅσοις δ' ἔμπροσθεν ἡ κατὰ τὴν ἀκοὴν αἴσθησις διακριβοῦται ἐν τῇ ψυχῇ [ἢ] ᾧ πρώτῳ κινοῦσι τὴν φωνὴν καὶ ποιοῦσι λόγον, τοιούτοις ἐνίοτε γίνεται ἤδη ξυνιεῖσι πολλὰ καὶ δύναμίς τις τοῦ μορίου καὶ ἀπόλυσις, μάλιστα μὲν μεθ' ὕπνον τινά (τούτου δ' αἴτιον ὅτι ὁ ὕπνος καὶ τὰ σώματα νωθέστερα ποιεῖ καὶ τὰ μόρια ἀναπαύσας), εἰ δὲ μή, καὶ ἄλλην μεταβολὴν λαβόντα τοιαύτην. Πολλὰ δ' ἔχομεν τοιαῦτα ποιεῖν, ἃ μικρῶν δεῖται καιρῶν· κἄπειτα οὐκέτι ὁμοίως ἔχει, ὅταν οὕτω τύχῃ τὸ μόριον ἔχον καὶ ἀπολυθέν· ὅταν ἐπιπολῆς ᾖ ἐν τῇ αἰσθήσει ὧν ἐκινήθη διάνοια, κατὰ τὴν ἀκοὴν τοῦτο ἐπανῆλθε καὶ ἐφθέγξατο. Πολλάκις δὲ καὶ μέλη καὶ ῥήματα ἐπέρχεται οὐκ ἐκ προαιρέσεως ἡμῖν· ἀλλ' ἐὰν τὸ πρῶτον προελόμενοι εἴπωμεν, ὕστερον ἄνευ προαιρέσεως λέγομεν ἢ ᾄδομεν, καὶ οὐ δύναται ἐκ τοῦ στόματος ἐξελθεῖν. Οὕτω καὶ τοῖς παιδίοις, ὅταν συμβῇ τοῦτο ἐπιόν, εἶτα πάλιν καταστῇ εἰς τὴν φύσιν ἐκεῖνο τὸ μόριον, ἕως ἂν ἡ ὥρα ἔλθῃ ἰσχῦσαι αὐτὸ καὶ ἀποκριθῆναι.

27. Cur infantes nonnulli, antequam ætas veniat in quam incidit distincte loquendi tempestas, vociferati ac expresse locuti rursus eodem modo quo prius degunt, donec solitum tempus supervenerit? quæ a vulgo portenta esse putantur. Jam aliquos etiam, statim quum in lucem editi fuissent, locutos esse memoriæ proditum est. An quoniam magna quidem ex parte plerique recens nati secundum naturam prodeunt? quapropter illud paucis accidit, sed naturæ ratione simul perficiuntur quæ sibi invicem respondent: quamobrem simul et audiunt et vocem emittunt, et intelligunt quæ audierint et loquuntur et literas distincte exprimunt. Verum enimvero sæpe non ad amussim quadrant eadem; sed alii quidem prius intelligunt quam membrum id absolvatur quo loquuntur; aliis vero contrarium evenit. Illi itaque sine intellectu loquentur (quæ enim audierint, proloquuntur); sed ubi tempus advenerit utrorumque, præstant quod secundum naturam est. Quibus autem prius sensus auditus in animo exacte perfectus est quam membrum quo primo vocem movent orationemque condunt, iis nonnumquam jam multa intelligentibus facultas quoque membri illius et absolutio contingit, maxime quidem a somno quodam (cujus rei causa est, quod somnus corpora torpidiora reddit membra refocillans); sin vero non, postquam aliam hujuscemodi mutationem subierint. Complura autem hujusmodi facere possumus quæ parvis indigent momentis, verum postmodum non amplius ita sese habet, quando forsan membrum ita constitutum atque absolutum fuerit: ubi nimirum superficiei proximum in sensu adsunt ea quorum intellectus movetur, hoc per auditum subit, ac loquitur infans. Sæpe autem nobis et carmina et vocabula subeunt, non ex voluntate; verum si primum ultro dixerimus, postea sine voluntate dicimus, aut canimus, neque os relinquere valent. Ita infantibus quoque adcidit, ubi hoc subire evenerit, ac postea rursus membrum illud ad naturalem redierit conditionem, dum tempus advenerit quo corroboratur atque absolvitur.

28. Διὰ τί ἔνια ψοφεῖ καὶ κινεῖται ἐξαίφνης, οἷον τὰ κιβώτια, οὐδενὸς αἰσθητοῦ κινοῦντος, καίτοι κρεῖττον γέγονε τὸ κινοῦν τοῦ κινουμένου; Ὁ δ' αὐτὸς λόγος καὶ φθορᾶς καὶ γήρως· ὑπ' ἀναισθήτου γὰρ φθείρεται τὰ λεγόμενα ὑπὸ τοῦ χρόνου πάντα. Ἢ ὅμοιον τοῦτο τοῖς σταλαγμοῖς καὶ τοῖς ὑπὸ τῶν ἐκφυομένων αἰρομένοις λίθοις; οὐ γὰρ τὸ τελευταῖον αἴρει ἢ κινεῖ, ἀλλὰ τὸ συνεχές. Ἐπὶ δὲ τούτου συνέβη ἀναισθήτου ὄντος αἰσθητὴν γίνεσθαι τὴν κίνησιν. Οὕτω δὲ καὶ τὸ περιεχόμενον αἰσθητοῖς χρόνοις κινεῖται καὶ διαιρεῖται εἰς ἀναίσθητα, τῷ δὲ παντὶ καὶ συνεχεῖ ἐκίνησε καὶ ἔφθειρεν· συνεχὲς δ' ἐστὶν οὐκ ἐν τῷ νῦν, ἀλλ' ἐν τῷ ὡρισμένῳ χρόνῳ ὑπὸ τοῦ νῦν.

28. Cur aliqua crepant moventurque subito, ut arcæ, quæ nullo quod sensus moverit, concitantur, quum tamen potentius sit quod movet, quam quod movetur? Eadem ratio corruptionis ac senectutis est, quippe quum a re insensibili omnia corrumpantur quæ tempore perire dicuntur. An simile stillicidiis hoc est, et lapidibus quos plantæ emergentes adtollunt? non enim ultimum adtollit, vel movet, sed continuum. Hac autem in re adcidit ut re movente sensibus non patente motus sensibilis nascatur. Sic etiam res quæ spatiis sensibilibus temporis circumscribitur, movetur atque dividitur in insensibilia: universo tamen et continuo movet atque corrumpit; continuum autem est non in singulis temporis momentis, sed in tempore quod ab his momentis limitatur.

29. Διὰ τί οἱ χασμώμενοι ἧττον ἀκούουσιν; Ἢ ὅτι τοῦ ἐξιόντος πνεύματος ἐν τῇ χάσμῃ πολὺ καὶ εἰς τὰ ὦτα χωρεῖ ἔσωθεν, ὥστε καὶ τῇ αἰσθήσει ἐπίδηλον εἶναι

29. Qua de causa oscitantes minus audiunt? An quod multum spiritus effluentis inter oscitandum aures etiam intrinsecus subit, ita ut motio vel sensu percipi possit,

12.

τὴν κίνησιν ἣν ποιεῖ περὶ τὴν ἀκοήν, μάλιστα δ' ἐκ τῶν ὕπνων, ὁ δὲ ψόφος ἀήρ, ἢ πάθος ἀέρος ἐστίν; Ἀντιπαίοντος οὖν τοῦ ἔσωθεν εἰσέρχεται ὁ ἔξωθεν ψόφος, καὶ ὑπὸ τῆς κινήσεως καὶ τοῦ ἔξωθεν ψόφου ἐκκρούεται ἡ κίνησις.

30. Διὰ τί ἰσχνόφωνοι παῖδες ὄντες μᾶλλον ἢ ἄνδρες; Ἢ ὥσπερ καὶ τῶν χειρῶν καὶ τῶν ποδῶν ἀεὶ ἧττον κρατοῦσι παῖδες ὄντες, καὶ ὅσοι ἐλάττους οὐ δύνανται βαδίζειν, ὁμοίως καὶ τῆς γλώττης οἱ νεώτεροι οὐ δύνανται· ἐὰν δὲ παντάπασι μικροὶ ὦσιν, οὐδὲ φθέγγεσθαι δύνανται ἀλλ' ἢ ὥσπερ τὰ θηρία, διὰ τὸ μὴ κρατεῖν; Εἴη δ' ἂν οὐ μόνον ἐπὶ τοῦ ἰσχνοφώνου, ἀλλὰ καὶ τραυλοὶ καὶ ψελλοί. Ἡ μὲν οὖν τραυλότης τῷ γράμματός τινος μὴ κρατεῖν, καὶ τοῦτο οὐ τὸ τυχόν, ἡ δὲ ψελλότης τῷ ἐξαίρειν τι, ἢ γράμμα, ἢ συλλαβήν, ἡ δ' ἰσχνοφωνία ἀπὸ τοῦ μὴ δύνασθαι ταχὺ συνάψαι τὴν ἑτέραν συλλαβὴν πρὸς τὴν ἑτέραν· ἅπαντα δὲ δι' ἀδυναμίαν· τῇ γὰρ διανοίᾳ οὐχ ὑπηρετεῖ ἡ γλῶττα. Ταὐτὸ δὲ τοῦτο καὶ οἱ μεθύοντες πάσχουσι καὶ οἱ πρεσβῦται· ἧττον δὲ πάντα συμβαίνει.

31. Διὰ τί ἡ φωνὴ τρέμει καὶ τῶν ἀγωνιώντων καὶ τῶν δεδιότων; Ἢ ὅτι σείεται ἡ καρδία τοῦ θερμοῦ ἐξιόντος; ἀμφοτεράκις δὲ πάσχουσι τοῦτο· καὶ γὰρ τοῖς ἀγωνιῶσι συμβαίνει καὶ τοῖς φοβουμένοις· σειομένης δ' οὐ γίνεται μία ἡ πληγή, ἀλλὰ πλείους, ὥσπερ ἡ τῶν παρανενευρισμένων χορδῶν.

32. Διὰ τί οἱ μὲν ἀγωνιῶντες βαρὺ φθέγγονται, οἱ δὲ φοβούμενοι ὀξύ; Ἢ ὅτι τοῖς μὲν φοβουμένοις καταψύχεται ὁ τόπος ὁ περὶ τὴν καρδίαν, κάτω ὁρμῶντος τοῦ θερμοῦ, ὥστ' ὀλίγον ἀέρα κινοῦσιν (ἡ γὰρ ἰσχὺς ἐν τῷ θερμῷ)· τοῖς δ' ἄνω φέρεται τὸ θερμόν, ὥσπερ τοῖς αἰσχυνομένοις; δι' αἰσχύνην γὰρ καὶ ἀγωνιῶσιν· τοῖς δ' αἰσχυνομένοις ἄνω φέρεται πρὸς τὸ πρόσωπον. Σημεῖον δὲ ὅτι ἐξέρυθροι γίνονται μᾶλλον. Συντήκει οὖν καὶ παχὺν ποιεῖ τὸν ἀέρα ᾧ φθέγγονται· ὁ δὲ τοιοῦτος βραδέως ὠθεῖται· τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ ἐστιν.

33. Διὰ τί εὐηκοώτερον ἡ νὺξ τῆς ἡμέρας ἐστίν; Πότερον ὥσπερ Ἀναξαγόρας φησί, διὰ τὸ τῆς μὲν ἡμέρας σίζειν καὶ ψοφεῖν τὸν ἀέρα θερμαινόμενον ὑπὸ τοῦ ἡλίου, τῆς δὲ νυκτὸς ἡσυχίαν ἔχειν, ἅτε ἐκλελοιπότος τοῦ θερμοῦ, εἶναι δὲ μᾶλλον ἀκουστὸν μηθενὸς ὄντος ψόφου; Ἢ ὅτι διὰ τοῦ κενωτέρου μᾶλλον ἀκουστόν ἐστιν ἢ διὰ τοῦ πλήρους· ἔστι δὲ τῆς μὲν ἡμέρας ὁ ἀὴρ πυκνός, ἅτε πεπληρωμένος ὑπὸ τοῦ φωτὸς καὶ τῶν ἀκτίνων, τῆς δὲ νυκτὸς ἀραιότερος διὰ τὸ ἀπεληλυθέναι ἐξ αὐτοῦ τὸ πῦρ καὶ τὰς ἀκτῖνας, σώματα ὄντα; Ἢ ὅτι τῆς μὲν ἡμέρας τὰ σώματα πρὸς πολλὰ τὴν διάνοιαν ἕλκει (διὸ οὐχ εὐκρινές ἐστι πρὸς τὴν ἀκοήν), καὶ τῷ πράττειν ἡμᾶς πάντα μᾶλλον ἐν τῇ ἡμέρᾳ ἢ τῇ νυκτί, καὶ αὐτὰ περὶ τὰς πράξεις ἐστίν, χωρισθεῖσα δ' αἴσθησις διανοίας καθάπερ ἀναίσθητον πόνον ἔχει, ὥσπερ εἴρηται τό· νοῦς ὁρᾷ καὶ νοῦς ἀκούει; νυκτὸς

quam efficit circa auditum, maximeque post somnum; sonus autem vel aer, vel aeris adfectio est? Igitur renitente interiori sono, exterior subit, ac motu et interiori sono motus excutitur.

30. Cur in pueritia magis quam in virili ætate lingua hæsitamus? An ut etiam manus pedesque in pueritia minus regimus, et quicumque ætate minores, ambulare nequeunt, sic etiam linguæ parum compotes juniores sunt; ubi vero admodum parvi sunt, ne vociferari quidem possunt nisi more ferarum, quia videlicet non regunt? Hoc autem non solum de hæsitantibus lingua valebit, sed etiam blæsi balbique sunt. Blæsitas itaque eo constat quod literam quamdam non regimus, idque non quamlibet; balbutiendi vero vitium eo quod aliquid tollimus, vel literam, vel syllabam; hæsitantia tandem linguæ inde oritur quod alteram alteri syllabam jungere propere non possumus : omnia tamen ab imbecillitate eveniunt : lingua enim intellectui non obedit. Eodem hoc modo etiam vinolenti senesque adficiuntur; sed minus omnia adcidunt.

31. Cur vox tam trepidantium quam metuentium tremit? An quod exeunte calore cor concutitur? nam utrobique ita adficiuntur : cum trepidantibus enim, tum metuentibus adcidit; cor autem ubi concutitur, ictus non efficitur unus, sed plures ictus, ut fidium quarum nervi male compacti sunt.

32. Cur vocem trepidantes quidem gravem, metuentes vero acutam reddunt? An quod metuentibus quidem locus circa cor refrigeratur, ubi calor inferiora petit, ita ut parum aeris moveant (vires enim positæ in calore sunt); trepidantibus autem calor loca petit superiora, ut pudore adfectis? e pudore enim trepidant quoque; pudibundis autem calor sursum fertur ad faciem. Hujus rei indicium est, quod plenius erubescunt. Liquat igitur, atque aerem, cujus ope vocem emittimus, incrassat; hujusmodi autem aer tarde propellitur; tarditas vero in voce gravitas est.

33. Cur nox ad audiendum aptior est quam dies? Utrum ut Anaxagoras ait, quod aer interdiu quidem stridet ac sonat a sole concalfactus, et sonat, noctu vero requiescit, utpote quum omnis calor abest, tunc autem audiri melius potest, quum nullus sonus adest? An quod per inanius facultas audiendi amplior quam per plenum datur; est autem aer interdiu quidem densus, ut qui luce radiisque refertus est; noctu autem rarior, quod ex eo ignis et radii decesserunt, quæ corpora sunt? An quod corpora interdiu quidem multifariam intellectum distrahunt (quapropter distinguendi facilitate caret dies, quod ad auditum adtinet), et eo quod omnia interdiu magis quam noctu agimus, ipsa (aures?) quoque circa negotia versantur; sensus autem ubi sejunctus ab intelligentia est, laborem quem sustinet, quasi non percipit : qua ratione dictum est : « mens videt, et mens

δὲ τῆς ὄψεως ἀργούσης καὶ τῆς διανοίας μᾶλλον ἠρεμούσης ὁ τῆς ἀκοῆς πόρος μᾶλλον ἀνεῳγμένος, καθάπερ τῆς ἡμέρας δεκτικὸς μέν ἐστι τῶν ἤχων ὁμοίως, ἐξαγγελτικὸς δὲ μᾶλλον τῇ διανοίᾳ διὰ τὸ μήτ' αὐτὴν ἐνεργεῖν, μήθ' ὑπὸ τῆς ὄψεως παρενοχλεῖσθαι, καθάπερ καὶ τῆς ἡμέρας.

34. Διὰ τί οἱ ἄγονοι, οἷον παῖδες καὶ γυναῖκες καὶ οἱ ἤδη γέροντες καὶ οἱ εὐνοῦχοι ὀξὺ φθέγγονται, οἱ δ' ἄνδρες βαρύτερον; Ἢ δι' ἀσθένειαν τοῦ κινοῦντος μορίου τὸν ἀέρα; ὀλίγον γὰρ τὸ ἀσθενὲς κινεῖ, ὁ δ' ὀλίγος ταχὺ φέρεται, τὸ δὲ ταχὺ φερόμενον ὀξύ. Ἢ διότι ὁ πόρος ὁ πρῶτος, δι' οὗ ἡ φωνὴ φέρεται, τοῖς μὲν ἀγόνοις μικρός, ὥστ' ὀλίγον ἐξ αὐτοῦ τὸ ὠθοῦν τὸν ἀέρα, ὀλίγος δ' ὢν ταχὺ φέρεται δι' εὐρέος τοῦ ἄνω φάρυγγος· ἀκμάζουσι δὲ καὶ ἀνδρουμένοις διίσταται οὗτος, ὥσπερ καὶ ἐπὶ τοὺς ὄρχεις, ὥστε καὶ πλείων ἐστὶν ὁ ὠθούμενος; Βραδύτερον οὖν διιὼν βαρὺς γίνεται.

35. Διὰ τί οἱ ἰσχνόφωνοι οὐ δύνανται διαλέγεσθαι μικρόν; Ἢ ὅτι ἴσχονται τοῦ φωνεῖν, ἐμποδίζοντός τινος; οὐχ ἴσης δὲ ἰσχύος, οὐδ' ὁμοίας κινήσεως, μὴ ἐμποδίζοντός τε τὴν κίνησιν μηδενὸς καὶ ἐμποδίζοντος βιάσασθαι, δεῖ· ἡ δὲ φωνὴ κίνησίς ἐστιν· μεῖζον δὲ φθέγγονται μᾶλλον οἱ τῇ ἰσχύϊ χρώμενοι· ὥστ' ἐπεὶ ἀνάγκη ἀποβιάζεσθαι τὸ κωλῦον, ἀνάγκη μεῖζον φθέγγεσθαι τοὺς ἰσχνοφώνους.

36. Διὰ τί δ' ἀγωνιῶντες μὲν μᾶλλον ἰσχνόφωνοι γίνονται, ἐν δὲ ταῖς μέθαις ἧττον; Ἢ ὅτι ἀποπληξίᾳ ὅμοιόν ἐστι τὸ πάθος μέρους τινὸς τῶν ἐντός, ὃ ἀδυνατοῦσι κινεῖν, ἐμποδίζοντος διὰ τὴν κατάψυξιν; Ὁ μὲν οὖν οἶνος φύσει θερμὸς ὢν λύει τὴν κατάψυξιν μᾶλλον, ἡ δ' ἀγωνία ποιεῖ· φόβος γάρ τις ἡ ἀγωνία, ὁ δὲ φόβος κατάψυξις.

37. Διὰ τί ἔξωθεν εἰς τὰς οἰκίας εἰσακούεται μᾶλλον ἢ ἔσωθεν ἔξω; Ἢ ὅτι ἔσωθεν ὁ ψόφος διὰ τὸ ἀχανὲς εἶναι διασπᾶται, ὥστ' οὐχ ἱκανὸν ἕκαστον μέρος ἀκουσθῆναι, ἢ ἧττον, ἔξωθεν δ' ἔσω εἰς ἐλάττω τόπον καὶ ἀέρα ἑστῶτα ἡ φωνὴ βαδίζουσα ἀθρόα ἔρχεται, ὥστε μείζων οὖσα ἀκούεται μᾶλλον;

38. Διὰ τί οἱ ἰσχνόφωνοι μελαγχολικοί; Ἢ ὅτι τὸ τῇ φαντασίᾳ ἀκολουθεῖν ταχέως τὸ μελαγχολικὸν εἶναί ἐστιν, οἱ δ' ἰσχνόφωνοι τοιοῦτοι; προτερεῖ γὰρ ἡ ὁρμὴ τοῦ λέγειν τῆς δυνάμεως αὐτοῖς, ὡς θᾶττον ἀκολουθούσης τῆς ψυχῆς τῷ φανέντι. Καὶ οἱ τραυλοὶ δὲ ὡσαύτως· βραχύτερα γὰρ τὰ μόρια ταῦτα τοῖς τοιούτοις. Σημεῖον δέ· οἰνωμένοι γὰρ τοιοῦτοι γίνονται, ὅτε μάλιστα τοῖς φαινομένοις ἀκολουθοῦσι, καὶ οὐ τῷ οἴνῳ.

39. Διὰ τί τὰ πράσα συμφέρει πρὸς εὐφωνίαν, ἐπεὶ καὶ τοῖς πέρδιξιν; Ἢ ὅτι καὶ τὰ σκόροδα ἑφθὰ λεαίνει; τὰ δὲ πράσα γλισχρότητα ἔχει τινά, ῥυπτικὸν δὲ τοῦ φάρυγγος.

audit? » at vero noctu, quum visus omni est munere liberatus magisque intelligentia requiescit, meatus aurium amplius patens, quemadmodum interdiu recipere quidem sonos pariter potest, sed melius eosdem sonos intelligentiæ renuntiat, quoniam nec ipse intellectus operatur, nec visu interpellatur, ut fieri interdiu solet.

34. Cur qui genitura vacant, ut pueri, mulieres, decrepiti et spadones vocem reddunt acutam, viri autem graviorem? An propter membri imbecillitatem aerem moventis? movet enim exiguum aerem quod imbecillum est; exiguus autem velociter fertur, quodque velociter fertur, acutum est. An quod primus meatus quem vox permeat, apud genitura vacantes quidem pusillus est, ita ut exiguum sit quod ab eo profectum aera propellat; exiguum vero quum sit, velociter per amplas superiores fauces fertur; at adultis virilemque nactis habitum hicce meatus dilatatur, sicut etiam qui ad testiculos pertinet, ita ut aer qui propellitur, copiosior sit? Tardius ergo quum permeet, gravis redditur.

35. Cur lingua hæsitantes loqui nequeunt voce submissa? An quod a vociferando retinentur, impediente aliqua re? nec enim pares requiruntur vires, aut similis motus, quum nihil impedit motum, quumque aliquid vim inferre vetat; vox autem motus est, vocemque altiorem solent emittere qui vires adhibent, ita ut quum vi superari debet obstaculum, altius eos loqui necesse sit, qui lingua hæsitant.

36. Cur trepidantes quidem magis hæsitant lingua, in ebrietate vero minus? An quoniam adfectus hic similis est siderationi partis interioris cujuspiam, quam partem movere nequeunt impedientem propter suam refrigerationem. Vinum igitur, quod natura calidum est, refrigerationem potius solvit, trepidatio vero facit: est enim trepidatio metus quidam; metus autem refrigeratio est.

37. Cur sonus extrinsecus magis introrsum intra domos ad auditum penetrat quam intrinsecus foras? An quod intrinsecus veniens sonus, quum vastum adsit spatium, distrahitur, ita ut unaquæque pars vel non ad auditum penetrare valeat, vel minus; extrinsecus vero introrsum means, quum vox sese in locum minorem stabilemque aerem conferat, confertim ingreditur, ita ut, quum major sit, melius audiatur?

38. Quam ob causam qui lingua hæsitant, melancholici sunt? An quia melancholia eo constat quod propere sequuntur imaginationem; hæsitantes autem lingua hujusmodi sunt? impetus namque dicendi antevertit facultatem eorum, utpote quum animus celerius quæ ei adparuerint, sequatur. Balbis etiam idem accidit: hujusmodi etenim homines membra hæc breviora (tardiora?) habent. Indicium vero, est quod vinolenti inprimis hujusmodi fiunt, ubi suas maxime imaginationes sequuntur, non vero propter vinum.

39. Cur porrum prodest ad vocem emendandam, quum et perdicibus commodum sit? An quod allium quoque elixum delinit? nam porrum lentitiam quamdam obtinet, quod fauces detergere potest.

40. Διὰ τί τὰ μὲν ἄλλα ὀξύτερον φθέγγεται σφοδρότερα ὄντα, ὁ δ᾽ ἄνθρωπος ἀσθενῶν; Ἢ διότι ἐλάττω κινεῖ ἀέρα, οὗτος δὲ ταχὺ διέρχεται, τὸ δὲ ταχὺ ὀξὺν ποιεῖ τὸν ψόφον;

40. Cur cetera quidem animalia vocem tum acutiorem emittunt, quum validiora sunt, homo autem, ubi ægrotat? An quod pauciorem aera movet, hicce autem velociter permeat, veloxque sonum efficit acutum?

41. Διὰ τί ἀκούουσι μᾶλλον κατέχοντες τὸ πνεῦμα ἢ ἐκπνέοντες; διὸ καὶ ἐν ταῖς θήραις παραγγέλλουσιν ἑαυτοῖς μὴ πνευστιᾶν. Πότερον ὅτι τὸ αἰσθητικὸν ἄνω ἔρχεται αἰρομένων τῶν φλεβῶν; καθευδόντων γὰρ κάτω· διὸ καὶ μᾶλλόν τ᾽ ἐκπνέουσι καθεύδοντες ἢ εἰσπνέουσι, καὶ ἀνήκοοί εἰσιν. Ἢ καὶ τὸ αἷμα ἀπέρχεται καταπεπνευκότων, ὥστε κενοῦται τὰ ἄνω; ἀκούουσι δὲ τῷ κενῷ. Ἢ ὅτι ὁ φυσιασμὸς ψόφος τίς ἐστιν, οὗτος δ᾽ ἐν τῷ ἐκπνεῖν γινόμενος κωλύει ἀκούειν;

41. Cur melius audiunt, ubi spiritum retinent quam ubi exspirant? hinc et in venatione sibi ipsi præcipiunt ne anhelent. Utrum quod propter venarum turgorem sentiendi instrumentum locum petit superiorem? ubi enim dormimus, deorsum se defert: quapropter et crebrius dormientes exspirant quam inspirant audituque carent. An etiam sanguis, ubi spiritum deorsum premunt, abit, ita ut pars superior vacuetur? audiunt enim vacui ope. An quod efflatio sonus quidam est, hicce autem, quum per exspirationem fit, impedit quominus audiamus?

42. Διὰ τί θᾶττον μὲν ψοφοῦσι καὶ πηδῶσιν οἱ μικροὶ ἅλες, μείζω δὲ ψοφοῦσι καὶ πηδῶσιν οἱ μεγάλοι; Ἢ διότι οἱ μὲν ταχὺ σχίζονται (οὐ γὰρ πολὺ ὃ δεῖ διελθεῖν τῷ πυρί) διὰ τὴν μικρότητα, οἱ δὲ βραδέως; μεῖζον γὰρ ἔργον τὸ μεῖζον διασχίσαι ἢ τὸ μικρόν· ψοφεῖ δ᾽ ὁ μὲν μικρὸς μικρόν· ἡ γὰρ πληγὴ μικρά· ὁ δὲ μείζων μεγάλα· μεγάλη γὰρ ἡ πληγή· ὁ δὲ ψόφος πληγή ἐστιν. Καὶ πηδᾷ δὲ μᾶλλον τὸ ἰσχυρότερον, ἂν πληγῇ· ἧττον γὰρ ἐνδίδωσιν.

15. Διὰ τί οἱ ἐν τοῖς θερμοῖς τόποις σοφώτεροί εἰσιν ἢ ἐν τοῖς ψυχροῖς; Πότερον διὰ τὸ αὐτὸ δι' ὅπερ καὶ οἱ γέροντες τῶν νέων; οἱ μὲν γὰρ διὰ τὴν ψυχρότητα τοῦ τόπου ἐπανιούσης τῆς φύσεως αὐτῶν θερμότεροί εἰσι πολύ, ὥστε λίαν μεθύουσιν ἐοίκασι, καὶ οὐκ εἰσὶ ζητητικοί, ἀλλ' ἀνδρεῖοι καὶ εὐέλπιδες· οἱ δ' ἐν τοῖς ἀλε-

9. Cur diutius vivunt qui loca calida incolunt? An quia natura sunt sicciori, quod vero siccius est, putredini minus patet ac diutius durat; mors autem quasi putredo quædam est? An quod mors quidem caloris interioris refrigeratio est, refrigerantur autem omnia a re ambienti, si frigidior est? aer enim ambiens in æstuosis quidem locis calet, in frigidis vero friget, ita ut calorem quem contineat, ocius magisque corrumpat.

10. Quam ob causam qui calida loca habitant, vivunt diutius? An quod calorem humoremque amplius servant? harum enim rerum interitus mors est.

11. Cur locis palustribus efficimur somnolentiores? An quod magis in iis refrigerati sumus, refrigeratio autem quum requies quædam sit, somnum nobis conciliat, isque inter quiescendum supervenit?

12. Cur qui in navibus degunt, quamvis in aqua, coloratiores tamen sunt quam qui in paludibus? An tempestas et flatuum facilis adcessus causa sunt? pallidos enim efficit aqua, ubi putrescit, quod ei evenit propter immobilitatem: quamobrem subpallidi sunt qui loca palustria colunt.

13. Cur regionibus hibernis æstus fiunt vehementes ac crebri, idque magis quam tepidis? Utrum propter aeris humiditatem? nam caloris opera ejusdem aqua validius calefit quam aer, ita ut aer quoque humidior acrius quam calidus incalescat? An ne siccior quidem aer in locis hujuscemodi est, sed videtur tantummodo, quoniam contrarium juxta positum est, quo modo sol, ubi e nube illuxit, quoniam umbra tangitur?

14. Qua de causa qui meridiem versus habitant, nigros potius oculos habent? An quod cæsii quidem sunt oculi propter caloris interioris exsuperantiam, nigri vero propter ejusdem absentiam, ut Empedocles etiam refert? Ergo quemadmodum qui aquilonem versus incolunt, oculos cæsios ideo habent, quod calor interior a frigore exteriori excidere vetatur, ita apud eos qui ad meridiem habitant, humor quidem propter ambientis calorem non excidit, sed calor nihilo obstruente excidit atque humorem qui relinquitur, nigro tingit colore: lucis enim absentia id quod relinquitur, manet caliginosum. An reliqui corporis colores oculi color imitatur? quapropter qui aquilonem versus inhabitant, ut ipsi albi sunt, sic oculos cæsios habent (hic etenim color prope album est), et qui ad meridiem sunt, ut ipsi nigri, ita etiam oculos nigros sortiuntur.

15. Cur locis calidis homines sapientiores sunt quam frigidis? Utrum eadem de causa, qua etiam senes quam juvenes? etenim hi quidem propter frigus loci, recedente eorum natura, longe calidiores sunt, ita ut perquam vinolentis similes sint, neque ad vestigandum proclives, sed fortes bonaque spe freti; contra qui loca æstuosa habitant,

εινοῖς νήφουσι διὰ τὸ κατεψῦχθαι· πανταχοῦ δ' οἱ φοβούμενοι τῶν θαρρούντων μᾶλλον ἐπιχειροῦσι ζητεῖν, ὥστε καὶ εὑρίσκουσι μᾶλλον. Ἢ διὰ τὸ πολυχρονιώτερον τὸ γένος εἶναι τοῦτο, τοὺς δ' ὑπὸ τοῦ κατακλυσμοῦ ἀπολέσθαι, ὥστ' εἶναι καθάπερ νέους πρὸς γέροντας τοὺς ἐν τοῖς ψυχροῖς τόποις πρὸς τοὺς ἐν τοῖς θερμοῖς οἰκοῦντας;

sobrii propterea sunt, quia refrigerati; ubique autem qui metuunt, magis quam qui confidunt, inquirere conantur, ita ut magis etiam inveniant. An quod antiquius genus hoc hominum est, illi vero diluvie perierunt, ita ut tamquam juvenes sint ad senes qui loca habitant frigida, ad eos qui calida colunt?

16. Διὰ τί οἱ μὲν ἐν τοῖς θερμοῖς τόποις δειλοί εἰσιν, οἱ δ' ἐν τοῖς ψυχροῖς ἀνδρεῖοι; Ἢ ὅτι ἐναντίως τοῖς τόποις καὶ ταῖς ὥραις ἡ φύσις ἔχει, διὰ τὸ ὁμοίως ἐχόντων διακάεσθαι ἂν ταχέως; ἀνδρεῖοι δ' εἰσὶν οἱ τὴν φύσιν θερμοί, δειλοὶ δ' οἱ κατεψυγμένοι. Συμβαίνει δὴ τοὺς μὲν ἐν τοῖς θερμοῖς ὄντας καταψύχεσθαι (ἀραιοῦ γὰρ ὄντος αὐτοῖς τοῦ σώματος τὸ θερμὸν αὐτῶν ἔξω διεκπίπτει), τοὺς δ' ἐν τοῖς ψυχροῖς ἐκτεθερμάνθαι τὴν φύσιν διὰ τὸ ἐκ τοῦ ἐκτὸς ψύχους πυκνοῦσθαι τὴν σάρκα, πυκνουμένης δ' ἐντὸς συστέλλεσθαι τὸ θερμόν.

16. Cur ignavi quidem sunt qui loca habitant calida, fortes vero qui frigida? An quod natura contra quam loca et tempestates se habet, quoniam si eodem modo se haberet, brevi exureretur? fortes enim sunt qui natura calidi sunt, timidi vero qui refrigerati. Adcidit ergo ut qui calida loca colunt, refrigerentur (quum enim rarum corpus eorum sit, calor apud eos foras elabitur), qui autem in frigidis degunt, sua concaluerint natura, quod a frigore exteriori caro densatur, cujus densitate calor colligitur intus.

ΤΜΗΜΑ ΙΕ.

ΟΣΑ ΜΑΘΗΜΑΤΙΚΗΣ ΜΕΤΕΧΕΙ ΘΕΩΡΙΑΣ.

SECTIO XV.

QUÆ AD DISCIPLINAM MATHEMATICAM PERTINENT.

1. Διὰ τί διάμετρος καλεῖται μόνη τῶν δίχα διαιρουσῶν τὰ εὐθύγραμμα ἡ ἐκ γωνίας εἰς γωνίαν ἀχθεῖσα γραμμή; Ἢ ὅτι διάμετρος δίχα διαιρεῖ, καθάπερ τοὔνομα ὑποσημαίνει, οὐ φθείρουσα τὸ μετρούμενον; Ἡ μὲν οὖν κατὰ τὰς συνθέσεις διαιροῦσα (λέγω δὲ τὰς γωνίας) διάμετρος ἔσται· οὐ γὰρ φθείρει, ἀλλὰ διαιρεῖ, καθάπερ οἱ τὰ στρατιωτικὰ σκεύη διαιροῦντες· ἡ δὲ κατὰ τὰς γραμμὰς σύνθετα τέμνουσα φθείρει· σύγκειται γὰρ τὸ εὐθύγραμμον κατὰ τὰς γωνίας.

1. Cur linea de angulo ducta in angulum sola earum quæ figuras rectis terminatas lineis bipartito secant, diametros vocatur? An quod diametros, ut nomen subindicat, bipartito dividit non destruens id quod metitur? Ergo quæ per commissuras (adpello autem ita angulos) dividit, diametros erit: non enim destruit, sed dividit, quomodo faciunt qui impedimenta militaria partiuntur; at quæ per lineas secat, figuras compositas secando destruit: angulis etenim coagmentatur quæ rectis lineis terminatur.

2. Διὰ τί διάμετρος καλεῖται; Ἢ διότι δίχα μόνη διαιρεῖ; Ὥσπερ οὖν εἴ τις εἴποι διχάμετρός ἐστιν. Καὶ διὰ τί μόνη τῶν δίχα τοῦτο καλεῖται; Ἢ ὅτι κατὰ μέλη ᾗ κέκαμπται, μόνη διαιρεῖ, αἱ δ' ἄλλαι κατὰ πλευράς;

2. Cur diametros adpellatur? Utrum quoniam sola bipartito dividit? Perinde igitur est ac si quis diceret: bipartito demetiens est. At quamobrem sola inter bipartito secantes ita vocatur? An quod sola figuram secat per membra, quibus inflexa est, ceteræ vero per latera?

3. Διὰ τί πάντες ἄνθρωποι, καὶ βάρβαροι καὶ Ἕλληνες, εἰς τὰ δέκα καταριθμοῦσι, καὶ οὐκ εἰς ἄλλον ἀριθμόν, οἷον β', γ', δ', ε', εἶτα πάλιν ἐπαναδιπλοῦσιν, ἓν πέντε, δύο πέντε, ὥσπερ ἕνδεκα, δώδεκα, οὐδ' αὖ ἐξωτέρω παυσάμενοι τῶν δέκα, εἶτα ἐκεῖθεν ἐπαναδιπλοῦσιν; ἔστι μὲν γὰρ ἕκαστος τῶν ἀριθμῶν ὁ ἔμπροσθεν καὶ ἓν ἢ δύο, καὶ οὗτος ἄλλος τις, ἀριθμοῦσι δ' ὅμως ὁρίσαντες ἄχρι τῶν δέκα. Οὐ γὰρ δὴ ἀπὸ τύχης γε αὐτὸ ποιοῦντες φαίνονται καὶ ἀεί· τὸ δ' ἀεὶ καὶ ἐπὶ πάντων οὐκ ἀπὸ τύχης, ἀλλὰ φυσικόν. Πότερον ὅτι τὰ δέκα τέλειος ἀριθμός; ἔχων γὰρ πάντα τὰ τοῦ ἀριθμοῦ εἴδη, ἄρτιον, περιττόν, τετράγωνον, κύβον, μῆκος, ἐπίπεδον, πρῶτον σύνθετον. Ἢ ὅτι ἀρχὴ ἡ δεκάς; ἓν γὰρ καὶ δύο καὶ τρία καὶ τέτταρα γίνεται δεκάς. Ἢ ὅτι τὰ φερόμενα σώματα ἐννέα; Ἢ ὅτι ἐν

3. Cur homines omnes, tam barbari quam Græci, ad decem usque numerant, non ad alium usque numerum, ut duo, tria, quatuor, quinque, tum rursus repetunt unum quinque, duo quinque, sicut undecim, duodecim; nec rursus ultra denarium numerum cessantes, inde posthac repetunt? est enim numerus quisque quod præcedit, ac unum aut duo, et sic deinceps alius quis: numerant nihilominus statuto termino denarii numeri. Haud sane fortuito id faciunt, idque semper: quod enim semper atque apud omnes fit, non fortuitum, sed naturale est. Utrum quod perfectus numerus denarius est? continet enim omnia numerorum genera, ut par, impar, quadratum, quadrantale, longum, planum, primum compositum. An quod denarius principium est? unum enim et duo et tres et quatuor eum conficiunt. An quia corpora quæ feruntur, numero novem

δέκα ἀναλογίαις τέτταρες κυβικοὶ ἀριθμοὶ ἀποτελοῦνται, ἐξ ὧν φασιν ἀριθμῶν οἱ Πυθαγόρειοι τὸ πᾶν συνεστάναι; Ἢ ὅτι πάντες ὑπῆρξαν ἄνθρωποι ἔχοντες δέκα δακτύλους; Οἷον οὖν ψήφους ἔχοντες τοῦ οἰκείου ἀριθμοῦ, τούτῳ τῷ πλήθει καὶ τἆλλα ἀριθμοῦσιν. Μόνοι δ' ἀριθμοῦσι τῶν Θρᾳκῶν γένος τι εἰς τέτταρα, διὰ τὸ ὥσπερ τὰ παιδία μὴ δύνασθαι μνημονεύειν ἐπὶ πολύ, μηδὲ χρῆσιν μηδενὸς εἶναι πολλοῦ αὐτοῖς.

sunt? An quoniam decem proportionibus quatuor quadrantales numeri consummantur, e quibus numeris universum constare Pythagoreis placet? An quod omnes homines digitis decem instructi sunt? Itaque proprii numeri quasi calculos jam habentes, hac eadem multitudine cetera quoque numerant. Sola una gens quædam Thracum ad quatuor usque numerat, eo quod amplius meminisse modo puerorum non potest, neque ullius multitudinis apud eos exstat usus.

4. Ὅτι ἡ γῆ κέντρον· ἀεὶ γὰρ ὅμοια τὰ φαινόμενα ἡμῖν σχήματα. Δοκεῖ τοῦτο εἶναι, ἐὰν μὴ ἀπὸ τοῦ μέσου τις θεωρῇ, ἀλλ' ὁτὲ μὲν τρίγωνα, ὁτὲ δὲ τραπέζια, ὁτὲ δ' ἀλλοῖα. Ἐδόκει ἡ γῆ μέσον ἡμῖν, εἰ ἀπὸ τούτων ἐνὶ ἡμᾶς θεωρεῖν· οὔσης γὰρ σφαιροειδοῦς τῆς γῆς ταὐτὸ κέντρον τούτου καὶ τῆς γῆς ἔσται. Ἡμεῖς δ' ἐπάνω τῆς γῆς οἰκοῦμεν, ὥστ' οὐκ ἀπὸ τούτου, ἀλλὰ τὸ ἥμισυ τῆς διαμέτρου ἀφεστῶσιν ἡμῖν τοιαῦτα φαίνεται. Τί οὖν κωλύει πλέονος γενομένου τοῦ διαστήματος διαμένειν τὴν τῶν σχημάτων φαντασίαν;

4. [Propter quid apparitiones figurarum videntur nobis eædem? Aut] quod terra centrum est? semper enim similes sunt quæ nobis adparent figuræ. Hoc ita esse (non?] videtur, nisi quis e medio spectet, sed interdum quidem triangula, interdum vero trapezia, interdum alia. Videretur nobis terra medium obcupare, si ab his nobis liceret spectare: quum enim terra globi figuram referat, idem centrum erit hujus et terræ. Nos tamen terræ superficiem incolimus, ita ut non ab eo, sed dimidia diametro ab eo distantibus nobis talia adpareant. Quid igitur impedit, quominus et aucta distantia eadem maneat figurarum imago?

5. Διὰ τί τοῦ ἡλίου ὁμοτόνως φερομένου, ἐν τῷ ἴσῳ χρόνῳ οὐχ ἡ αὐτὴ αὔξησις καὶ φθίσις τῶν σκιῶν; Ἢ ὅτι ἴσαι γίνονται αἱ γωνίαι πρὸς τὰ ὁρώμενα, αἱ ἀπὸ τῶν ἀκτίνων ὑπὸ ταῖς ἴσαις περιφερείαις; εἰ δ' αὗται, καὶ ἐμβαλλόμεναι ποιοῦσιν ἀκτῖνας ἐν τῷ τριγώνῳ, ὅπερ ἔχεται ὑπό τε τῆς πρώτης ἀκτῖνος καὶ τοῦ ὁρωμένου καὶ τῆς σκιᾶς. Εἰ δ' αἱ γωνίαι ἴσαι, ἀνάγκη τὴν πορρωτέρω γραμμὴν τοῦ ὁρωμένου μείζω εἶναι τῆς ἐγγυτέρω· τοῦτο γὰρ ἴσμεν. Διῃρήσθω οὖν ἡ περιφέρεια εἰς ἴσα ὁσαοῦν πλήθει, ὁράσθω δὲ τὸ Θ. Ὅταν οὖν ὁ ἥλιος ἐπὶ τοῦ Α προσλαβὼν τὸ Θ ποιήσῃ τινὰ σκιὰν ἐν τῷ ΘΑ, ἀνάγκη δὴ τὴν ἀκτῖνα ἐπὶ τὸ Α πίπτειν. Ὅταν δ' ἔλθῃ ἐπὶ τὸ Β, ἡ ἀπὸ τοῦ Β ἀκτὶς ἐντὸς τῆς ΘΑ πεσεῖται, καὶ ὅταν πάλιν ἐπὶ τὸ Γ μεταβῇ, ὡσαύτως· εἰ δὲ μή, εὐθεῖα εὐθείας διχῇ ἅψεται. Ἐπεὶ οὖν ἴση ἡ ΑΒ τῇ ΒΓ, καὶ αἱ γωνίαι αἱ ὑπὸ ταύτης αἱ πρὸς τῷ Δ ἴσαι ἔσονται· πρὸς τῷ κέντρῳ γάρ. Εἰ δὲ τῇ τοῦ Δ, καὶ ἐν τῷ τριγώνῳ· κατὰ κορυφὴν γὰρ ταύταις· ὥστ' ἐπεὶ εἰς ἴσα διαιρεῖται ἡ γωνία, μείζων ἔσται ἡ ΔΕ τῆς ΕΖ τῇ ΔΘ. Ὁμοίως δὲ καὶ αἱ ἄλλαι ἃς ποιοῦσιν αἱ ἀπὸ τῆς περιφερείας ἀκτῖνες. Ἅμα δὲ δῆλον καὶ ὅτι κατὰ μεσημβρίαν ἐλαχίστην ἀναγκαῖον εἶναι τὴν σκιάν, καὶ ὅτι αἱ ἐπιδόσεις τότε ἐλάχισται· μάλιστα γὰρ καθ' ἡμᾶς ὁ ἥλιος τῆς μεσημβρίας ἐστίν. Καὶ πνῖγος γίνεται διά τε τὴν εἰρημένην αἰτίαν, καὶ ὅτι ἀπνεύματος· ὅταν γὰρ διακρίνῃ τὸν πρὸς τῇ γῇ ἀέρα, πνεῦμα γίνεται. Εἰ οὖν ἅμα ἐν ἀμφοτέροις τοῖς ἡμισφαιρίοις, εἰκότως ἂν αἱ μέσαι νύκτες καὶ ἡ μεσημβρία ἀπνεύματοι εἶεν.

5. Quamobrem quum sol æquabili motu feratur, non pari tempore idem incrementum decrementumque umbrarum est? An quod anguli æquas circumferentias subtendentes quos faciunt radii ad res conspectas tendentes, æquales proveniunt? quodsi vero illi æquales sunt, radii producti quoque æquales faciunt in triangulo, qui radio primo et re conspecta et umbra limitatur. At si anguli æquales inter se sint, lineam ab re conspecta remotiorem majorem esse quam propinquiorem necesse est: hoc enim novimus. Igitur tota circumferentia in partes æquales quotvis dividatur, sitque res conspectui obvia C. Quum itaque sol qui in A est, adprehenso C, umbram aliquam fecerit in CI, radius profecto in I incidat necesse est. Ubi vero ad B devenit, radius inde proficiscens intra CI cadet, ac rursus quum ad C se contulerit, pari modo: alioquin enim linea recta rectam in duobus punctis continget. Quum ergo arcus AB æqualis arcui BC sit, anguli quoque quos subtendunt apud D, æquales erunt, quippe qui ad centrum siti sunt. Quodsi autem ab altera parte puncti D ita sit, in triangulo quoque idem obtinebit: hujus enim anguli per verticem illis junguntur: hinc quum angulus in æquales partes secetur, linea IE major erit quam EF in IC. Pari modo vel ceteri anguli se habebunt, quos radii a circumferentia profecti faciunt. Simulque etiam constat umbram meridie minimam esse necessario minimasque tum esse adcessiones, quippe quum sol meridie maxime e perpendiculo sese nobis exhibeat. Æstus quoque meridie adcenditur, tum ob eam quam modo diximus, causam, tum etiam quod flatus cessat: tunc enim flatus excitari solet, quum sol aerem terræ proximum dissipat. Quodsi itaque in utroque hemisphærio simul hoc fiat, merito noctes mediæ atque meridies flatibus carebunt.

6. Διὰ τί ὁ ἥλιος διὰ τῶν τετραπλεύρων διέχων οὐκ εὐθύγραμμα ποιεῖ τὰ σχήματα, ἀλλὰ κύκλους, οἷον ἐν ταῖς ῥιψίν; Ἢ ὅτι ἡ τῶν ὄψεων ἔκπτωσις κῶνός ἐστι, τοῦ δὲ κώνου κύκλος ἡ βάσις, ὥστε πρὸς ὃ ἂν προσ-

6 Cur sol, per quadrangula penetrans, non figuras rectis lineis terminatas, sed circulos efficit, ut in cratibus? An quod visionum procidentia conum efficit, coni autem basis circulus est, ita ut quocumque radii solis inciderint, cir-

πίπτωσιν αἱ τοῦ ἡλίου ἀκτῖνες, κυκλοτερεῖς φαίνονται. Ἀναγκαῖον μὲν γάρ ἐστι καὶ τὸ ὑπὸ τοῦ ἡλίου σχῆμα ὑπ' εὐθειῶν περιέχεσθαι, εἴπερ αἱ ἀκτῖνες εὐθεῖαι· ὅταν γὰρ εὐθεῖαι πρὸς εὐθεῖαν προσπίπτωσιν, εὐθύγραμμον ποιοῦσιν. Ἐπὶ δὲ τῶν ἀκτίνων συμβαίνει τοῦτο· πρὸς εὐθεῖαν γὰρ προσπίπτουσι τὴν τοῦ ῥιπὸς γραμμήν, ἡ δι' οὗ λάμπουσι, καὶ αὐταὶ εὐθεῖαί εἰσιν, ὥστε πρὸς εὐθεῖαν ἔσται ἡ ἔκπτωσις. Ἀλλὰ διὰ τὸ ἀσθενεῖς εἶναι τὰς ἀποσχιζομένας ἀπὸ τῶν ὄψεων πρὸς τὰ ἄκρα τῶν εὐθειῶν, οὐχ ὁρᾶται τὰ ἐν ταῖς γωνίαις· ἀλλ' ὅσον μὲν τῆς εὐθείας ἐνυπάρχει ἐν τῷ κώνῳ, ποιεῖ αὐτήν, τὸ δὲ λοιπὸν οὐ ποιεῖ, ἀλλὰ λανθάνουσιν αἱ ὄψεις ἐπιπίπτουσαι· πολλὰ γὰρ οὐχ ὁρῶμεν ἐφ' ἃ διικνεῖται ἡ ὄψις, οἷον τὰ ἐν τῷ σκότει. Ὅμοιον δὲ τούτῳ καὶ τὸ τὸ τετράγωνον πολυγωνοειδὲς φαίνεσθαι, ἐὰν δὲ πλέον ἀφιστῇ, κύκλον· ὄντος γὰρ κώνου τῆς τῶν ὄψεων ἐκπτώσεως, ἀφισταμένου τοῦ σχήματος εἰς τὸ πόρρω, αἱ μὲν εἰς τὰς γωνίας ἀποσχιζόμεναι τῶν ὄψεων διὰ τὸ ἀσθενεῖς εἶναι καὶ ὀλίγαι οὐχ ὁρῶσι, πλέονος τοῦ ἀποστήματος γινομένου, αἱ δ' εἰς τὸ μέσον προσπίπτουσαι, ἀθρόαι καὶ ἰσχυραὶ οὖσαι, διαμένουσιν. Ἐγγὺς μὲν οὖν ὄντος τοῦ σχήματος δύνανται καὶ τὰ ἐν ταῖς γωνίαις ὁρᾶν, πόρρω δ' αὐτοῦ γινομένου ἀδυνατοῦσιν· διὸ καὶ ἡ περιφερὴς ἀπαγομένη εὐθεῖα φαίνεται. Καὶ ἡ σελήνη ὑπὸ εὐθειῶν δοκεῖ περιέχεσθαι τῇ ὀγδόῃ, ἐὰν μὴ κατὰ τὸ πλάτος, ἀλλὰ κατὰ τὴν περιέχουσαν γραμμὴν αἱ ὄψεις προσπίπτωσιν· ἐγγὺς μὲν γὰρ οὔσης τῆς περιφερείας δύνανται διακρίνειν αἱ ὄψεις, ὅσῳ ἐγγύτερόν ἐστι θάτερον θατέρου μέρους τῆς περιφερείας· πόρρω δὲ γινομένης οὐ διαισθάνεται, ἀλλὰ δοκεῖ αὐτῇ ἐξ ἴσου εἶναι· διὸ καὶ εὐθεῖα φαίνεται.

culares adpareant. Attamen figuram cui sol ansam dat, rectis quoque lineis terminari necesse est, siquidem radii recti sunt: ubi enim rectæ lineæ in rectam incidunt, figuram rectis terminatam lineis efficiunt. Atqui in radiis hoc adcidit: in rectam enim cratium lineam incidunt, aut cujuscumque demum rei per quam translucent; tum ipsi recti sunt, ita ut ad rectam fiat procidentia. Verum quia radii, qui ab oculis ad extrema linearum rectarum discinduntur, imbecilli sunt, quæ in angulis sunt non cernuntur; sed quota quidem pars lineæ rectæ intra conum continetur, hæc ad figuram constituendam confert; reliqua vero non confert, sed visiones incidentes latitant: multa enim non videmus ad quæ pervenit visio, ut ea quæ in tenebris reperiuntur. Simile et huic rei est, quod quadrangulum speciem multanguli repræsentat; si vero amplius removeatur, circuli: quum enim visionum procidentia conum constituat, quoties figura procul remota est, visiones quæ ad angulos quidem discinduntur, quoniam et imbecillæ et paucæ sunt, non cernunt, quippe quum nimium fiat intervallum; quæ autem mediam in partem incidunt, perstant, utpote confertæ et validæ. Ergo ubi prope quidem figura posita est, quæ in angulis sunt, itidem conspicere possunt; ubi vero removetur, non possunt: quamobrem circularis etiam linea ubi removetur, recta esse videtur. Luna item rectis lineis terminari die octavo videtur, si visiones non secundum latitudinem, sed secundum lineam circumdantem incidant: ubi enim circumferentia prope posita est, quanto pars altera circumferentiæ quam altera propior sit, oculi discernere possunt; ubi vero removetur, non sentit, sed æque distantes ei videntur esse: quapropter recta etiam adparet.

7. Διὰ τί τῆς σελήνης σφαιροειδοῦς οὔσης εὐθεῖαν ὁρῶμεν, ὅταν ᾖ διχότομος; Ἢ ὅτι ἐν τῷ αὐτῷ ἐπιπέδῳ ἡ ὄψις γίνεται καὶ ἡ τοῦ κύκλου περιφέρεια, ἣν ὁ ἥλιος ποιεῖ προσβάλλων τῇ σελήνῃ; ὅτε δὲ τοῦτο γένοιτο, εὐθεῖα γραμμὴ ἐφαίνετο ὁ ἥλιος· ἐπεὶ γὰρ ἀνάγκη τὸ προσβάλλον τὰς ὄψεις πρὸς τὴν σφαῖραν κύκλον ὁρᾶν, ἡ δὲ σελήνη σφαιροειδής, καὶ ὁ ἥλιος ὁρᾷ αὐτήν, κύκλος ἂν εἴη ὑπὸ τοῦ ἡλίου γινόμενος. Οὗτος οὖν ὅταν μὲν ἐξ ἐναντίας ἡμῖν γένηται, ὅλος φαίνεται καὶ δοκεῖ πανσέληνος εἶναι· ὅταν δὲ παραλλάττῃ διὰ τὴν τοῦ ἡλίου μετάβασιν, ἡ περιφέρεια αὐτοῦ κατὰ τὴν ὄψιν γίνεται, ὥστ' εὐθεῖα φαίνεται, τὸ δ' ἕτερον μέρος περιφερές, ὅτι ἐξ ἐναντίας κεῖται τῇ ὄψει ἡμισφαίριον, τὸ δὲ τοιοῦτο ἐφαίνετο ἡμικύκλιον· ἀεὶ γὰρ ἡ σελήνη κατ' ἀντικρύ ἐστι τῆς ὄψεως, ἀλλ' ὅταν ὁ ἥλιος ἐπιβάλλῃ, οὐχ ὁρῶμεν. Καὶ ἀναπληροῦται μετὰ τὴν ὀγδόην ἐκ τοῦ μέσου, ὅτι ἐπιπαρεξιὼν ὁ ἥλιος ἐκκλινέστερον ἡμῖν ποιεῖ τὸν κύκλον· οὕτω δὲ τιθέμενος πρὸς τὴν ὄψιν ὁ κύκλος κώνου τομῇ ἐμφερὴς ἐγένετο. Μηνοειδὴς δὲ φαίνεται, ὅταν ὁ ἥλιος μεταβῇ· ὅταν γὰρ κατὰ τὰ ἔσχατα σημεῖα καθ' ἃ διχότομος φαίνεται,

7. Cur lunam, quæ globosa est, rectam, ubi dimidiata est, cernimus? An quoniam idem planum visus noster obcupat et circuli ambitus, quem in lunam sol incidens facit? quoties vero hoc ita erat, sol tamquam recta linea adparebat: quum enim quod intuitus in globum injicit, orbem videre necesse sit, luna autem globosa sit, eamque sol intueatur, circulus erit quod a sole efficitur. Hic ergo ubi e regione se nobis obfert, totus adparet, atque plena videtur esse luna; ubi vero alternat, quia sol locum mutavit, ejus circumferentia e regione oculorum venit, ita ut luna recta videatur, dum altera pars in orbem sese colligat, quoniam hemisphærium intuentibus ex adverso est, hoc autem semicirculum repræsentabat: semper enim luna e regione intuentium est; sed ubi a sole obcupata est, eam non videmus. Atque repletur post diem octavum pro dimidia parte, quia paulatim evadens sol circulum magis ad nos inclinatum reddit, quumque ita posita adspectui se obponit, sectionem coni imitatur circulus. Lunata autem adparet, ubi sol locum mutavit: ubi enim circulus solis ad puncta devenerit ultima, secundum quæ dimidiata adparet,

ὁ κύκλος ὁ τοῦ ἡλίου γένηται, περιφέρεια φαίνεται ἡ τοῦ κύκλου· οὐ γὰρ ἔτι κατ' εὐθεῖάν ἐστι τῇ ὄψει, ἀλλὰ παραλλάττει. Τούτου δὲ γινομένου, καὶ διὰ τῶν αὐτῶν σημείων τοῦ κύκλου ὄντος, ἀνάγκη μηνοειδῆ φαίνεσθαι· μέρος γάρ τι τοῦ κύκλου κατὰ τὴν ὄψιν εὐθύς ἐστι τοῦ προτέρου ἐξ ἐναντίας ὄντος, ὥστε τοῦ λαμπροῦ ἀποτέμνεται. Εἶθ' οὕτω καὶ τὰ ἄκρα μένουσιν ἐν τῷ αὐτῷ, ὥστ' ἀνάγκη μηνοειδῆ φαίνεσθαι, μᾶλλον δὲ καὶ ἧττον διὰ τὴν τοῦ ἡλίου κίνησιν· μεταβαίνοντος γὰρ τοῦ ἡλίου καὶ ὁ κύκλος ὃν ὁρᾷ ἐπιστρέφεται, ἐν τοῖς αὐτοῖς σημείοις ὤν· ἀπείρους γὰρ ἐγκλίσεις ἐγχωρεῖ αὐτὸν κλιθῆναι, εἴπερ γραφῆναι τοὺς μεγίστους κύκλους διὰ τῶν αὐτῶν σημείων ἀπείρους ἐνδέχεται.

8. Διὰ τί ὁ ἥλιος καὶ ἡ σελήνη σφαιροειδῆ ὄντα ἐπίπεδα φαίνεται; Ἢ ὅτι πάντων ὅσων τὸ ἀπόστημα ἄδηλον, ὅτε πλεῖον ἢ ἔλαττον ἀφέστηκεν, ἐξ ἴσου φαίνονται, ὥστε καὶ ἐφ' ἑνὸς μέν, μόρια δ' ἔχοντος, ἂν μὴ τῇ χρόᾳ διαφέρῃ, ἀνάγκη τὰ μόρια ἐξ ἴσου φαίνεσθαι· τὸ δ' ἐξ ἴσου ὁμαλὸν καὶ ἐπίπεδον ἀνάγκη δοκεῖν εἶναι;

9. Διὰ τί τὰς σκιὰς ποιεῖ ὁ ἥλιος ἀνίσχων καὶ δύνων μακράς, αἰρόμενος δ' ἐλάττους, ἐπὶ τῆς μεσημβρίας δ' ἐλαχίστας; Ἢ ὅτι ἀνίσχων τὸ μὲν πρῶτον παράλληλον ποιήσει τὴν σκιὰν τῇ γῇ, καὶ ἄπειρον ὡς ἄνισον ὑπερτείνει, ἔπειτα μακράν· ἀεὶ δ' ἐλάττω διὰ τὸ ἀεὶ τὴν ἀπὸ τοῦ ἀνωτέρου σημείου εὐθεῖαν ἐντὸς πίπτειν. Γνώμων τὸ ΑΒ, ἥλιος οὗ τὸ Γ καὶ οὗ τὸ Δ· ἡ δ' ἀπὸ τοῦ Γ ἀκτίς, ἐφ' ἧς τὸ ΓΖ, ἐξωτέρω ἔσται τῆς ΓΕ. Ἔστι δὲ σκιὰ ἡ μὲν ΒΕ ἀνωτέρω ὄντος τοῦ ἡλίου, ἡ δὲ ΒΖ κατωτάτω· ἐλαχίστη δέ, ὅσῳ ἀνωτάτω, ἧ καὶ ὑπὲρ τῆς κεφαλῆς.

10. Διὰ τί αἱ ἀπὸ τῆς σελήνης σκιαὶ μείζους τῶν ἀπὸ τοῦ ἡλίου, ὅταν ἀπὸ τῆς αὐτῆς ὦσι καθέτου; Ἢ διότι ἀνώτερος ὁ ἥλιος τῆς σελήνης; Ἀνάγκη οὖν ἐντὸς πίπτειν τὴν ἀπὸ τοῦ ἀνωτέρω ἀκτῖνα. Γνώμων ἐφ' ᾧ ΑΔ, σελήνη Β, ἥλιος Γ. Ἡ μὲν οὖν ἀπὸ τῆς σελήνης ἀκτὶς ΒΖ· ὥστ' ἔσται σκιὰ ἡ τὸ ΔΖ· ἡ δ' ἀπὸ τοῦ ἡλίου ἡ τὸ ΓΕ, ὥστ' ἔσται σκιὰ ἐξ ἀνάγκης ἥττων· ἔσται γὰρ τὸ ΔΕ.

11. Διὰ τί ἐν ταῖς τοῦ ἡλίου ἐκλείψεσιν, ἐάν τις θεωρῇ διὰ κοσκίνου, ἢ φύλλων, οἷον πλατάνου, ἢ ἄλλου πλατυφύλλου, ἢ τοὺς δακτύλους τῆς ἑτέρας χειρὸς ἐπὶ τὴν ἑτέραν ἐπιζεύξας, μηνίσκοι αἱ αὐγαὶ ἐπὶ τῆς γῆς γίνονται; Ἢ ὅτι ὥσπερ δι' ὀπῆς ἐὰν λάμπῃ εὐγωνίου τὸ φῶς, στρογγύλον καὶ κῶνος γίνεται; Αἴτιον δ' ὅτι δύο γίνονται κῶνοι, ὅ τ' ἀπὸ τοῦ ἡλίου πρὸς τὴν ὀπὴν καὶ ὁ ἐντεῦθεν πρὸς τὴν γῆν, καὶ συγκόρυφοι. Ὅταν οὖν ἐχόντων οὕτως ἄνωθεν κύκλῳ ἀποτέμνηται, ἔσται μηνίσκος ἐξ ἐναντίας ἐπὶ τῆς γῆς τοῦ φωτός· ἀπὸ τοῦ μηνίσκου γὰρ τῆς περιφερείας γίνονται αἱ ἀκτῖνες, αἱ

circumferentia circuli adparet: non enim amplius secundum lineam rectam oculis obposita est, sed deflectit. Hoc autem ubi fit, quum circulus per eadem ducatur puncta, necessario lunata adparet: pars enim aliqua circuli qui antea e regione erat, oculis recta sese offert, ita ut de parte lucida abscindatur aliquid. Tum etiam hoc modo extrema in eodem loco manent, ita ut necessario lunata adpareat, sed tamen plus minusve propter solis motum: ubi enim sol locum mutat, circulus quem videt, etiam convertitur, etiamsi per eadem puncta ductus maneat, quippe quum fieri possit ut innumeras faciat inclinationes, siquidem magni circuli per eadem puncta describi innumeri possint.

8. Cur sol et luna plana adparent, quum tamen globosa sint? An quod omnia quorum distantia latet, sive plus, seu minus distent, in plano posita esse videntur, ita ut etiam rei quæ unica quidem est, sed in partes distinguitur, nisi color variet, partes ex æquo collocatas adparere necessum est; quod autem ex æquo est, idem æquabile planum esse videri necesse est?

9. Cur sol oriens atque obcidens umbras efficit longas, efferens vero se minores, meridie tandem minimas? An quod oriens principio quidem umbram efficit ubique a terra æque distantem ac infinitam, ita ut ad eam superfendendam non subficiat; deinde longam, atque minorem subinde, quia linea recta, quæ de puncto superiori ducitur, semper magis introrsum cadit. Sit gnomon AB, sol ubi C et ubi D; radius autem ex C proficiscens, cui CF inscriptum est exterius procidet quam DE. At umbra BE quidem est, ubi sol superiorem obcupat locum; BF vero, ubi intimum: quo enim sol superior fuerit, eo minor umbra, quatenus super capita nostra versatur.

10. Cur umbræ lunæ majores quam solis sunt, ubi ab eodem proveniunt perpendiculo? An quod sol superior quam luna est? Itaque radium qui de superiori prodierit, interius cadere necesse est. Sit gnomon cui AD inscriptum est, luna B, sol C. Lunæ itaque radius BF: ergo umbra lunæ DF erit; solis vero radius CE: ergo umbra necessario minor erit: erit enim DE.

11. Cur deficientem solem si quis per cribrum, aut frondes, veluti platani vel alius arboris latifoliæ, aut digitis manuum invicem perplexis inspiciat, splendores in terra lunulas efficiunt? An quod quemadmodum ubi per angulatum foramen lux illucescit, rotunda turbinataque prodit? Cujus rei ratio est quod duo fiunt coni eodem apice utentes, qui de sole ad foramen extenditur, et qui inde ad terram. Sic itaque se habentibus rebus, ubi sol superne orbiculatim truncatur, quod ex adverso super terram eluxerit, lunula erit, quippe quum a lunulæ circumferentia radii proveniant

δ' ἐν τοῖς δακτύλοις καὶ κοσκίνοις οἷον ὀπαὶ γίνονται· διὸ ἐπιδηλότερον γίνεται ἢ διὰ μεγάλων ὀπῶν. Ἀπὸ δὲ τῆς σελήνης οὐ γίνονται, οὔτ' ἐκλειπούσης, οὔτ' ἐν αὐξήσει οὔσης, ἢ φθίσει, διὰ τὸ μὴ ἀκριβεῖς τὰς ἀπὸ τῶν ἄκρων αὐγὰς εἶναι, ἀλλὰ τῷ μέσῳ φαίνειν· ὁ δὲ μηνίσκος μικρὸν τὸ μέσον ἔχει.

atque digitorum et cribrorum interstitia quasi foramina fiunt: quapropter manifestius fit ita quam per foramina ampliora. Luna autem hujusmodi lunulas non producit, neque deficiens, neque increscens, neque decrescens, quia ejus extrema claros splendores non dimittunt, sed ipsa media lucet; lunula autem medium exiguum habet.

12. Διὰ τί παρήλιος οὐ γίνεται οὔτε μεσουρανοῦντος τοῦ ἡλίου, οὔθ' ὑπὲρ τὸν ἥλιον, οὔθ' ὑπὸ τὸν ἥλιον, ἀλλ' ἐκ πλαγίων μόνον; Ἢ διότι παρήλιος γίνεται κλωμένης τῆς ὄψεως πρὸς τὸν ἥλιον, αὕτη δὲ τοῦ ἀέρος ἡ στάσις, ἐφ' ἧς ἀνακλᾶται ἡ ὄψις, οὔτ' ἐγγὺς ἂν γένοιτο τοῦ ἡλίου, οὔτε πόρρω; ἐγγὺς μὲν γὰρ οὖσαν ὁ ἥλιος διαλύσει, πόρρω δ' οὔσης ἡ ὄψις οὐκ ἀνακλασθήσεται· ἀπὸ γὰρ μικροῦ ἐνόπτρου πόρρω ἀνατεινομένη ἀσθενὴς γίνεται· διὸ καὶ ἅλως οὐ γίνεται. Ἐξ ἐναντίας τοῦ ἡλίου μὲν οὖν ἐὰν γίνηται καὶ ἐγγύς, διαλύσει ὁ ἥλιος, ἐὰν δὲ πόρρω, ἐλάττων ἡ ὄψις προσπεσεῖται· ἐὰν δ' ἐν τῷ πλαγίῳ, ἔστι τοσοῦτον ἀποστῆναι τὸ ἔνοπτρον ὥστε μήτε τὸν ἥλιον διαλῦσαι, μήτε τὴν ὄψιν ἀθρόαν ἀνελθεῖν, διὰ τὸ ὑπὸ τὴν γῆν φέρεσθαι. Ὑπὸ δὲ τὸν ἥλιον οὐ γίνεται διὰ τὸ πλησίον μὲν τῆς γῆς ὄντος διαλύεσθαι ἂν ὑπὸ τοῦ ἡλίου, ἄνω δὲ μεσουρανίου τὴν ὄψιν διασπᾶσθαι. Καὶ ὅλως οὐδ' ἐκ πλαγίας μεσουρανίου γίνεται, ὅτι ἡ ὄψις ὑπὸ τὴν γῆν ἐὰν λίαν φέρηται, ὀλίγη ἥξει εἰς τὸ ἔνοπτρον, ὥστ' ἀνακλωμένη πᾶν ἔσται ἀσθενής.

12. Cur numquam sole cœlo in medio stante, fit parhelion, nec supra solem, nec infra, sed ex lateribus tantum? An quod parhelion fit, ubi solem versus intuitus refringitur, hæcce autem aeris stagnatio ad quam intuitus refringitur, neque prope solem, nec procul ab eo effici potest? nam si prope quidem sit, resolvetur a sole, sin vero procul, intuitus refringi non poterit: ubi enim longe de parvo speculo extenditur, imbecillus redditur: quamobrem area quoque non fit. E regione itaque solis et in propinquo si fiat, a sole dissolvetur; sin vero procul, intuitus minor incidet; sed si in latere, speculum tantum distare licet, ut nec a sole dissolvatur, nec confertus abeat intuitus, quia nempe sub terram fertur. Sub sole autem non fit, quia si sol prope terram esset, dissolveretur a sole; sin autem supra cœlo in medio, intuitus distraheretur. Denique in universum ne a latere quidem fit sole cœlum medium tenente, quoniam ubi intuitus admodum fertur sub terram, exiguus ad speculum veniet: quapropter refractus omnino imbecillus erit.

13. Διὰ τί τῆς σκιᾶς τὸ ἄκρον τοῦ ἡλίου τρέμειν φαίνεται; οὐ γὰρ δὴ διὰ τὸ φέρεσθαι τὸν ἥλιον· ἀδύνατον γὰρ κινεῖσθαι εἰς τἀναντία, ὁ δὲ τρόμος τοιοῦτος. Ἔτι δ' ἄδηλος ἡ μετάβασις, ὥσπερ καὶ τοῦ ἡλίου αὐτοῦ. Ἢ διὰ τὸ κινεῖσθαι τὰ ἐν τῷ ἀέρι; καλεῖται δὲ ξύσματα· φανερὰ δ' ἔσται ἐν ταῖς ἀκτῖσι ταῖς διὰ τῶν θυρίδων· ταῦτα γὰρ κινεῖται κἂν νηνεμίᾳ. Ἐκ τ' οὖν τῆς σκιᾶς εἰς τὸ φῶς ἔκ τε τοῦ φωτὸς εἰς τὴν σκιὰν φερομένων ἀεί, καὶ ὁ ὅρος ὁ κοινὸς τοῦ φωτὸς καὶ τῆς σκιᾶς φαίνεται κινούμενος πάρεγγυς· ᾗ γὰρ οἷον σκιὰν ποιοῦσιν, ᾗ δὲ φῶς, ἑκατέρωθεν μεταβάλλονται ταῦτα, ὥσθ' ἡ σκιὰ φαίνεται κινεῖσθαι, οὐ κινουμένη αὐτὴ οὕτως, ἀλλ' ἐκεῖναι.

13. Cur solis umbræ extremum tremere videtur? haudquaquam enim quia sol fertur: nam fieri non potest ut motus fiat in partes contrarias, tremor autem hujusmodi est. Ad hæc transitio umbræ inconspicua est, quomodo etiam solis ipsius. An quod moventur quæ in aere continentur? vocantur autem ramenta conspicuaque erunt in solis radiis qui transmeant per fenestras: hæc enim moventur etiam sine ullo vento. Ergo quum semper de umbra in lucem atque de luce in umbram moveantur, terminus quoque lucis ac umbræ communis propinscule moveri videtur: quatenus enim ab altera parte quasi umbram, ab altera vero lucem faciunt, utrimque immutantur hæc, ita ut moveri umbra videatur, etiamsi non hæc, sed illa hunc in modum agitentur.

ΤΜΗΜΑ ΙϚ.

ΟΣΑ ΠΕΡΙ ΤΑ ΑΨΥΧΑ.

SECTIO XVI.

QUÆ AD RES INANIMATAS PERTINENT.

1. Διὰ τί αἱ μὲν βάσεις τῶν πομφολύγων λευκαὶ ἐν τοῖς ὕδασι, καὶ ἐὰν ἐν ἡλίῳ τεθῶσι, σκιὰν οὐ ποιοῦσιν, ἀλλ' ἡ μὲν ἄλλη πομφόλυξ σκιὰν ποιεῖ, ἡ δὲ βάσις οὐ ποιεῖ, ἀλλ' ἡλίωται κύκλῳ; Τὸ δ' ἔτι θαυμασιώτερον, ὅτι οὐδ' ἐάν τι τεθῇ ξύλον εἰς τὸ ὕδωρ ἐν τῷ ἡλίῳ, τέμνεται ὑπὸ τοῦ ὕδατος ταῦτα. Ἢ οὐ γίνεται σκιά, ἀλλ' ἡλίῳ διήρηται ἡ σκιά; Εἰ οὖν σκιά ἐστι τὸ μὴ ὁρώμενον, καὶ ὑπὸ τοῦ ἡλίου κύκλῳ ἂν ὁρῷτο ὁ ὄγκος.

1. Cur bases quidem bullarum candidæ sunt in aqua, et si soli exponantur, nullam efficiunt umbram, sed reliqua quidem bulla umbram facit, basis autem non facit, sed circumcirca a sole illustratur? Quod vero etiam mirabilius est, nec si lignum aquæ soli expositum indideris, ab aqua hæc dirimuntur. An non fit umbra, sed sole dirimitur? Quodsi itaque umbra est id quod non cernitur, moles bullæ quoque a sole circumcirca cernetur. Atqui hoc

Τοῦτο δ' ὅτι ἀδύνατον, δείκνυται ἐν τοῖς ὀπτικοῖς· οὐδὲ γὰρ τὸ ἐλάχιστον ὑπὸ τοῦ μεγίστου ἐνδέχεται ὅλον περιοφθῆναι.

2. Διὰ τί αἱ πομφόλυγες ἡμισφαίρια; Ἢ διὰ τὸ ὡς ἀπὸ κέντρου πρὸς τὸν ἀέρα φέρεσθαι ἄνω ὁμοίως πάντῃ; ἀνάγκη δὲ τοῦτο ἡμισφαίριον εἶναι· τὸ κάτω δ' ἡμισφαίριον ἀποτέμνεται ὑπὸ τοῦ ἐπιπέδου τοῦ ὑδατώδους, ἐν ᾧ τὸ κέντρον ἐστίν.

3. Διὰ τί τοῖς ἄνισον τὸ βάρος ἔχουσιν μεγέθεσιν, ἐάν τις τὸ κουφότερον κινῇ, κύκλῳ περιφέρεται τὸ βαλλόμενον, οἷον τοῖς μεμολιβδωμένοις ἀστραγάλοις συμβαίνει, ἄν τις βάλλῃ τὸ κουφότερον πρὸς αὐτὸν στρέψας μέρος; Ἢ ὅτι τὸ βαρύτερον ἀδύνατον ἰσοδρομεῖν τῷ κουφοτέρῳ, ἀπὸ τῆς αὐτῆς ἰσχύος ῥιφθέν· ἐπεὶ δ' ἀνάγκη μὲν πάμπαν κινεῖσθαι, ἐξ ἴσου δ' ἀδύνατον, ὁμοταχῶς μὲν φερόμενα τὴν αὐτὴν οἰσθήσεται γραμμήν, θᾶττον δὲ θατέρου φερομένου κύκλον ἀνάγκη φέρεσθαι, ἐπειδὴ ἐν τούτῳ μόνῳ τῷ σχήματι ταὐτὰ ἀεὶ κατάλληλα ὄντα σημεῖα ἐν ταὐτῷ χρόνῳ ἀνίσους διέρχεται γραμμάς;

4. Διὰ τί τὰ πίπτοντα ἐπὶ τὴν γῆν καὶ ἀφαλλόμενα ὁμοίας γωνίας ποιεῖ πρὸς τὸ ἐπίπεδον ἐφ' ἑκάτερα τοῦ σημείου ᾧ ἥψατο τοῦ ἐπιπέδου; Ἢ ὅτι πάντα μὲν φύσει φέρεται πρὸς ὀρθήν; Τὰ μὲν οὖν εἰς ὁμαλὲς πεσόντα, τῇ καθέτῳ καὶ τῇ διαμέτρῳ προσκρούσαντα τῷ ἐπιπέδῳ, τοσαύτας ποιεῖ γωνίας ἀφαλλόμενα διὰ τὸ τὴν μὲν διάμετρον ἴσα διαιρεῖν· τὰ δ' εἰς τὰ πλάγια πίπτοντα οὐ τῇ καθέτῳ προσκρούοντα τῷ χωρίῳ, ἀλλὰ τῷ ἀνωτέρω τῆς καθέτου σημείῳ, συμβαίνει πάλιν ἀνωσθέντα ὑπὸ τοῦ πληγέντος τόπου εἰς τοὐναντίον φέρεσθαι, τὰ μὲν στρογγύλα, ὅτι ἐν αὐτῷ φερόμενα εἰς τοὐναντίον τῆς ἀπώσεως ἐξελίττεται, ἐάν τ' ἠρεμῇ τὸ μέσον αὐτῶν, ἐάν τε καὶ τόπον διαλλάττῃ· τὰ δ' εὐθύγραμμα διά τε τὴν κάθετον αὐτῶν εἰς τοὔμπροσθεν προσηνέχθη ἐκκρούεσθαι, καθάπερ τοῖς τε ξυρουμένοις τὰ σκέλη συμβαίνει, καὶ ὧν τοὺς κολύθρους ὑφαρπάζουσιν· πάντες γὰρ οὗτοι εἰς τοὐναντίον καὶ ὄπισθεν ἐπιπίπτουσι, διὰ τὸ ἰσάζειν αὐτὰ τὴν κάθετον, μετέωρόν τ' εἶναι καὶ εἰς τοὔμπροσθεν ἐκκρούεσθαι· τὰ γὰρ ἐναντία δηλονότι αὐτῆς ὄπισθέν τε καὶ κάτω συμβαίνει γίνεσθαι, κάτω δὲ φερόμενα βαρύτερα ἂν εἴη. Ὃ οὖν τούτοις πτῶμα, τοῖς ἀφαλλομένοις φορὰν συμβαίνει γίνεσθαι. Πρὸς ὀρθὴν μὲν οὖν οὐδέτερα αὐτῶν ἀφάλλεται διὰ τὸ τὴν μὲν κάθετον δίχα τῷ βάρει διαιρεῖν τὰ φερόμενα, καθέτους δὲ πλείους πρὸς ταὐτὸ ἐπίπεδον μὴ γίνεσθαι τεμνούσας αὑτάς· ὃ τούτοις συμβήσεται καθέτου γινομένης κατὰ τὴν ἔφαλσιν, ᾗ προσέκρουσε τῷ ἐπιπέδῳ τὸ φερόμενον· διχοτομεῖσθαι (γὰρ ?) πάλιν ὑπ' αὐτῆς αὐτὸ συμβήσεται, ὥστ' ἀναγκαῖον τέμνεσθαι ὑπ' αὐτῆς τὴν πρώτην κάθετον ἐφ' ἧς ἐφέρετο. Ἐπεὶ δ' εἰς τοὐναντίον μὲν οἰσθήσεται, πρὸς ὀρθὴν δ' οὐχ οἰσθήσεται, λοιπὸν ὀξεῖαν γίνεσθαι γω-

fieri non posse in libris de rebus visionem spectantibus demonstratur, quippe quum minimum a maximo totum circumadspici non possit.

2. Cur bullæ speciem hemisphærii præ se ferunt? An quod tamquam de centro in aera sursum æqualiter undique feruntur? quo quidem modo hemisphærium exsurgat necesse est; dimidium autem sphæræ inferius aquæ planitie abscinditur, in qua centrum situm est.

3. Cur in magnitudinibus quæ pondere sunt inæquali, adcidit ut, si partem moveas leviorem, in orbem circumferatur quod jacitur, ut in talis fit plumbo gravatis, si quis parte leviori ad se conversa projiciat? An quod fieri non potest ut gravius eodem impetu quo levius feratur, ubi eisdem viribus jactum est; sed quum omnino quidem moveri necesse sit, fieri vero non possit ut æquali impetu moveantur, si pari quidem celeritate ferantur, eamdem lineam percurrent; sin autem alterum altero feratur celerius, circulo ferri necesse erit, quandoquidem hac sola in figura puncta eadem sibi invicem obversa semper lineas inæquales eodem tempore percurrunt?

4. Cur ea quæ in terram cadunt atque resiliunt, angulos ad solum faciunt æquales utraque ex parte puncti quo solum tetigerint? An quod omnia sua natura ad perpendiculum feruntur? Quæ igitur in locum æqualem ceciderunt, si ex perpendiculo diametroque solo impingantur, resilientia pares angulos ideo faciunt, quod diametros sane in partes æquales dividit; quæ autem ad latera incidunt, quoniam non secundum perpendiculum in locum sese impinguat, sed in punctum ultra perpendiculum situm, adcidit ut denuo repulsa a loco icto contrariam in partem ferantur, rotunda quidem, quoniam propter motum quo eodem loco manent, in regionem loco unde venerint, oppositam sese evolvunt, sive quiescat eorum medium, seu etiam locum permutet; rectis vero terminata lineis, quod perpendiculum eorum loco deturbatur, in partem priorem deferuntur, ut his adcidit qui cruribus solum verrunt, aut quibus pedales subripiunt: hi namque omnes adversam in partem retrorsumque corruunt, quoniam hæc perpendiculum coæquant, id autem suspensum est atque priorem in partem deturbatur, quippe adcidit nimirum ut perpendiculi contrarium retro infraque sit; quodsi autem deorsum ferrentur, graviora essent. Quod igitur his casus, idem rebus resilientibus evenit ut transitus sit. Ergo ad perpendiculum neutra eorum resiliunt, quia perpendiculum quidem ponderis ratione corpora quæ feruntur, in duas partes dividit æquales; fieri autem non potest ut plura perpendicula idem ad planum demittantur se invicem secantia: quod tamen his adcideret, si perpendiculum fieret linea secundum quam, dum illidit, planum obfendit corpus quod fertur: eveniet enim, ut rursus ab eo bipartito dividatur planum, ita ut ab ea primum perpendiculum secundum quod ferebatur corpus, secari necesse sit. Sed quandoquidem adversam quidem in partem feretur, secundum rectum tamen angulum non feretur, reliquum est ut acutus reddatur

νίαν τὴν ἐπὶ θατέρῳ τοῦ προσπεσόντος τῷ ἐπιπέδῳ σημείου· ὅρος γάρ ἐστιν ἡ ὀρθὴ τῶν ἐναντίων γωνιῶν.

5. Διὰ τί ὁ μὲν κύλινδρος ὠσθεὶς εἰς εὐθύ τε φέρεται καὶ γράφει εὐθείας τοῖς ὁρίζουσιν αὐτὸν κύκλοις, ὁ δὲ κῶνος κύκλῳ περιφέρεται, τῆς κορυφῆς μενούσης, καὶ γράφει τὸν κύκλον τῷ ὁρίζοντι κύκλῳ; Κύκλῳ μὲν ἀμφότερα φέρεται, γράφει δ' ἐν τῷ ἐπιπέδῳ ὁ μὲν κύλινδρος εὐθείας, ὁ δὲ κῶνος κύκλους, διὰ τὸ τοὺς μὲν ἐν τῷ κώνῳ ἀνίσους εἶναι κύκλους, φέρεσθαι δ' ἀεὶ θᾶττον τὸν μείζονα τῶν περὶ τὸ αὐτὸ κέντρον· φερομένων δ' ἀνίσως πάντων ἅμα τῶν ἐν τῷ κώνῳ κύκλων, συμβαίνει τοὺς ἐξωτάτω πλεῖστον ἐν ταὐτῷ χρόνῳ τόπον καὶ γραμμὴν φέρεσθαι· διὸ καὶ κύκλῳ φέρονται· γράφονταί τε γὰρ πάντες τῇ αὐτῇ εὐθείᾳ, καὶ τῆς εὐθείας κύκλῳ μὲν φερομένης οὐ πάντα τὰ ἐν αὐτῇ σημεῖα ἴσην ἐν ταὐτῷ χρόνῳ γράφει γραμμήν, εἰς εὐθὺ δὲ φέρει τὴν ἴσην. Τοῦ δὲ κυλίνδρου πάντων ἴσων ὄντων τῶν κύκλων καὶ περὶ ταὐτὸ κέντρον, συμβαίνει τὰ ἅμα τοῦ ἐπιπέδου ἐν αὐτοῖς πάνθ' ἁπτομένοις σημεῖα φέρεσθαί τ' ἰσοταχεῖς κυλιομένους διὰ τὸ τοὺς κυλίνδρους ἴσους εἶναι, καὶ ἥκειν ἐπὶ τὸ ἐπίπεδον πάλιν ἅμα ἐκκυλισθέντα ἕκαστον τὸν αὐτοῦ κύκλον, ὥστε καὶ τὰς ἐν τῷ ἐπιπέδῳ εὐθείας ἴσας γίνεσθαι· τῇ γὰρ αὐτῶν ἁφῇ αὐτὰς ἔγραψαν, ὄντες ἴσοι τε καὶ ἰσοταχεῖς. Ἐγίνοντο δ' εὐθεῖαι αἱ ὑπὸ τῆς αὐτῆς γραφεῖσαι γραμμῆς εἰς εὐθὺ φερομένης, ὥστε διὰ ταύτας εἰς εὐθὺ ἀναφέροιτο ὁ κύλινδρος· διαφέρει γὰρ οὐθέν, ᾗ ἡ πρώτη ἥψατο ὁ κύλινδρος τοῦ ἐπιπέδου γραμμῇ, ταύτῃ ἕλκειν ἐν τῷ ἐπιπέδῳ, ἢ ἐγκυλίειν αὐτό· ἀεὶ γὰρ ἴσην καὶ ὁμοίαν γραμμὴν τῶν ἐν τῷ κυλίνδρῳ συμβήσεται ἅπτεσθαι τοῦ ἐπιπέδου, ἑλκομένου τε καὶ κυλιομένου τοῦ κυλίνδρου.

6. Διὰ τί τῶν βιβλίων ἡ τομὴ οὖσα ἐπίπεδος καὶ εὐθεῖα, ἐὰν μέν τις τέμῃ παρὰ τὴν βάσιν, γίνεται εὐθεῖα ἀνελιττομένη, ἐὰν δ' ἐγκλίνας, σκολιά; Ἢ ὅτι συμβαίνει τῶν ἐν τῇ ἑτέρᾳ τομῇ κύκλων ἐν ταὐτῷ ἐπιπέδῳ ὄντων τὴν ἐγκεκλιμένην τομὴν μὴ παρακειμένην εἶναι, ἀλλ' ἐν τῇ μὲν πλεῖον, τῇ δ' ἔλαττον αὐτῆς ἀπέχειν, ὥστ' ἐξελιττομένου οἱ μὲν ἐν ταὐτῷ ἐπιπέδῳ ὄντες κύκλοι καὶ τὴν ἀρχὴν ἔχοντες ἐν ταὐτῷ ἐπιπέδῳ τὴν ἐξ αὐτῶν ποιήσουσι γραμμὴν ἐξελιττόμενοι· ἔστι γὰρ ἡ γινομένη γραμμὴ ἐκ τῶν κύκλων οἵ εἰσιν ἐν ταὐτῷ ἐπιπέδῳ· ὥστε καὶ εὐθεῖα οὖσα ἐν ἐπιπέδῳ. Ἡ τε τῆς λοξῆς τομῆς ἐξελιττομένη γραμμὴ οὐχ οὖσα παρὰ τὴν πρώτην, ἀλλὰ τῇ μὲν πλέον, τῇ δ' ἔλαττον αὐτῆς διεστηκυῖα, διὰ τὸ καὶ τὴν τομὴν οὕτως ἔχειν πρὸς αὐτήν, οὐχ ἐν ἐπιπέδῳ ἔσται, ὥστ' οὐδ' εὐθεῖα· τῆς γὰρ εὐθείας οὐκ ἔστι τὸ μὲν ἐν ἄλλῳ, τὸ δ' ἐν ἄλλῳ ἐπιπέδῳ.

7. Διὰ τί διαιρούμενα τὰ μεγέθη ἐλάττω φαίνεται πάντα τοῦ ὅλου; Ἢ ὅτι διαιρούμενα μὲν ἀριθμὸν ἔχει πάντα, μεγέθει δ' ἐλάττω ἐστὶ τοῦ ἑνός; τὸ μὲν γὰρ

angulus a parte altera puncti, quod plano incidit: oppositorum enim inter sese angulorum terminus rectus angulus est.

5. Cur cylindrus quidem propulsus fertur in directum, suisque terminantibus orbibus lineas rectas describit; conus vero suo manente mucrone in orbem circumfertur, suoque terminanti orbe orbem describit? Circulo quidem uterque fertur; verum cylindrus quidem rectas lineas in plano describit, conus vero orbes, eo quod coni quidem orbes inæquales sunt, atque inter circulos eodem centro utentes semper major celerius fertur; quum autem omnes coni orbes simul, etiamsi inæquali motu ferantur, evenit ut extimi amplissimum locum et longissimam lineam tempore eodem percurrant: quapropter etiam circulo feruntur, quippe quum omnes eadem recta linea describantur, atque ubi linea recta circulo fertur, non omnia sita in ea puncta æqualem lineam eodem tempore describunt; ubi vero in directum, æqualem producit. Cylindri vero quum omnes orbes pares inter se sunt, axemque eumdem ambiunt, evenit iis, utpote omnibus quæ circulis continentur, punctis planum simul tangentibus, ut, dum volvuntur, pari celeritate ferantur, quia æquabiles sunt cylindri, et rursus ad planum simul omnia redeant puncta, postquam suum quodque orbem volvendo absolverit, ita ut lineæ quoque rectæ quæ in plano describuntur, pares fiant: suo namque tactu eas descripserunt orbes qui æquales sunt parique utuntur celeritate. Atqui rectæ fiebant lineæ, quas linea eadem quæ recta fertur, descripserit: ergo propter has lineas in directum feretur cylindrus: nil enim refert, utrum qua linea prima cylindrus planum tetigerit, hac cylindrum in plano protrahas, an eum volvas: semper namque eveniet ut æqualis linea similisque e numero earum quæ cylindro continentur, planum tangat, sive protrahatur cylindrus, sive provolvatur.

6. Cur sectio librorum, etiamsi recta ac plana sit, si quis eam ubivis æque a basi distantem duxerit, recta fit ubi evolvitur; sin autem inclinarit, contorta? An quia evenit ut, quum orbes secturæ alterius eodem in plano positi sint, declinans incisura non ubivis æque distet, sed alia quidem pagina plus, alia vero minus a basi absit, ita ut ubi evolveris, orbes quidem qui plano eodem insunt suumque initium in plano habent eodem, suam producant lineam ubi explicantur, quippe quum linea quæ inde exoritur, profecta ex orbibus sit, qui plano eodem incumbunt: quapropter et recta erit, quandoquidem in plano sita est. At obliquæ secturæ linea, quoniam a prima non ubivis æque distat, sed hac quidem plus, illac vero minus ab ea abest, utpote quum ipsa quoque sectura eamdem ad eam servat rationem, ubi evolvitur, in plano sita non erit, atque hinc quoque non recta esse poterit: etenim fieri non potest ut rectæ lineæ pars alia in alio plano sita sit.

7. Cur omnis magnitudo quæ dividitur, minor esse suo toto videtur? An quod omnia quæ dividuntur quidem, numerum recipiunt, quamquam magnitudinis ratione minora

μέγα τῷ κατὰ συνέχειαν εἶναι καὶ ποσόν τι μέγα λέγεται, ὁ δ' ἀριθμός τε πᾶς παντὸς μεγέθους ἀριθμοῦ μείζων· διόπερ εἰκὸς τὸ ὅλον διαιρεθέντων τῶν μερῶν μεῖζον φαίνεσθαι· τῶν αὐτῶν γὰρ ὄντων αὐτῶν τὸ μὲν ὅλον τὴν τοῦ μεγέθους ἔχει μᾶλλον φύσιν, συνεχὲς ὄν, τὰ δὲ μέρη τὴν τοῦ ἀριθμοῦ.

8. Τῶν περὶ τὴν κλεψύδραν συμβαινόντων τὸ μὲν ὅλον ἔοικεν εἶναι αἴτιον καθάπερ Ἀναξαγόρας λέγει· ὁ γὰρ ἀήρ ἐστιν αἴτιος, ἐναπολαμβανόμενος ἐν αὐτῇ, τοῦ μὴ εἰσιέναι τὸ ὕδωρ ἐπιληφθέντος τοῦ ἄλλου. Οὐ μὴν ἁπλῶς γε αἴτιος· κἂν γάρ τις αὐτὴν πλαγίαν ἐνῇ εἰς τὸ ὕδωρ, ἐπιλαβὼν τὸν αὐλόν, εἴσεισι τὸ ὕδωρ· διόπερ οὐ λέγεται ὑπ' αὐτοῦ ἱκανῶς ᾗ αἴτιόν ἐστιν· ἔστι δ' αἴτιον μέν, καθάπερ εἴρηται, ὁ ἀήρ· οὗτος δ' ὠθούμενός τε καὶ καθ' ἑαυτὸν φερόμενος καὶ μὴ βιαζόμενος ἐπ' εὐθείας πέφυκε φέρεσθαι, καθάπερ καὶ ἄλλα στοιχεῖα. Πλαγίας μὲν οὖν βαφείσης τῆς κλεψύδρας, διὰ τῶν ἐναντίων τοῖς ἐν τῷ ὕδατι τρυπημάτων ἐπ' εὐθείας μένων ὑπὸ τοῦ ὕδατος ἐξέρχεται, ὑποχωροῦντος δ' αὐτοῦ τὸ ὕδωρ εἰσέρχεται· ὀρθῆς δ' εἰς τὸ ὕδωρ βαφείσης τῆς κλεψύδρας, οὐ δυνάμενος πρὸς ὀρθὴν ὑποχωρεῖν διὰ τὸ πεφράχθαι τὰ ἄνω, μένει περὶ τὰ πρῶτα τρυπήματα· ἅττεσθαι γὰρ εἰς αὐτὸν οὐ πέφυκεν. Σημεῖον δ' ἐστὶ τοῦ εἴργειν δύνασθαι τὸ ὕδωρ ἀκινητίζοντα τὸν ἀέρα τὸ ἐπ' αὐτῆς γινόμενον τῆς κλεψύδρας· ἐὰν γάρ τις αὐτῆς αὐτὴν τὴν κωδύαν ἐμπλήσας ὕδατος, ἐπιλαβὼν τὸν αὐλόν, καταστρέψῃ ἐπὶ τὸν αὐλόν, οὐ φέρεται τὸ ὕδωρ διὰ τοῦ αὐλοῦ ἐπὶ στόμα· ἀνοιχθέντος δὲ τοῦ στόματος οὐκ εὐθὺς ἐκρεῖ κατὰ τὸν αὐλόν, ἀλλὰ μικροτέρῳ ὕστερον, ὡς οὐκ ὂν ἐπὶ τῷ στόματι τοῦ αὐλοῦ, ἀλλ' ὕστερον διὰ τούτου φερόμενον ἀνοιχθέντος. Πλήρους τε καὶ ὀρθῆς οὔσης τῆς κλεψύδρας, ἀνοιχθέντος τοῦ αὐλοῦ εὐθὺς ῥεῖ διὰ τοῦ ἠθμοῦ, διὰ τὸ ἐκείνου μὲν ἅπτεσθαι, τῶν δ' ἄκρων τοῦ αὐλοῦ μὴ ἅπτεσθαι. Οὐκ εἰσέρχεται μὲν οὖν τὸ ὕδωρ εἰς τὴν κλεψύδραν διὰ τὴν προειρημένην αἰτίαν· ἐξέρχεται δ' ἀνοιχθέντος τοῦ αὐλοῦ διὰ τὸ τὸν ἐν αὐτῷ ἀέρα κινούμενον ἄνω καὶ κάτω πολλὴν κένωσιν ποιεῖν τοῦ ἐν τῇ κλεψύδρᾳ ὕδατος, ὠθούμενον δὲ κάτω καὶ αὐτὸ ῥέπον εἰς αὐτὸ εἰκότως ἐκρεῖ, βιαζόμενον τὸν ἐκτὸς τῆς κλεψύδρας ἀέρα κινούμενόν τε καὶ ὄντα ἴσον τῇ δυνάμει τῷ ἐπωθοῦντι αὐτὸν ἀέρι, τῇ δ' ἀντερείσει ἀσθενέστερον ἐκείνου διὰ τὸ διὰ στενοῦ αὐτὸν τοῦ αὐλοῦ ῥέοντα θᾶττον καὶ σφοδρότερον ῥεῖν καὶ προσπίπτειν τῷ ὕδατι. Τοῦ δὲ πωμασθέντος τοῦ αὐλοῦ μὴ συρρεῖν τὸ ὕδωρ αἴτιον, ὅτι τὸ ὕδωρ εἰσιὸν εἰς τὴν κλεψύδραν ἐξωθεῖ βίᾳ τὸν ἀέρα ἐξ αὐτῆς. Σημεῖον δ' ἐστὶ τὸ γινόμενον ἐν ταύτῃ πνεῦμα καὶ ἐρυγμός. Εἰσιόντος δὲ τοῦ ὕδατος, βίᾳ ὠθοῦν συνεισπίπτει εἰς τὸν αὐλὸν αὐτοῦ, καθάπερ τὰ ἐκπιεστὰ ξύλα ἢ χαλκὸς τῇ διαιρέσει πιεζούμενος μένει ἄνευ παντὸς ἄλλου συνδέσμου (ἕως ἄν?) ἐκκρουσθῇ ἐκ τοῦ ἐναντίου, καθάπερ τοὺς κατεαγότας ὀπιούρους ἐν τοῖς ξύλοις ἐκκρούουσιν. Συμ

sunt quam unum? magnum enim eo quod continuum quantitasque quædam est, magnum dicitur; numerus vero omnis omni magnitudinis numero major est: quamobrem ut partibus divisis majus adpareat totum, rationi consentaneum est: quum enim partes totumque idem sint, totum quidem naturam potius magnitudinis præ se fert, utpote continuum, partes vero naturam numeri magis sortiuntur.

8. Eorum quæ circa clepsydram eveniunt, in universum quidem causa esse videtur ea quam Anaxagoras refert: aer enim qui in ea includitur, causa est, ne aqua ingredi possit fistula obturata. Non tamen simplici ratione hic causa est: namsi quis eam fistula adprehensa transversam immergat in aquam, intrat aqua: quamobrem non satis auctor ille exposuit quatenus aer causa sit: nam est quidem causa, quemadmodum diximus, aer: hic enim ubi impellitur atque per se ipse fertur nulla vi ei illata, suapte natura fertur per directum, ut etiam alia elementa. Itaque clepsydra transverse immersa, aer per foramina quæ aquæ foraminibus obposita sunt, quippe quum in directum positus manet, sub aqua exit, eo vero evadente, aqua intrat; at si recta in aquam immergatur clepsydra, aer, ad perpendiculum sese subducere nequiens, quoniam obstructæ sunt partes superiores, circa prima foramina manet, quippe qui in se resilire suapte natura non potest. Argumentum vero, aquam arcere posse aerem, ita ut immotus maneat, id est quod in ipsa clepsydra fit: nam si alvum ejus aqua repletam in fistulam obturatam inverteris, aqua per fistulam in os non fertur; ore vero patefacto, non protinus, sed paulo post, per fistulam effluit, ut qui non in ipso ore fistulæ invenitur, sed postmodum facta apertione per fistulam fertur. Ubi autem plena erectaque clepsydra est, fistula patefacta protinus per colum effluit, quia illud quidem tangit, extremam vero fistulam non tangit. Clepsydram igitur aqua ob prædictam causam non ingreditur; egreditur autem fistula patefacta eo quod aer qui fistula continetur, sursum deorsumque agitatus, aquæ in clepsydra inveniundæ amplam efficit vacuationem, quumque deorsum pellatur eodemque ipsa etiam vergat, merito effluit, vim inferens aeri qui extra clepsydram est, quique et ipse movetur et compar est potentia aeri eum impellenti, sed renixu infirmior eo, quoniam per angustam fistulam fluens ille ocius ac vehementius fluit atque in aquam incidit. Causa vero, cur obturata fistula aqua non confluat, est quod aqua, dum clepsydram subit, aera per vim ab ea expellit. Cujus rei indicium est flatus ructusque, qui tunc in ea fiunt. Intrante vero aqua vi pellens simul incidit ibi in fistulam, quemadmodum ligna quæ extruduntur, aut æs in scissura constrictum, quæ hærent sine ullo alio vinculo, donec ab altera parte expellantur, quo modo præruptos clavos lignis impactos expellimus: quod sane aperta fistula fieri

βαίνει δὲ τοῦτο ἀνοιχθέντος τοῦ αὐλοῦ γίνεσθαι διὰ τὰ προειρημένα. Ἢ οὖν διὰ ταῦτα εἰκός ἐστιν αὐτὸν μὴ ἐκρεῖν, ἢ ἐξιόντος βιαίου ἀέρος καὶ πνευματουμένου; δηλοῖ δ' ὁ ψόφος ἐπισπᾶσθαι τῷ πνεύματι τὸ ὕδωρ ἄνω, ὥσπερ ἐπὶ πολλῶν συμβαίνει γίνεσθαι, ἐπισπώμενον δὲ καὶ συνεχὲς ὂν αὐτῷ πᾶν τὸ ὕδωρ μένει πιεζούμενον ὑπὸ τοῦ ἀέρος, ἕως ἂν ἀπωσθῇ πάλιν ὑπ' αὐτοῦ· τῆς δ' ἀρχῆς μενούσης, καὶ τὸ ἄλλο ἐξ αὐτῆς κρέμαται ὕδωρ ἓν καὶ συνεχές. Εὔλογον δὲ τοῦτο γίνεσθαι· τοῦ γὰρ αὐτοῦ ἐστι κινῆσαί τε ἐκ τῆς οἰκείας χώρας τι, καὶ τοῦτο ἴσχειν, ὡς ἐκείνης, ἐν πλείονι δὲ χρόνῳ, ἐὰν ᾖ ὅμοια τῇ δυνάμει τό τε ἔχον καὶ τὸ ἐχόμενον, ἢ τὸ ἴσον κρεῖττον, ὅπερ ἐνταῦθα συμβαίνει· πνεῦμα γὰρ ὕδατός ἐστι κρεῖττον τῇ δυνάμει.

evenit propter causas quas superius exposuimus. An igitur his de causis rationi congruum est aquam non effluere, an quod aer vi exit atque in spiritum convertitur? strepitus enim indicat aquam a spiritu sursum adtrahi, quemadmodum multis in rebus fieri adcidit, et quum adtrahitur sibique continua manet universa aqua, restat, quippe quæ ab aere comprimitur, donec rursus ab eo repellatur, quumque initium restat, reliqua aqua etiam ex eo pendet, utpote rem unicam ac continuam constituens. Nec vero rationi repugnat, hoc ita fieri, quandoquidem ejusdem rei officium est, et dimovere quidquam proprio de loco, et idem, ut movit, sic etiam continere; hoc vero majus requirere temporis spatium, si vel potentia quod tenet, quodque tenetur, æqualia sunt, vel quod tenet potentius est: id quod hic adcidit: spiritus enim viribus præ aqua prævalet.

9. Διὰ τί τὰ μόρια τῶν φυτῶν καὶ τῶν ζῴων, ὅσα μὴ ὀργανικά, πάντα περιφερῆ, τῶν μὲν φυτῶν τὸ στέλεχος καὶ οἱ πτόρθοι, τῶν δὲ ζῴων κνῆμαι, μηροί, βραχίονες, θώραξ· τρίγωνον δέ, οὐδὲ πολύγωνον οὔθ' ὅλον, οὔτε μόριόν ἐστιν; Πότερον, ὥσπερ Ἀρχύτας ἔλεγε, διὰ τὸ ἐν τῇ κινήσει τῇ φυσικῇ ἐνεῖναι τὴν τοῦ ἴσου ἀναλογίαν (κινεῖσθαι γὰρ ἀνάλογον πάντα), ταύτην δὲ μόνην εἰς αὑτὴν ἀνακάμπτειν, ὥστε κύκλους ποιεῖν καὶ στρογγύλα, ὅταν ἐγγένηται;

9. Cur partes tam stirpium quam animantium, quæ nullis instrumentariis officiis deputata sunt, rotundæ omnes sunt, stirpium quidem caudex et rami, animantium vero crura, femora, lacerti, pectus; triangulum autem vel multangulum nec totum, neque pars ulla refert? An, ut Archytas dicebat, quoniam in motu naturali æqui proportio inest (moveri namque proportione omnia), hæc autem sola in sese revertitur, ita ut orbes rotundaque faciat, simulac adsit?

10. Διὰ τί ἐν τοῖς ἐσχάτοις ἀεὶ γίνεται περιφερῆ; Ἢ ὅτι ἡ φύσις ἐκ τῶν ἐνδεχομένων πάντα ποιεῖ ὡς δυνατὸν ἄριστα καὶ κάλλιστα, τὸ δὲ σχῆμα τοῦτο κάλλιστον, τὸ αὐτὸ αὑτῷ ὁμοιότατον;

10. Cur in extremis semper fiunt rotunda? An quod natura ex iis quæ sibi præsto sunt, omnia, quoad fieri potest, creat optima et pulcherrima; figura autem ea pulcherrima est, quæ sibi ipsa est simillima?

11. Διὰ τί, ἐὰν κύκλος ῥιφθῇ, τὸ μὲν πρῶτον εὐθεῖαν γράφει, παυόμενος δ' ἕλικα, ἕως ἂν πέσῃ; Ἢ εὐθεῖαν μὲν τὸ πρῶτον, ὅτι ὁμοίως ἔνθεν καὶ ἔνθεν ὁ ἀὴρ ἀπορθοῖ; Ἴσης οὖν οὔσης τῆς ῥοπῆς ἔνθεν καὶ ἔνθεν, ἀνάγκη καὶ τὴν γραμμὴν τοιαύτην εἶναι, ἣ ἴσον διαιρεῖ τὸν τόπον ἔνθεν καὶ ἔνθεν· τοιαύτη δ' ἐστὶν εὐθεῖα. Ὅταν δὲ βρίσῃ ἐπὶ θάτερον μέρος δι' ἀνωμαλίαν τοῦ περιισταμένου ἀέρος, οὐκέτι ἴσην γράφει τό τ' ἐντὸς καὶ τὸ ἐκτὸς μέρος, ἀλλ' ἀνάγκη περιφερῆ.

11. Cur si circulus projiciatur, primum quidem lineam rectam describit, cessans vero cochleam, dum decidat? An principio quidem rectam ideo describit, quod æqualiter ab aere hinc inde dirigitur? Quum igitur pari momento in utrumque latus vergat, lineam quoque ejusmodi esse necesse est, quæ locum in partes æquales hinc atque inde dividit; talis autem recta est. At ubi in partem alterutram vergit ob inæqualitatem ambientis aeris, non amplius æqualem lineam parte interiori exteriorique ducit, sed necessario rotundam.

12. Διὰ τί τοῖς ἄνισον τὸ βάρος ἔχουσι μεγέθεσιν, ἐάν τις κουφότερον κινῇ τῶν μερῶν, κύκλῳ περιφέρεται τὸ βαλλόμενον, οἷον τοῖς μεμολιβδωμένοις ἀστραγάλοις συμβαίνει, ἐάν τις βάλλῃ τὸ κουφότερον πρὸς αὑτὸν στρέψας μέρος; Ἢ ὅτι τὸ βαρύτερον ἀδύνατον ἰσοδρομεῖν τῷ κουφοτέρῳ ἀπὸ τῆς αὐτῆς ἰσχύος ῥιφθέν; ἐπεὶ δ' ἀνάγκη μὲν κινεῖσθαι, ἐξ ἴσου δὲ καὶ ἐπ' εὐθείας ἀδύνατον, ἀνάγκη εἰς τὸ ἐντὸς φερόμενον κύκλῳ φέρεσθαι, οἷον εἰ ὅλως τι ἦν αὐτοῦ ἀκίνητον διὰ βάρος ἐν μέσῳ, τὸ μὲν πρὸς τῷ ἀφιέντι εἰς τὸ πρόσθεν ἂν ἐκινήθη αὐτοῦ μέρος, τὸ δ' ὑπ' ἐκεῖνα πρὸς τὸν ἀφιέντα. Ἐπεὶ δὲ κινεῖται μὲν τὸ πᾶν, ἔχει δ' ἐν μέσῳ τὸ βάρος φερόμενον, ἀνάγκη ταὐτὸ τοῦτο ποιεῖν.

36. Διὰ τί αἱ μέλαιναι μυρρίναι πυκνοφυλλότεραί εἰσι τῶν λευκῶν μυρρινῶν; Ἢ ὅτι ἀγριώτεραι τὸ γένος; Σημεῖον δὲ ὅτι γίνονται ἐν τοῖς ἀγροῖς καὶ ἥκιστα μεταβάλλουσιν ὑπὸ τῆς ἐπιμελείας. Τὰ δ' ἄγρια πάντα πυκνοφυλλότερα· διὰ γὰρ τὸ ἧττον πέττειν τὸν καρπὸν εἰς τὰ φύλλα ἡ τροφὴ τρέπεται.

36. Cur nigræ myrti fronde sunt densiori quam albæ? An quod nigræ genere sunt sylvestriores? Cujus rei indicium est quod locis incultis istæ proveniunt minimeque ex cultu mutantur. Atqui sylvestria omnia fronde sunt crebriori: quod enim minus suos fructus concoquunt, idcirco ad frondem alimentum se vertit.

ΤΜΗΜΑ ΚΑ

SECTIO XXI

ΟΣΑ ΠΕΡΙ ΑΛΦΙΤΑ ΚΑΙ ΜΑΖΑΝ ΚΑΙ ΤΑ ΟΜΟΙΑ.

QUÆ AD POLENTAM ET MAZAM CETERAQUE ID GENUS PERTINENT.

1. Διὰ τί ἡ πτισάνη καὶ τὸ ἄλευρον ἐλαίου ἐπιχεομένου λευκότερα γίνεται, καίτοι τὸ ἔλαιον πυρρόν; Ἢ ὅτι πέφυκε μιγνύμενον τῷ ὑγρῷ ἀφρίζειν, τοῦτο δ' ἡ λευκότης; ἡ δὲ μῖξις τρίψει καὶ κινήσει· μίγνυται δὲ μᾶλλον τοῖς σωματικοῖς· ἐν δὲ τοῖς ἑψήμασι τοῦτο συμβαίνει· διὸ καὶ λευκότερα ποιεῖ.

1. Cur ptisana et farina oleo infuso redduntur candidiora, etiamsi rufum oleum sit? An quod suapte natura spumare solet, ubi cum humore miscetur, hoc autem albedo est? mistio enim terendo agitandoque fit, misceturque potius rebus corpulentis; hoc autem in sorbitionibus evenit: quapropter et oleum eas candidiores reddit.

2. Διὰ τί ἡ ἐκ τοῦ πυροῦ τροφὴ μάλιστα ἁρμόττει τοῖς σώμασι καὶ μᾶλλον τρόφιμος ἢ ἡ ἐκ τῶν κριθῶν; Ἢ διότι μετρίαν ἔχει γλισχρότητα, δεῖ δὲ τὴν τροφὴν ἔχειν τοῦτο; προσφῦναι γὰρ δεῖ καὶ προσκολληθῆναι τῷ σώματι· οὗ αἴτιον τὸ γλίσχρον. Ἀλλὰ ψαθυρώτερον· διὸ αἱ τετριμμέναι σφόδρα μᾶζαι τροφιμώτεραι τῶν ἀτρίπτων.

2. Cur cibus triticeus maxime corporibus nostris competit atque magis nutrit quam hordeaceus? An quod mediocrem habet lentitiam, hanc autem cibus habeat oportet? coalescere enim adglutinarique corpori debet: cujus rei causa est lentor. Hordeum vero fragilius est: quapropter maza vehementer trita validius alit quam non trita.

3. Διὰ τί τῶν μὲν ἀλεύρων τὰ πρῶτα, τῶν δ' ἀλφίτων τὰ τελευταῖα λαμπρότερα; Ἢ διότι τὸ μὲν καπυρὸν ὂν περιθραύεται, τὸ δὲ μαλακὸν ἐνθλίβεται; λαμπρότερον δ' ἐν ἀμφοτέροις τὸ ἐντός.

3. Cur farinæ quidem pars prima, polentæ vero ultima splendidior est? An hæc quidem obfringitur, utpote adusta; illa vero, quippe mollis, introrsum premitur? splendidius enim in utrisque quod intus est.

4. Διὰ τί οἱ ἄρτοι λευκότεροι φαίνονται ψυχροὶ ὄντες ἢ θερμοί; Ἢ διὰ τὴν αὐτὴν αἰτίαν τρόπον τινὰ καὶ τὸ ἔλαιον λευκότερον τοῦ προσφάτου τὸ παλαιόν; αἴτιον γὰρ τῆς μελανίας τὸ ὕδωρ, τοῦτο δ' ἐν ἀμφοτέροις πλεῖον προσφάτοις οὖσιν· χρονιζομένοις δὲ διὰ τὸ ἐξατμίζειν λείπεται ἔλαττον τὸ ἐπιπολῆς. Ἐξατμίζει δὲ τοῦ μὲν ἐλαίου ἢ ὁ χρόνος, ἢ ὁ ἥλιος· ἐκ δὲ τῶν ἄρτων ψυχομένων τὸ θερμὸν ἐξιὸν ψυχρῶν μὲν ὄντων ἐξελήλυθεν, ἐν δὲ θερμοῖς οὖσιν ἔτι ἔνεστιν.

4. Cur panes frigidi albiores cernuntur quam calidi? An eadem quodammodo de causa, cur inveteratum quoque oleum candidius sit quam recens? causa namque nigroris aqua est, hæc autem in utrisque, ubi recentes sunt, uberior continetur, ubi vero inveterascunt, parciori copia in superficie residet propter evaporationem. Evaporatur porro ex oleo quidem vel tempore, vel sole; e panibus vero per refrigerationem quum exeat calor, e frigidis quidem jam exiit, calidis vero adhuc inest.

5. Διὰ τί οἱ ἄναλοι ἄρτοι πλείονα σταθμὸν ἔχουσι τῶν ἡλισμένων, τῶν ἁλῶν αὐτοῖς ἴσων ὑπαρχόντων; εἰκὸς δ' ἦν τοὐναντίον· οἱ γὰρ ἅλες πρόσκεινταί τε καὶ βαρύτεροι τοῦ ὕδατός εἰσιν. Ἢ ὅτι ξηραίνουσιν οἱ ἅλες; διὸ καὶ σώζεται ἄσηπτα τὰ ταριχευμένα· ἀναλίσκεται γὰρ καὶ ξηραίνεται τὸ ὑγρὸν ὑπ' αὐτῶν, ὃ σήπεται ὑπὸ τοῦ θερμοῦ. Καὶ ἐν τῷ ἄρτῳ οὖν ἀναλίσκεται τὸ ὑγρὸν ὑπὸ τοῦ ἁλός, καὶ ἀποπνεῖ ἔξω· διὸ καὶ οἱ ἕωλοι ἄρτοι κουφότεροί εἰσι τῶν θερμῶν, ψυχρότεροι ὄντες. Ἐν δὲ τοῖς μὴ ἡλισμένοις τοῦτο τὸ ὑγρὸν πλεῖον ἐνυπάρχον ποιεῖ βαρυτέρους αὐτούς.

5. Cur panes non saliti plus pendunt quam saliti, modo cetera pari habeantur mensura? contrarium namque verisimilius erat, quum sal adjectum sit isque gravior sit quam aqua. An quia sal exsiccat? ex quo et a putredine libera servantur quæ sale condita sunt: absumitur enim a sale resiccaturque humor, qui calore putrescit. Et in pane igitur humor a sale consumitur ac foras efflatur: quocirca et panes hesterni leviores quam calidi sunt, utpote frigidiores. Contra in iis qui sale vacant, quum humor hicce largior insit, eos efficit graviores.

6. Διὰ τί οἱ μὲν ψυχροὶ ἄρτοι ἂν βρεχθέντες ἅψωνται ἀλλήλων, οὐ συνέχονται, οἱ δὲ θερμοί; Ἢ ὅτι οἱ μὲν ψυχροὶ μετὰ τῆς ἀτμίδος ἀφιᾶσι τὸ ἐν αὐτοῖς γλίσχρον ὑγρόν, οὗ ἐξελθόντος οὐ κολλῶνται (τὸ γὰρ ὕδωρ ᾧ ἐβρέχθησαν, ψαθυρώτερόν ἐστιν), οἱ δὲ θερμοὶ ἔχουσί τινα γλισχρότητα; Ὅταν μὲν οὖν βεβρεγμένων αὐτῶν ἡ ἀτμὶς ἐξίῃ, τὸ μὲν θερμὸν διαπνεῖ διὰ λεπτότητα, τὸ δὲ κολλῶδες συνεξιὸν αὐτῷ καὶ μιγνύμενον τῷ ὑγρῷ προσέρχεσθαι ποιεῖ ἐν αὐτοῖς.

6. Cur panes frigidi quidem madefacti, si se invicem tangant, non cohærent, calidi vero cohærent? An quod frigidi quidem lentum quem continebant, humorem cum vapore una emittunt: quo egresso, non conglutinantur (aqua enim, qua madefacti erant, fragilior est), calidi contra lentorem quemdam continent? Hisce igitur madefactis quum vapor exierit, calor quidem ob tenuitatem evaporatur, pars vero glutinosa una cum calore egrediens seque cum humore permiscens facit ut inter se panes coeant.

7. Διὰ τί τῶν ἀλεύρων τὰ ἄλφιτα λαμπρότερά ἐστι, τῶν δ' ἀλφίτων τὰ τελευταῖα; Ἢ ὅτι τὸ μὲν ἄλφιτον καπυρὸν ὂν περιθραύεται, οἷον μάλιστα πάσχει πλεῖστον χρόνον κοπτόμενον, τὸ δὲ μαλακὸν καὶ λεπτὸν ἄλευρον, ὅ ἐστιν ἐντὸς τοῦ πυροῦ, ἐκθλίβεται πρῶτον; λαμπρότατον δ' ἐστὶν ἐν ἀμφοτέροις τὸ ἐντός.

7. Cur farina splendidior est polenta, ipsius vero polentæ pars ultima? An quod polenta quidem, utpote adusta, obfringitur: quod maxime ei accidit ubi diutissime contunditur; mollis vero ac tenuis farina quæ tritici meditullium occupat, exprimitur prima? est enim in utrisque splendidissimum quod intus est.

8. Διὰ τί ἡ μὲν μᾶζα ὅσῳ ἂν μᾶλλον τριφθῇ, δυσδιαχωρητοτέρα γίνεται, ὁ δ' ἄρτος εὐδιαχωρητότερος; Ἢ διὰ τὸ τριφθῆναι σφόδρα τὸ σταὶς μικρότερον γίνεται; τὸ γὰρ γλίσχρον τοιοῦτόν ἐστιν· ὑπὸ δὲ τοῦ πυρὸς πάντοθεν ἐξῄρηται τὸ ὑγρὸν τοῦ ἄρτου, ὥστε ψαθυρώτερον γίνεται τοῦ ὑγροῦ ἐξαιρεθέντος ὅλως, ὅσῳ ἂν μᾶλλον τριφθῇ, διὰ τὸ ἐν τῇ τρίψει μικρομερέστερον γεγονέναι· τὸ δὲ ψαθυρὸν εὐπεπτότερόν ἐστιν. Ἡ δὲ μᾶζα ὅσῳ ἂν μᾶλλον τριφθῇ, γλισχροτέρα γίνεται τοῦ ὑγροῦ μεμιγμένου· τὸ δὲ γλίσχρον οὐκ εὐδιαίρετον· τὰ δὲ τοιαῦτα δύσπεπτά ἐστιν· δεῖ γὰρ τὸ πεφθησόμενον διαιρεθῆναι εἰς μικρά.

8. Cur maza quidem, quo plenius teratur, eo difficilius ventem permeat; panis contra eo facilius? An tritura vehementi comminuitur farina triticea? lentum etenim quodque addici ita solet; ignis vero humorem panis undique eximit, ita ut humore penitus sublato eo fragilior fit, quo vehementius tritus fuerit, quoniam tritura comminutæ sunt ejus particulæ; fragile autem omne concoquitur facilius. Maza contra quo amplius trita fuerit, eo tenacior humore admixto evadit; tenax autem omne dividi haud facile potest; hujusmodi autem res ægre concoquuntur: quod enim concoctionem recepturum est, dividi in parvas particulas debet.

9. Διὰ τί ἡ μὲν μᾶζα τριβομένη ἐλάττων γίνεται, τὸ δὲ σταὶς μεῖζον; Ἢ ὅτι τὸ μὲν ἄλφιτον βρεχθὲν καὶ τριβόμενον συνίζει τῇ τοῦ ὑγροῦ κολλήσει διὰ τὸ ἀραιὸν εἶναι καὶ χονδρόν, τὸ δ' ἄλευρον μετεωρίζεται διὰ τὸ πυκνὸν εἶναι σφόδρα; τὰ γὰρ πυκνὰ τριβόμενα θερμαίνεται, θερμαινόμενα δὲ καὶ πνευματούμενα μετεωρίζεται, καθάπερ καὶ ἡ σάρξ.

9. Cur maza quidem terendo minor, farina vero triticea amplior redditur? An quod polenta quidem, dum madefit et teritur, humore adglutinando considet, quia rara et grumosa est: farina vero, quoniam spissa admodum est, turgescit? spissa etenim omnia subacta incalescunt, dum vero incalescunt atque in spiritum convertuntur, turgescunt: quomodo et caro.

10. Διὰ τί δὲ πυρούμενον τὸ σταὶς μεῖζον γίνεται ἢ ἡ μᾶζα; Ἢ ὅτι ἔχει ὑγρὸν οὐ κεχωρισμένον, ὥστ' ἐξιέναι θερμαινόμενον διὰ τὴν τρῖψιν· ἐξ οὗ θερμαινομένου πνεῦμα γίνεται, ἐκ δὲ τοῦ πλείονος ὑγροῦ ἀνάγκη γίνεσθαι πλεῖον πνεῦμα;

10. Sed cur farina triticea in igne amplior quam maza redditur? An quod humorem continet indiscretum, ita ut tritura calefactus egrediatur; hicce vero calefactus in spiritum convertitur; largior autem humor largiorem pariat spiritum necesse est?

11. Διὰ τί τοῦ μέλιτος κολλητικωτέρου ὄντος ἢ τοῦ ὕδατος, τὸ τῷ μελικράτῳ φυραθὲν ἄλευρον ψαθυρώτερον γίνεται, ὅταν ἑψηθῇ ἢ ὀπτηθῇ, ἢ τὸ τῷ ὕδατι; Ἢ διότι τὸ μὲν ὑπὸ τοῦ πυρὸς πήγνυται καὶ συνίσταται, τὸ ὕδωρ, τὸ δὲ μέλι συνιστᾷ μέν, ἀλλ' ἐπιξηραίνει; διὸ μᾶλλον ψαθυρὸν ποιεῖ· ἡ γὰρ ψαθυρότης ὑπὸ ξηρασίας γίνεται.

12. Διὰ τί οἱ δίπυροι ἄρτοι ψυχθέντες οὐ γίνονται σκληροί; Ἢ ὅτι ἔχει τινὰ ἐν αὑτῷ ὁ πυρὸς γλυκὺν καὶ γλίσχρον χυμόν, ὅς ἐστιν αὐτοῦ καθάπερ ψυχή; Σημεῖον δέ· ξηραινόμενος μὲν γὰρ ὅλως κενοῦται, νοτιῶν δὲ ἐκφύεται. Τοῦ οὖν χυμοῦ τούτου ἐνυπάρχοντος καὶ ἐν τῷ ἀλεύρῳ, καὶ μάλιστα τῷ καθαρωτάτῳ, σταιτὸς γενομένου τοῦ ἀλεύρου καὶ τριβομένου συμβαίνει αὐτό. Σημεῖον δέ· ἑψόμενον γὰρ διαχωρητικώτερον γίνεται. Ὀπτωμένου μὲν οὖν τὸ πρῶτον τοῦ ἄρτου, τὸ ψαθυρὸν καὶ ἐλαφρὸν τοῦ δὲ ὑγροῦ τοῦ ἐκ τοῦ ἄρτου ἀπατμίζει, καὶ τοῦ ἀλεύρου τὸ ἀχυρωδέστατον ἀποκαίεται. Ἐξαιρεθέντος δὲ καὶ τριβομένου πάλιν τοῦ σταιτός, τό τε τοῦ ἀλεύρου λειότατον καὶ τοῦ ὑγροῦ γλισχρότατον λειπόμενα μίγνυται μᾶλλον ἑαυτοῖς, διά τε τὸ τοιαῦτα καὶ μᾶλλον γεγονέναι, καὶ διὰ τὴν πύρωσιν· βαφῇ γὰρ ἡ μῖξις αὐτῶν ὁμοία γίνεται, ὥστε γίνεσθαι τὸ ὕστερον τριφθὲν σταὶς ὅμοιον τῷ ἑψομένῳ ἀλεύρῳ· καὶ γὰρ ἐκεῖνο, τριφθέντος τοῦ σταιτὸς καὶ λειφθέντος τοῦ λεπτοτάτου ἀλεύρου καὶ τοῦ γλισχροτάτου ὑγροῦ, πυρωθὲν κολλῶδες γίνεται καὶ ἀνεξίκμαστον· τό τε γὰρ γλίσχρον δυσδιαίρετον, καὶ τὸ πυκνὸν οὐθὲν δι' αὑτοῦ προΐεται. Ὑγρότατον οὖν τοῦτο καὶ διὰ πυρὸς πάσχει ἄρτος διὰ τὰ εἰρημένα· ἔχων δ' ἀεὶ ὑγρότητα οὐ γίνεται σκληρός.

13. Διὰ τί τῆς τροφῆς καὶ τῆς ξηρᾶς καὶ τῆς ὑγρᾶς ἐνίοις δυνάμεθα πολὺν χρόνον χρῆσθαι, οἷον τῇ γινομένῃ τροφῇ ἐξ ἀλφίτων καὶ ἀλεύρων καὶ τοῖς οἴνοις τοῖς αὐστηροῖς καὶ ὕδατι, τοῖς δ' οὐ δυνάμεθα, καὶ ταῦτα ἡδίοσιν οὖσιν; Ἢ ὅτι τὰ μέν ἐστι τῶν προσφερομένων ἐπιπολαστικὰ καὶ τρόφιμα, ὥστε καὶ ὅταν κενωθῶσι, τῆς πρώτης τροφῆς ἀναλωθείσης ἔτι ἔνεστιν ἐν τῷ σώματι πολλὴ δύναμις, ὡς μὲν πρὸς τὴν πρώτην ἐργασίαν τοῦ σώματος πεφθεῖσα, ὡς δὲ πρὸς τὸ τέλος καὶ τὴν ἐκ διαδοχῆς γινομένην ἄπεπτος, τοιαῦτα δ' ἐστὶ καὶ τῶν ἡδέων τὰ πλεῖστα; τὰ μὲν γὰρ λιπαρὰ καὶ γλυκέα καὶ πίονα ἥδιστα δοκεῖ εἶναι γευομένοις ἡμῖν, ταῦτα δ' ἐστὶ πάντα τρόφιμα καὶ οὐχ ἄπεπτα καὶ ἐπιπολαστικά, ἐν ᾗ ἂν ᾖ διαφορᾷ· ὥστ' ἔναυλον εἶναι τὴν δύναμιν, ἐάν τις αὐτῶν πληρωθῇ καὶ μὴ ταχὺ ἐκλίπῃ τὴν αἴσθησιν· οὐ γὰρ μόνον ἐν τῇ κοιλίᾳ ἐνόντων γίνεται ἡ πλήρωσις, ἀλλὰ καὶ διαδοθείσης τῆς τροφῆς ἐν ἄλλοις μέρεσιν. Ἢ οὐ μόνον τοῦτο αἴτιον, ἀλλὰ καὶ τὸ τῇ φύσει ἔνια σύμμετρα εἶναι καὶ οἰκεῖα ἡμῖν; πάντα γὰρ τὰ τοιαῦτα διὰ τὸ κατὰ φύσιν εἶναι μᾶλλον προσίεται τὰ σώματα, τὰ δὲ παρὰ φύσιν ἧττον. Ἄλλα τε ἄλλῃ κράσει ἁρμόττει, οἷον τὸ μέλι ταῖς με-

11. Quam ob causam quum mel tenacius quam aqua sit, farina aqua mulsa subacta fragilior redditur, ubi decocta, vel assata est, quam si aqua subacta esset? An quod altera quidem, aqua nimirum, igne cogitur atque consistit; mel vero contrahit quidem, sed adsiccat? quapropter potius fragilem reddit: fragilitas namque a siccitate provenit.

12. Cur bis cocti panes refrigerati non indurescunt? An quod triticum dulcem quemdam ac lentum succum in se continet, qui veluti anima ejus est? Indicium quod, ubi siccatur, omnino exinanitur quidem; ubi autem madet, excrescit. Ergo quum humor hic in farina quoque insit, maximeque in ea quæ purissima est, ubi in massam conversa est atque teritur farina, coit. Argumento est quod decocta magis alvum subducit. Ubi primum igitur panis torretur, humoris portio fragilis et levis e pane evaporatur, et quantum in farina furfureum potius est, deuritur. Exempta vero massa ubi denuo teritur, pars farinæ lævissima et humoris lentissima, quæ supersunt, miscentur amplius sibi invicem, tum quia vel magis tales evaserunt, tum propter ignitionem: fit enim mistura eorum tincturæ consimilis, ita ut massa secundo trita similis farinæ elixæ efficiatur: nam hæc quoque, postquam massa subacta est, relicta parte farinæ tenuissima et humoris lentissima, ignis vi glutinosa redditur, neque exhauriri potest: nam et disjungi facile quod lentum est nequit, et nihil per se ipsum transmittit quod spissum est. Quum igitur humidissimus sit panis bis coctus, ob causas prædictas hoc quoque modo adficitur; quum autem semper intra se humiditatem contineat, non durescit.

13. Cur nonnullis de genere cibi, tum humidi, tum sicci, multum temporis uti possumus, ut cibo qui ex polenta, vel farina fit, et vinis austeris, et aqua, aliis vero, quamvis suavioribus, non possumus? An quod eorum quæ in cibo adsumimus, alia quidem validius alunt atque superficiem petunt, ita ut vel post vacuationem, cibo priore consumpto, insit adhuc facultas multa in corpore, quæ quod ad primam quæ a corpore impertitur, elaborationem adtinet, concocta est, sed quod ad finem et ad subcedentem coquendi vicem, cruda? cujus generis et pars plurima suavium est: quæ enim pinguia et dulcia et opima sunt, ea nobis gustu suavissima esse videntur; hæc autem omnia valide nutriunt, concoctu non difficilia sunt et superficiem petunt, quamcumque tandem ad speciem pertinuerint: unde efficitur, si quis iis sese impleverit, ut facultas eorum diutius immoretur, nec brevi sensus deficiat: non enim solum, dum in ventre sunt alimenta, fit plenitudo, sed digesta quoque alimonia, in aliis partibus. An non id solum causa est, verum etiam quod nonnulla naturæ consentanea sunt, nobisque familiaria? hujusmodi enim omnia, quia secundum naturam sunt, magis a corporibus recipiuntur; quæ vero præter naturam sunt, minus. Alia quoque aliis temperamentis congruunt,

λίτταις κατὰ φύσιν ἐστὶν ὥστε προσφέρεσθαι μόνον, καίτοι ἀσθενεῖς γέ εἰσι τὴν δύναμιν· ὥστε δεῖ λείπειν τὸ ἀναλισκόμενον, ἀλλ' εἶναι ἀνάλογον τὸ πλῆθος πρὸς τὴν ἰσχὺν τὴν ἀπὸ τῶν ἀνθρώπων· ὥσθ' ὅσα τῶν ἡδέων τοιαῦτά ἐστι, διὰ μὲν τὸ ἐν τῇ φύσει ἧττον ὑπάρχειν ἡδέα φαίνεται, ὀλίγον δὲ χρόνον· εἶτα πληροῖ ταχύ. Τῶν δὲ κατὰ φύσιν ἀεὶ δέονται, ὥστε καὶ προσφερομένων συνεχῶς δι' αὐτὰ οὐ τῶν ἡδίστων, ἀλλ' ἑτέρων ἧττον πληροῦνται.

exempli gratia mel apibus secundum naturam est, ita ut eo tantummodo vescantur, quamquam viribus certe imbecillis sunt: ita ut relinquere debeat quod absumatur, sed ita ut copia proportione viribus hominum respondeat. Quæ igitur e suavibus ita sese habent, ea quoniam in naturali nostro contextu minus adsunt, suavia quidem videntur, sed parum temporis; dein cito replent; quæ autem secundum naturam sunt, iis semper indigent, ita ut, etiamsi adsidue iis vescantur, minus repleantur, non solum quam a rebus suavissimis, verum etiam quam ab aliis.

14. Διὰ τί τὰ αὐτὰ συνεθιζομένοις τε ἡδέα φαίνεται καὶ λίαν συνεχῶς προσφερομένοις οὐχ ἡδέα, τὸ δ' ἔθος ἐστὶ τὸ πολλάκις καὶ συνεχῶς τι ποιεῖν; Ἢ ὅτι τὸ μὲν ἔθος ἕξιν δεκτικήν τινος ἐν ἡμῖν ποιεῖ, οὐ πλήρωσιν, τὸ δὲ συνεχῶς προσφέρεσθαί τι πληροῖ τὴν ἐπιθυμίαν, καὶ καθάπερ αἴτιον; ἔστι γάρ τι καὶ ἡ ἐπιθυμία. Αἱ μὲν οὖν ἕξεις γυμναζόμεναι αὔξονται καὶ ἐπιδιδόασιν· τὰ δ' ἀγγεῖα σαττόμενα οὐδὲν μείζω γίνεται· διόπερ τὸ μὲν ἔθος ὂν γυμνάσιον αὔξει τὴν δεκτικὴν ἕξιν· τὸ δὲ συνεχῶς προσφερόμενον σάττει μὲν καὶ πληροῖ τὴν ἐπιθυμίαν, ἧς πληρωθείσης οὐκέτι προσιέμεθα, αὔξει δ' οὐθὲν αὐτὴν διὰ τὰ προειρημένα ἐπὶ τῆς σάξεως. Ἔτι τὸ ἔθος οὐ τῷ ἀεὶ ἡδύνειν ἡδύ ἐστι (λυπεῖ γὰρ καὶ τὰ τοιαῦτα, ἐάν τις συνεχῶς ποιῇ), ἀλλὰ τῷ τὴν ἀρχὴν τοῦ ἔργου ἡδέως ἡμᾶς προσίεσθαι, καὶ πλείω χρόνον δύνασθαι ταὐτὸν ποιεῖν ἢ ἀσυνήθεις ὄντας. Ἐν ᾧ οὖν καὶ τοῦτο λυπεῖ ἡδὺ ὄν, ἐν ταὐτῷ καὶ τὰ ἄλλα ἡδέα· συνεχῶς γὰρ γινόμενα, ἢ προσφερόμενα ἀμφότερα λυπεῖ. Αἴτιον δὲ τὸ μὴ ἀπείρους ἡμᾶς ἐν αὐτοῖς δυνάμεις ἔχειν τὰς δεκτικὰς καὶ ποιητικάς, ἀλλὰ πεπερασμένας, αἳ τυγχάνουσαι τοῦ συμμέτρου αὐταῖς (τοῦτο γὰρ συνεχῶς ἐστιν αἰσθητὸν εἰς ἐπίδοσιν) αἱ μὲν πληροῦνται, αἱ δ' ἀδυνατοῦσιν ἐνεργεῖν.

14. Cur eadem et adsuescentibus suavia et admodum crebro utentibus non suavia videntur, quum tamen consuetudo eo constat ut sæpe et adsidue quidquam faciamus? An quia consuetudo quidem habitum rei cujuspiam capacem in nobis efficit, non satietatem; frequens autem usus desiderium et quasi causam implet? nam desiderium quoque aliquid est. Habitus ergo ubi exercitantur, augentur atque proficiunt; conceptacula vero infarcta nihilo ampliora redduntur: quamobrem consuetudo quidem quum exercitatio sit, auget habitum capientem; quod autem adsidue in cibo adsumitur, infarcit quidem impletque desiderium, quo expleto non amplius recipimus; sed nullo modo auget illud ob ea quæ modo de infarctione retulimus. Ad hæc non ideo suavis consuetudo est, quia semper delectat (nam hujusmodi res vel molestæ sunt, si quis perpetuo eas faciat), sed eo quod operis principium libenter adimus, et diutius rem facere eamdem possumus quam si non adsueti essemus. Qua igitur re molestum hoc est, quamquam suave sit, hac eadem cetera quoque suavia: utraque enim, ubi perpetuo vel fiunt, vel pro cibo sumuntur, molesta sunt. Cujus rei causa est quod nos vires vel recipientes, vel agentes non infinitas, sed finitas intra nos habemus: quæ ubi sibi competentem modum adsecutæ fuerint (hunc enim continue augeri sentimus), alteræ quidem implentur, alteræ vero agere nequeunt.

15. Διὰ τί τὸ μὲν σταὶς γίνεται τριβόμενον λευκόν, ἡ δὲ μᾶζα μελαντέρα; Πότερον ὅτι ξηραίνεται μᾶλλον τὸ ἐπιπολῆς ἐν τῷ ἀλφίτῳ, οἷον ἐν ὑγρῷ θερμόν, ὃ ποιεῖ τὴν λευκότητα; Ἢ διὰ τὸ πεπυρῶσθαι ἕλκει τὸ ὑγρὸν εἰς αὑτό, μεγαλομερέστερον ὄν;

15. Cur farina quidem triticea tritura albescit, maza vero nigrescit? Utrum quod polentæ pars superficiei proxima adsiccatur validius, quum res sit calida humori admista: id quod candorem gignit? An propter adustionem humorem ad sese adtrahit, ut quæ partibus majusculis constat?

16. Διὰ τί τὰ ἄλφιτα μᾶλλον τῷ ὕδατι συμμένει φυρόμενα ἢ τῷ ἐλαίῳ, ὄντι γλισχροτέρῳ, καίτοι κολλητικώτερον τὸ γλίσχρον, τὸ δ' ἔλαιον τοῦ ὕδατος γλισχρότερον; Ἢ ὅτι λεπτότερον τὸ ὕδωρ, ὥστ' εἰσέρχεται εἰς ἅπαν καὶ μαλακὰ ποιεῖ, συμφύεταί τε μᾶλλον καὶ συνθλίβεται πρὸς ἄλληλα, καίτοι θλιβόμενα χωρὶς τῆς τρίψεως;

16. Quam ob causam polenta aqua subacta melius cohæret quam oleo, etiamsi oleum tenacius sit, quamvis melius glutinetur quod lentum est, oleumque lentius sit quam aqua? An quod aqua tenuior est, ita ut usquequaque subeat atque molliat, coalescuntque et adprimuntur sibi invicem melius, etiamsi sine tritura comprimantur?

17. Διὰ τί οἱ ἄτριπτοι ἄρτοι καὶ οἱ σφόδρα τετριμμένοι ῥήγνυνται; Ἢ ὅτι οἱ μὲν ἄτριπτοι διὰ τὸ ἀσύνδετοι εἶναι; ἡ γὰρ τρῖψις συνδεῖ· προωδοποίηται οὖν τῷ ῥήγνυσθαι. Ἔτι ἀμιγὲς καὶ πολὺ ἔχουσι τὸ ὑγρόν. Οἱ δὲ τετριμμένοι σφόδρα λίαν εἰσὶ ξηροὶ διὰ τὸ ὀλίγον ἔχειν ὑγρόν· θερμαινομένων γὰρ πᾶν ἐξέρχεται· ὥστ'

17. Cur panes, cum parum triti, tum nimium triti rumpuntur? An quod parum triti quidem rumpuntur, quia nexu carent? tritura enim colligat: ergo ad disruptionem via jam strata est. Adde quod multum humoris non remixti continent. At quos vehementer triveris, ii sicci admodum sunt, quoniam humoris parum continent: e concalescentibus enim

ἄμφω διὰ τὸ πολὺ ὑγρὸν ἐξιέναι ῥήγνυνται· πολὺ γὰρ ἐν μὲν τοῖς ἀτρίπτοις ἁπλῶς ἔνεστιν, ἐν δὲ τοῖς τετριμμένοις πρὸς τὸ ὑπόλοιπον.

18. Διὰ τί κουφότερον τὸ φύραμα γίνεται ἢ ἄμφω, τό θ' ὑγρὸν καὶ τὸ ἄλφιτον; Πότερον ὅτι μιγνυμένων πνεῦμα συγκατακλείεται; Ἢ ὅτι ὑπὸ τοῦ θερμοῦ τοῦ ἐν τοῖς ἀλφίτοις ἐξατμίζεται τοῦ ὕδατος, ὥστ' ἔλαττον γίνεται τὸ μεμιγμένον; ὁ δ' ἀήρ, εἰ καὶ μίγνυται, οὐθὲν ἂν κουφότερον ποιοῖ· ἔχει γὰρ βάρος καὶ ἀὴρ ἐν τῷ ἀέρι.

19. Διὰ τί μετὰ τοῦ ἀλφίτου πινόμενον τὸ γάλα καὶ ὁ γλυκὺς φαίνεται γλυκύτερα; Πότερον παρὰ τὸ μὴ γλυκὺ μᾶλλον φαίνεται; τὸ γὰρ ἄλφιτον οὐ γλυκύ. Ἢ ὅτι ἐνδιατρίβει τὸ ἄλφιτον ἔχον γλυκύτητα, ὥστε πλείονι χρόνῳ ἡ αἴσθησις;

20. Διὰ τί ἧττον ἄκρατον φαίνεται τὸ αὐτὸ πόμα μετὰ τοῦ ἀλφίτου πινόμενον; Πότερον ἢ ὅτι κεράννυσιν ἄλλο ἔχον μετ' ἄλλου; Ἢ ὅτι ἀντιφράττει τῷ πόματι καὶ ἀφανίζει, ἀντισπῶν εἰς αὐτό;

21. Διὰ τί ὁ χόνδρος πλεῖον ὕδωρ δέχεται ἢ οἱ πυροὶ ἐξ ὧν ὁ τοιοῦτος ἐγένετο χόνδρος; Ἢ ὅτι ἄλευρά πώς ἐστιν ὁ χόνδρος, τὰ δ' ἄλευρα πλεῖον δέχεται; καὶ γὰρ γίνεται ὁ ὄγκος πλείων ἢ ὁ τῶν πυρῶν· σέσακται γὰρ καὶ τὰ ἐν τοῖς πυροῖς· τὰ δὲ πλείω χωρεῖ πλεῖον. Καὶ τοῦτο, καὶ ὅτι ἔχει θερμότητα καὶ τὰ ἄλευρα καὶ ὁ χόνδρος· τὸ δὲ θερμὸν καὶ ἕλκει μᾶλλον τὸ ὑγρόν, καὶ ἐξαναλίσκει ἐξατμίζον.

22. Διὰ τί τὸ ἄλευρον τριβόμενον μεῖζον πολὺ γίνεται ἢ τὸ ἄλφιτον κατὰ λόγον; Ἢ ὅτι τὸ μὲν πολὺ ὕδωρ δέχεται, τὸ δ' ὀλίγον; Διὰ τί δὲ δέχεται πλεῖον; μᾶλλον γὰρ εἰκὸς τὸ ἄλφιτον· πεπύρωται γάρ, τὸ δ' ἄπυρον· μᾶλλον δὲ ξηρὸν τὸ πεπυρωμένον. Ἢ διότι τρῖψιν μᾶλλον δέχεται τὸ ἄλευρον; τούτου δ' αἴτιον τὸ μικρομερέστερον εἶναι. Ὥσπερ οὖν ὁσαπλάσιόν ἐστι δυνάμει τῇ μικρότητι, τοσαυταπλάσιον δέχεται τὸ ὕδωρ· κόλλῃ γὰρ χρῆται τῷ ὕδατι, ὥσπερ καὶ Ἐμπεδοκλῆς μετήνεγκεν ἐν τοῖς Περσικοῖς εἰπών·

ἄλφιτον ὕδατι κολλήσας,

καὶ ἀναλίσκει πολὺ διὰ τοῦτο.

23. Διὰ τί δὲ καὶ πεπυρωμένον τὸ σταὶς μεῖζον γίνεται ἢ ἡ μᾶζα; Ἢ ὅτι ἔχει ὑγρὸν οὐ κεχωρισμένον, ὥστ' ἐξιέναι θερμαινόμενον, οὐ πνεῦμα γινόμενον καὶ οὐ δυνάμενον ἐξιέναι ὁμοίως καὶ ἐν τῇ μάζῃ διὰ τὴν πυκνότητα τοῦ σταιτός; πυκνὸν γὰρ τὸ ἐκ μικρομερεστέρων. Αἴρει οὖν, καὶ ποιεῖ τὸν ὄγκον. Ἔτι δὲ καὶ πλεῖον ἔχει τὸ ὑγρόν, ἐξ οὗ θερμαινομένου πνεῦμα γίνεται· ἐκ δὲ τοῦ πλείονος ἀνάγκη γίνεσθαι πλεῖον.

24. Διὰ τί οἱ περὶ τὴν τῶν σίτων ἐργασίαν, οἱ μὲν περὶ τὰς κριθὰς ἄχροοι γίνονται καὶ καταρροϊκοί, οἱ δὲ περὶ τοὺς πυροὺς εὐεκτικοί; Ἢ διότι εὐπεπτότερος ὁ πυρὸς τῆς κριθῆς; διόπερ καὶ αἱ ἀπόρροιαι.

omnis humor exit, ita ut ambo rumpantur quoniam humoris multum exit : multum enim absolute in iis continetur quos parum triveris, in vehementer tritis vero pro portione reliquorum elementorum.

18. Cur universa sorbitio subacta levior fit quam ambo, cum humor, tum polenta? Utrum quia, dum miscentur, spiritus una includitur? An quia pars aquæ a calore polentæ insito evaporatur, ita ut copia diminuatur misturæ? aer enim, tametsi admiscetur, nihilo tamen leviorem efficeret : nam vel ipse aer in aere pondus habet.

19. Quam ob causam lac vinumque dulce, quoties cum polenta bibitur, dulcius videtur? Utrum quod ad non dulce dulciora isthæc esse videntur? polenta enim dulcis non est. An quia polenta dulcedine instructa diutius immoratur, ita ut diutius perstet sensus?

20. Cur idem potus minus meracus apparet, si cum polenta bibatur? Utrum quod aliud jam continens alii rei remiscetur? An quia viam obstruit potus, eumque evanescere facit ad sese retrahens?

21. Cur alica plus aquæ recipit quam triticum, unde ejusmodi alica confecta est? An propterea quod alica farina quodammodo est, farina autem plus aquæ imbibit? moles enim amplior ejus quam tritici fit : nam constipata quoque sunt tritici elementa; atqui major moles plus capit. Cum propter hanc causam, tum quia calorem continent et farina et alica : quod enim calidum est, humorem id et efficacius adtrahit, et expeditius evaporando consumit.

22 Cur farina per trituram multo magis turgescit quam polenta pro portione? An quod altera quidem multum aquæ recipit, altera vero parum? Sed qua de causa plus recipit? verisimilius enim erat polentam plus recipere, quippe quæ adusta est, dum farina ignem non sensit : omne enim adustum siccius est. An quia trituram pleniorem farina patitur? cujus rei causa est quod partibus minutioribus constat. Quantuplo igitur propter particularum minutiam excedit ejus capacitas, tantuplo plus aquæ recipit, quippe quæ aqua pro glutine utitur, ut Empedocles quoque in carmine de rebus Persicis (*l.* Naturalibus) transferendo ait :

Polentam aqua glutinans,

multamque aquam proinde absumit.

23. Cur vero etiam igni mandata farina triticea magis turgescit quam maza? An quod humorem in se continet qui discretus non est, ita ut recalescens exeat, isque humor in spiritum non convertitur, nec exire pariter valet atque e maza propter tritici spissitudinem? spissum enim est quod partibus constat minutioribus. Idcirco extollit molemque efficit. Ad hæc plus humoris continet, quo recalescente spiritus fit; ex pluri autem plus fiat necessum est.

24. Cur ex iis qui rem frumentariam tractant, qui hordeum quidem, decolores fiunt et in destillationes proclives, qui autem triticum, bonum adipiscuntur habitum? An quod facilius triticum concoqui quam hordeum potest, atque eapropter et effluvia?

25. Διὰ τί ὁ ἄρτος, ἐὰν μέν τις αὐτὸν ὀπτᾷ, σκληρότερος γίνεται, ἐὰν δέ τις αὐτὸν χλιαίνῃ, ὑγρότερος ἄχρι τινός; Ἢ ὅτι ὀπτωμένου αὐτοῦ τὸ ὑγρὸν ἐκπορεύεται (σκληρότερος οὖν γίνεται), ἐπιθερμαινομένου δὲ τὸ ὑγρὸν συσταθὲν διαχεῖται ὑπὸ τοῦ πυρός; διὸ ὑγρότεροι γίνονται.

25. Cur panis ubi torretur quidem, indurescit; ubi vero tepescit, humidior redditur aliquatenus? An quoniam, ubi torretur, humor exit (indurescit igitur); ubi autem amplius recalescit, humor coactus ab igne diffunditur, humidioresque proinde fiunt?

26. Διὰ τί τὰ μὲν ἄλευρα ψυχόμενα ἧττον σάττεται, τὰ δ' ἄλφιτα μᾶλλον; Ἢ ὅτι τὰ μὲν μικρομερῆ οὐ διαλείπει χώραν, καὶ τὰ βαρέα τῇ θλίψει τὰ πλείω ἐλάττω κατέχει τὸ ἴσον; Τὰ μὲν οὖν ἄλφιτα ἁδρά ἐστιν· ψυχόμενα οὖν ἐλάττω γίνεται, ὥστε τὸ ἔλαττον συμπιέζει τὸ πλέον· τὰ δ' ἄλευρα ὑπάρχει μὲν μικρομερῆ ὄντα, ὥστ' οὐ διὰ τοῦτο ψύχεται, ἀλλ' ἵνα ᾖ κουφότερα καὶ μὴ σάττηται διὰ τὴν θλῖψιν· βαρύτερον γὰρ φύσει τὸ ἄλευρον τοῦ ἀλφίτου ἐστίν.

26. Cur farina quidem refrigerando minus constipatur, polenta vero magis? An quod intercapedine quidem vacant quæ ex partibus constant minutis, et res graves pleræque propter compressionem minus occupant spatium, modo eadem sit quantitas? Polenta itaque grandiuscula est: ergo siccata in minus contrahitur, ita ut quod minus est, plus comprimat; farina vero particulis quidem constat minutis, ita ut non ideo siccetur, sed ut levior efficiatur, nec constipetur compressione: natura enim gravior farina quam polenta est.

ΤΜΗΜΑ ΚΒ.

SECTIO XXII.

ΟΣΑ ΠΕΡΙ ΟΠΩΡΑΝ.

QUÆ AD FRUCTUS ARBORUM PERTINENT.

1. Διὰ τί τὴν ὀπώραν ὕστερον ἢ πρότερον φαγοῦσιν οὐχ ἀνάλογον τοῖς αὐτοῖς ὁ ὄγκος τῆς πληρώσεως γίνεται; Ἢ ὅτι βαρυτέρα ἐστὶν ἡ ὀπώρα τῶν σιτίων πολύ; Δηλοῖ δὲ καὶ τὰ σῦκα, ἐὰν ὕστατα βρωθῇ· τελευταῖα γὰρ ἐμεῖται. Ἐὰν μὲν οὖν πρῶτα, διὰ βάρος κάτω πορευόμενα εὐρυχωρίαν ἄνω ποιεῖ, ὥστε ῥᾳδίως δέχεσθαι τὸν ὄγκον τῶν σιτίων· ἀνάπαλιν δ' εἰσελθόντα τὰ σιτία, διὰ τὸ μὴ κάτω φέρεσθαι, ταχὺ τοῦ ἄνω κενοῦ προσλαμβάνει.

1. Quam ob causam, prouti poma post, vel ante cibum eserint, repletionis moles iisdem non eadem fit pro portione? An quoniam ceteris esculentis genus pomorum longe gravius est? Quod etiam argumento ficuum constat, si ultimæ edantur: ultimæ enim evomuntur. Poma igitur primum ingesta, propter pondus deorsum vecta, spatium amplum efficiunt superne, ita ut moles ciborum facile recipiatur; at si ordine inverso ingrediantur cibi, quoniam deorsum non feruntur, cito vacuum superius occupant.

2. Διὰ τί τῶν γλυκέων ὄντων ὁμοιοτέρων ἡμῖν ἢ τῶν δριμέων, θᾶττον πληρούμεθα ὑπὸ τῶν γλυκέων; εἰκὸς δ' ἦν ἧττον· ὑπὸ γὰρ τῶν ὁμοίων ἧττον ἦν εἰκὸς πληροῦσθαι. Ἢ ὅτι οὐχ ὁμοίως τό τ' ἀγγεῖον πληροῦται ταχύ, ἐξ οὗ πληρούμεθα, καὶ τὸ τρεφόμενον, ἀλλ' ἐνίοτε ἡ μὲν κοιλία πλήρης ἐστίν, οἷον τῶν διψώντων, τὸ δὲ δίψος οὐδὲν ἧττόν ἐστιν; οὐ γὰρ τῷ ταύτην εἶναι πλήρη παυόμεθα διψῶντες, ἀλλὰ τῷ ἕκαστον τῶν τοῦ σώματος τὸ αὑτῷ οἰκεῖον ἐσπακέναι, καὶ ὅταν ἐκεῖνα ἀπολάβῃ ἱκανῶς, τότε παυόμεθα διψῶντες, καὶ πεινῶντες δ' ὡσαύτως.

2. Quamobrem, quum dulcia nobis similiora quam acria sint, ocius a dulcibus replemur? congruum enim erat ut minus repleremur, quandoquidem a similibus minus satiari consentaneum erat. An quoniam non æque cito repletur conceptaculum ex quo replemur, et corpus quod nutritur, sed venter quidem repletus aliquando est, ut eorum qui sitiunt, sitis tamen nihilo minor est? non enim ea de causa sitis cessat, quia venter plenus est, sed quia membra corporis omnia humorem commodum sibi adtraxerunt, atque ubi illa satis adceperunt, tunc sitire cessamus, eodemque modo fames cessat.

3. Διὰ τί θᾶττον πληρούμεθα ἀπὸ τῶν γλυκέων ἢ ἀπὸ τῶν δριμέων; Ἢ ὅτι θᾶττον παυόμεθα ἐπιθυμοῦντες τῶν γλυκέων; Ἢ ὡς μὲν ἡ κοιλία πληροῦται, οὕτω καὶ ἡμεῖς ὑπὸ τῶν γλυκέων; Οὐχ ὁμολογεῖται· ὅτι δ' ἡ ἐπιθυμία θᾶττον ὑπ' αὐτῶν πληροῦται, τοῦτ' ἂν εἴη λεκτέον. Ἢ ὅτι ἡ μὲν ἐπιθυμία, ὡς ἁπλῶς εἰπεῖν, ἔστι μὲν ἔνδεια, καὶ ὅταν μηκέτι ἔχωμεν τροφήν, ἢ ὀλίγην; Τὰ μὲν οὖν δριμέα οὐκ ἔστι τρόφιμα, ἀλλὰ τροφὴν μὲν ὀλίγην ἔχει, τὸ δὲ περίττωμα πολύ. Εἰκότως οὖν πολλὰ ταῦτα ζητοῦμεν ἐσθίειν, καὶ οὐκ ἐμπιπλάμεθα αὐτῶν τὴν ἐπιθυμίαν, διὰ τὸ ἔτι προσ-

3. Cur ocius a dulcibus quam ab acribus replemur? An quia ocius dulcia adpetere desistimus? An sicuti quidem venter repletur, sic nos quoque dulcibus? Non constat, verum cur desiderium celerius his ipsis expleatur, id dicendum esset. An quia alimenti desiderium, ut uno verbo dicam, indigentia quidem est, atque tunc incidit, ubi vel nullum amplius cibum, vel pauculum habemus? Acria itaque non valide nutriunt, sed parum quidem alimoniæ, multum vero habent excrementi. Merito itaque magnam eorum copiam edere quærimus, nec eorum cupiditatem explemus, quoniam alimento adhuc indigemus, hæc vero

δεῖσθαι τροφῆς, ταῦτα δὲ μὴ ἔχειν τροφήν. Τὰ δὲ γλυκέα ἅπαντά ἐστι τροφή, καὶ ἀπὸ μικρῶν τοιούτων πολλὴν λαμβάνει τὸ σῶμα. Ὅταν οὖν ἀπολάβῃ πολλὴν τροφήν, οὐκέτι δύναται ἐσθίειν διὰ τὸ μὴ ὑποφέρειν. Εἰκότως οὖν θᾶττον ὑπὸ τῶν γλυκέων πληρούμεθα.

alimento carent. At dulcia tota cibus sunt, atque ex paucis ejusmodi escam corpus capit uberiorem. Ubi igitur multum cepit alimenti, non amplius edere potest, quia non tolerat. Rationi igitur congruit, si ocius a dulcibus repleamur.

4. Διὰ τί τὰ περικάρπια καὶ τὰ κρέα καὶ ὅσα τοιαῦτα ἐν τοῖς ἀσκοῖς ἄσηπτα γίνεται, ὅταν σφόδρα φυσηθῶσι, καὶ τὰ ἐν τοῖς ἀκριβῶς περιπωματιζομένοις ὡσαύτως; Ἢ διότι σήπεται μὲν κινούμενα, τὰ δὲ πλήρη ἀκίνητα; ἀδύνατον γὰρ ἄνευ κενοῦ κινηθῆναι, ταῦτα δὲ πλήρη.

4. Cur fructuum involucra et carnes et cetera id genus in utribus, si vehementer inflantur, a putredine immunes fiunt, nec minus quæ rebus diligentissime operculo obclusis continentur? An quoniam putrescunt quidem omnia dum moventur; quæ autem plena sunt, immota persistunt? haud enim fieri potest ut motus sine inani spatio fiat; atqui isthæc plena sunt.

5. Διὰ τί μετὰ τὰ σαπρὰ τῶν περικαρπίων ὁ οἶνος πικρὸς φαίνεται πινόμενος; Ἢ ὅτι τὴν πικρότητα ἔχει ἡ σαπρότης ἡ τοιαύτη; Τὸ οὖν ἐπιμένον ἐπὶ τῇ γλώττῃ, μιγνύμενον τῷ πόματι καὶ διαχεόμενον πικρὸν ποιεῖ τὸ πόμα· αὐτὸ δὲ καθ' αὑτὸ ἧττον φαίνεται ἐσθιόμενον διὰ τὸ πολλῶν ἅπτεσθαι καὶ εἰς μικρὰ διανενεμῆσθαι τὸν τοιοῦτον χυμόν.

5. Cur vinum post putria fructuum involucra epotum amarum sentitur? An quia hujusmodi putredo amarore prædita est? Itaque quod in lingua remanet, potui admistum diffusumque, eum amarum efficit; ipsum autem pomum per se esitatum minus adparet, quia saporis id genus multa adtingit inque exigua distribuitur.

6. Διὰ τί τὰ τραγήματα ἐδεστέον; Ἢ ἕνεκα τοῦ πιεῖν ἱκανόν; οὐ γὰρ μόνον ποτέον τῆς δίψης χάριν τῆς ἐπὶ τοῖς σιτίοις, ἀλλὰ καὶ μετὰ τὸ σιτίον.

6. Cur edenda bellaria sunt? An ut satis bibamus? non enim sitis gratia solum, quæ a cibis pendet, bibendum est, sed etiam post cibum.

7. Διὰ τί τὰ ὀπτὰ κάρυα ψυχθέντα χείρω γίνεται, καὶ ὁ ἄρτος δὲ καὶ ὁ βάλανος καὶ πολλὰ τῶν τοιούτων, θερμανθέντα δὲ πάλιν βελτίω; Ἢ διότι ψυχθέντος μὲν πέπηγεν ὁ χυμός, ἀναχλιανθέντος δὲ πάλιν χεῖται; ἡ δ' ἡδονὴ γίνεται διὰ τὸν χυμόν.

7. Cur nuces tostæ refrigeratæ deteriores redduntur, et panis quoque et glandes, et multa id genus alia, rursus calefacta vero meliora evadunt? An propterea quod refrigeratus quidem succus concrescit denuo, tepefactus vero rursus diffunditur? suavitas enim a succo pendet.

8. Διὰ τί ἐπὶ τῇ ἀπολαύσει τῆς ὀπώρας, οἷον σύκων καὶ τῶν τοιούτων, ἢ οἶνον ἄκρατον δεῖ ἐπιπίνειν, ἢ ὕδωρ; ταῦτα δὲ ἐναντία. Ἢ ὅτι ἡ ὀπώρα καὶ θερμή ἐστι καὶ ὑγρὰ διὰ τὴν γένεσιν; ἔχει γὰρ πολὺ πῦρ καὶ ὑγρότητα, ὥστε διὰ μὲν τὸ πῦρ οἷον ζέσιν ποιεῖ ὁ χυμὸς εἴσω, ὅπερ ἔξω τὸ γλεῦκος ποιεῖ· ἧττον δ' ἔχει δύναμιν καὶ τὰ ἄλλα τὰ ἀκρόδρυα· τὸ δὲ τῆς ὑγρότητος πλῆθος ἀπεψίαν ποιεῖ. Τὸ μὲν οὖν ὕδωρ διὰ τὴν ψυχρότητα σβεννύει τὴν ζέσιν, ὁ δ' οἶνος διὰ τὴν θερμότητα ὡς ἐπὶ τὸ πολύ· ὥσπερ γὰρ πῦρ ἐνίοτε πυρός, ἐὰν ᾖ ἔλαττον, ἀφαιρεῖται τὴν ἰσχύν. Μᾶλλον δὲ τῇ θερμότητι πεπτικός ἐστι τῆς ὑγρότητος, καὶ διὰ βάρος καταχρατεῖ τὸν τῆς ζέσεως ἐπιπολασμόν.

8. Cur post fructuum esitationem, ut ficuum ceterorumque generis ejusdem, vel vinum merum, vel aquam superbibere oportet? hæc autem contraria sunt. An quia genus pomorum et calidum et humidum propter generationem est? habet enim tum ignis copiam, tum humoris, ita ut per ignem quidem succus veluti fervorem intus excitet, quomodo mustum foris, sed minorem habet vim, quemadmodum et reliqui arborum fructus; humoris vero copia cruditatem efficit. Aqua igitur suo frigore fervorem exstinguit; vinum vero suo calore idem plerumque efficit, quippe quod perinde atque ignis interdum igni, modo minor sit, vires subtrahit. Potius tamen humorem suo calore concoquere valet, suoque pondere fervoris turgescentiam reprimit.

9. Διὰ τί τῶν ἰσχάδων γλυκύταται αἱ δίχα ἐσχισμέναι, οὔτε δ' αἱ πολυσχιδεῖς, οὔθ' αἱ ἀσχιδεῖς; Ἢ διότι ἐκ μὲν τῶν πολυσχιδῶν διαπέπνευκε καὶ ἐξίκμακε μετὰ τοῦ ὑγροῦ τὸ πλεῖστον τοῦ γλυκέος, ἐν δὲ ταῖς μεμυκυίαις πολὺ τὸ ὑδατῶδές ἐστι διὰ τὸ μὴ ἠτμικέναι· αἱ δ' ἐσχισμέναι μέν, μὴ εἰς πολλὰ δέ, ἀμφοτέρων τούτων ἐκτός εἰσι τῶν παθημάτων;

9. Quam ob causam caricæ bifidæ dulcissimæ sunt, nec multifidæ, nec fissura carentes? An quod ex multifidis quidem exhalata atque exsucta est una cum humore pars dulcedinis plurima; in obclusis vero humoris aquosi magna copia inest, quia vaporem non emiserunt; at quæ fissæ quidem sunt, non tamen fissura multiplici, immunes ab utroque isto adfectu sunt?

10. Διὰ τί ταῖς χαμίνοις ψυχόμενα τὰ σῦκα σκληρότερα γίνεται, ἐὰν ψυχθῇ ἐν τῇ χαμίνῳ ἢ ἂν ἐξαιρεθέντα ψυχθῇ; Ἢ ὅτι ἐν μὲν τῇ χαμίνῳ ἐξατμίζει πᾶν

10. Cur si ficus in furno siccantur, duriores efficiuntur si in furno quam si exemptæ refrigerentur? An quoniam in furno quidem humor totus a calore evaporatur, foris

τὸ ὑγρὸν ὑπὸ τοῦ θερμοῦ, ἔξω δὲ περιεστηκὼς ὁ ἀὴρ ψύχων κωλύει τὸ ὑγρὸν ἐξιέναι καὶ συνίστασθαι; μᾶλλον γὰρ ἐξατμίζει. Ἔστι δὲ τὰ μὲν ξηρὰ σκληρά, τὰ δ' ὑγρὰ μαλακά.

vero aer ambiens refrigerando exire atque consistere prohibet humorem? plus enim vaporis emittunt. Sunt autem sicca quidem dura, humida vero mollia.

11. Διὰ τί παρὰ τὰ στρυφνὰ ὁ οἶνος καὶ τὸ ὕδωρ φαίνεται γλυκύτερα, οἷον ἐάν τις βαλάνους, ἢ μύρτα, ἤ τι τῶν τοιούτων διατράγῃ; Ἢ εἰκότως, καθάπερ καὶ ἐπὶ τῶν ἄλλων; πᾶν γὰρ τὸ αὐτὸ παρὰ τὸ ἐναντίον μᾶλλον φαίνεται, οἱ δὲ τῶν ἐναντίων χυμοὶ ἀντικείμενοί πώς εἰσιν. Ἢ ὅτι, καθάπερ ἐπὶ τῶν βαπτομένων, ὑπὸ τῶν στρυφνῶν ἡ γλῶττα προδιεργάζεται καὶ τοὺς πόρους ἀνοίγεται, ὥστε μᾶλλον διιέναι τὸ γλυκύ; καὶ γὰρ τὰ βαπτόμενα τούτου ἕνεκεν προβρέχουσιν ἐν τοῖς στρυφνοῖς, τῷ διεργασθὲν μᾶλλον δέχεσθαι τὴν βαφήν.

11. Cur ad acerba vinum, aut aqua epota dulcior sentitur, exempli gratia, si quis glandes, aut myrta, aut tale quid interea eserit? An merito ita fit, quemadmodum vel in ceteris rebus? omnia namque plenius eadem juxta sua contraria adparent, contrariorum autem sapores obpositi quodammodo inter se sunt. An quia ut in rebus quæ colore inficimus, ita etiam lingua acerbis prædisponitur, meatusque suos patefieri patitur, ut dulce facilius penetret? res enim inficiendas ideo humoribus acerbis ante humectant, quia res penitus elaborata melius colorem recipit.

12. Διὰ τί τὰ γλυκέα ἧττον δοκεῖ γλυκέα εἶναι θερμὰ ὄντα ἢ ὅταν ψυχθῇ; Πότερον ὅτι ἅμα δύο αἰσθήσεις γίνονται ἀμφοῖν, ὥσθ' ἡ τοῦ θερμοῦ ἐκκρούει τὴν ἑτέραν; Ἢ ὅτι καὶ τὸ γλεῦκος θερμόν; Ὥσπερ οὖν πῦρ γίνεται ἐπὶ πῦρ. Κωλύει οὖν ἡ θερμότης. Ἢ ὅτι τὸ πῦρ ἀφαιρεῖται τὰς δυνάμεις ἁπάντων διὰ τὸ κινητικὸν εἶναι; Ἐγγυτέρω οὖν τοῦ μεταβάλλειν ἐστὶ θερμὰ ὄντα, ἀποψυχθέντα δ' ἕστηκεν.

12. Cur dulcia minus dulcia esse videntur, calida ubi sunt, quam ubi refrigerata? Utrum quia simul ab utrisque duo sensus exsistunt, ita ut calidi sensus alterum excutiat? An quod etiam sapor dulcis calidus est? Itaque quasi ignis igni adjicitur: ergo calor est qui impedit. An quod ignis vires omnibus aufert, quia vim obtinet movendi? Calida igitur ubi sunt, propiora mutationi sunt; refrigerata vero restant.

13. Διὰ τί ποτε τὰ ἄχυρα τὰ μὲν σκληρὰ πέττει, τὰ δὲ πεπεμμένα οὐ σήπει; Ἢ ὅτι τὰ ἄχυρα θερμόν τε καὶ ὁλκόν ἐστιν; Τῇ μὲν οὖν θερμότητι πέττει, τῷ δ' ὁλκὸν εἶναι τὸν ἰχῶρα τὸν σηπόμενον δέχεται· διὸ οὐ σήπει.

13. Cur tandem paleæ dura quidem concoquunt, concocta vero non putrefaciunt? An quod paleæ et calidæ et adtrahentes sunt? Suò igitur calore concoquunt, eo vero quod adtrahunt, saniem putrescentem imbibunt: quapropter non putrefaciunt.

14. Διὰ τί τὰ σῦκα μαλακὰ καὶ γλυκέα ὄντα λυμαίνεται τοὺς ὀδόντας; Ἢ διὰ τὴν γλισχρότητα προσέρχεται τοῖς οὔλοις, καὶ παρεμπίπτει διὰ τῶν ὀδόντων εἰς τὰ διὰ μέσου διὰ τὸ μαλακὰ εἶναι, καὶ σῆψιν ποιεῖ ταχέως, ἅτε θερμὰ ὄντα; Τάχα δ' ἴσως καὶ διὰ τὴν σκληρότητα τῶν κεγχραμίδων ἐν τῇ τούτων κατεργασίᾳ πονοῦσι ταχέως οἱ ὀδόντες.

14. Qua de causa ficus, quum molles dulcesque sint, dentes obfendunt? An gingivis propter lentorem adhærescunt, seque per dentes in eorum interstitia, quia molles sunt, insinuant, et putredini cito causam dant, utpote calidi? Forsitan et ob granorum duritiem dentes celeriter laborant iis conficiendis.

ΤΜΗΜΑ ΚΓ.

SECTIO XXIII.

ΟΣΑ ΠΕΡΙ ΤΟ ΑΛΜΥΡΟΝ ΥΔΩΡ ΚΑΙ ΘΑΛΑΤΤΑΝ.

QUÆ AD SALSAM AQUAM ET MARE PERTINENT.

1. Διὰ τί τὸ κῦμα οὐκ ἐπιγελᾷ ἐν τοῖς βαθέσι πελάγεσιν, ἀλλ' ἐν τοῖς μικροῖς καὶ βραχέσιν; Ἢ ὅτι τὸ μικρὸν ὑγρὸν φερόμενον μᾶλλον διαιρεῖται ὑπὸ τοῦ πνεύματος ἢ τὸ πολύ;

1. Cur fluctus in altis pelagis non subrident, sed in parvis et brevibus? An quia parum humoris, ubi fertur, magis dividitur a flatu quam multum?

2. Διὰ τί τὰ κύματα πρότερον φοιτᾷ ἐνίοτε τῶν ἀνέμων; Ἢ ὅτι πρὸς τῇ ἀρχῇ τοῦ πνεύματος ἡ θάλαττα ὠσθεῖσα πρώτη τὴν ἐχομένην ἀεὶ ταὐτὸν ποιεῖ; διόπερ οὔσης αὐτῆς συνεχοῦς καθάπερ μιᾷ πληγῇ συνεχεῖ πάσαις γίνεται· τὸ δ' ἐν ἑνὶ χρόνῳ γίνεται, ὥστε συμβαίνει τήν τε πρώτην καὶ τὴν ἐσχάτην ἅμα κι-

2. Cur fluctus interdum prius erumpunt quam venti? An quoniam circa flatus principium maris pars prima impulsa in partem sibi proximam semper eodem modo agit? quamobrem quum mare ipsum continuum sit, omnibus maris partibus quasi uno ictu continuo idem evenit, idque uno eodemque fit tempore, ita ut primam et ultimam partem

νεῖσθαι. Ὁ δ' ἀὴρ οὐ πάσχει τοῦτο, ὅτι οὔτ' ἐστὶν ἓν σῶμα συνεχές, τῷ πολλὰς πάντοθεν ἀντικρούσεις λαμβάνειν, αἳ πολλάκις κωλύουσι τὴν πρώτην καὶ νεανικωτάτην κίνησιν, τήν τε θάλασσαν οὐ ποιοῦσι τοῦτο διὰ τὸ βαρυτέραν καὶ δυσκινητοτέραν αὐτοῦ εἶναι.

simul moveri evenit. Quod aeri non adcidit, quia corpus unum continuum non est, eo quod multiplices undique repulsus subit qui sæpe primum validissimumque movendi impetum impediunt, dum in mare eodem modo non agunt, quia gravius aere motuque difficilius est.

3. Διὰ τί τὰ πλοῖα γέμειν δοκεῖ μᾶλλον ἐν τῷ λιμένι ἢ ἐν τῷ πελάγει, καὶ θεῖ δὲ θᾶττον ἐκ τοῦ πελάγους πρὸς τὴν γῆν ἢ ἀπὸ τῆς γῆς εἰς τὸ πέλαγος; Ἢ ὅτι τὸ πλέον ὕδωρ ἀντερείδει μᾶλλον ἐκ τοῦ ὀλίγου, ἐν δὲ τῷ ὀλίγῳ δέδυκε, διὰ τὸ κρατεῖν αὐτοῦ μᾶλλον; ὠθεῖ γὰρ κάτω τὸ ὕδωρ ἄνωθεν. Ἐν μὲν οὖν τῷ λιμένι ὀλίγη ἐστὶν ἡ θάλασσα, ἐν δὲ τῷ πελάγει βαθεῖα· ὥστε καὶ ἄγειν πλέον δόξει ἐν τῷ λιμένι καὶ κινήσεται χαλεπώτερον διὰ τὸ δεδυκέναι μᾶλλον καὶ ἧττον ἀντερείδειν τὸ ὕδωρ· ἐν τῷ πελάγει δὲ τἀναντία τούτων ἐστίν.

3. Cur navigia onustiora in portu quam in alto esse videntur, celeriusque de alto in terram currunt quam de terra in altum? An quod plus aquæ renititur validius iis quæ e pauca veniunt; in pauca contra fundum petunt, quia magis eam domant? aquam enim superne deorsum pellunt. Ergo in portu quidem parum maris est, in alto vero profundum est mare : quapropter et plus pendere in portu videbuntur, et movebuntur ægrius, quia magis merguntur, et aqua minus renititur; at vero in alto horum contraria obtinent.

4. Διὰ τί, ὅταν τι ῥιφθῇ εἰς τὴν θάλατταν κυμαίνουσαν, οἷον ἡ ἄγκυρα, γαλήνη γίνεται; Ἢ διότι ἵσταται ἡ θάλαττα τῷ φερομένῳ, μεθ' οὗ ἀὴρ συγκαταφέρεται, ὃς ἐπ' εὐθείας κάτω φερόμενος καὶ ἐνταῦθα ἐπισπασθεὶς συνεπισπᾶται τὸ ἐκ πλαγίου κινοῦν τὴν θάλατταν; ὁ δὲ κλύδων τῆς θαλάττης οὐκ ἄνωθεν κάτω γίνεται, ἀλλ' ἐπιπολῆς· οὗ λήξαντος γαλήνη γίνεται. Ἔτι συνιοῦσα ἡ θάλασσα εἰς τὰ διαστάντα τῷ φερομένῳ δίνην ποιεῖ· ἡ δὲ δίνη κύκλῳ φέρεται. Ἐπεὶ δ' ἡ εὐθεῖα τοῦ κύκλου κατὰ σημεῖον ἅπτεται, τὰ δὲ κύματα ἐπ' εὐθείας λοξῆς φέρεται, συμβαίνοι ἂν αὐτὰ τοῦ ἐξωτάτου τῆς δίνης κατὰ σημεῖον ἅπτεσθαι, διά τε τὰ εἰρημένα καὶ διὰ τὴν τῆς δίνης φοράν, ἣ προσιοῦσα ἀπωθεῖται αὐτά. Ἀκύμου δ' ὄντος τοῦ κατ' αὐτὴν τόπου, γαλήνην ἐν τῇ ῥήξει αὐτῆς συμβαίνει γίνεσθαι, ὅτι συγκαταβὰς ὁ ἀὴρ τῷ ἐνεχθέντι κάτω, ἀναφερόμενος καὶ ὠθῶν ἄνω τὴν θάλατταν ὥσπερ πομφολυγοῖ αὐτήν· ἡ γὰρ πομφόλυξ ὑγροῦ ὑπ' ἀέρος κάτωθεν ἀνωθουμένου ἐστίν· πομφόλυξ δὲ πᾶσα λεία καὶ γαληνός ἐστιν. Σημεῖα δὲ τῶν εἰρημένων ἐστίν· μετέωρος γὰρ ἡ κατὰ τὸ ἐνεχθὲν κάτω θάλαττα τῆς πέριξ γίνεται μικρὸν ὕστερον.

4. Quam ob causam, ubi aliquid in mare æstuans jactum fuerit, ut ancora, tranquillitas oritur? An quod mare sistitur a re quæ fertur, quacum aer fundum petit; hicce autem dum per directum deorsum fertur atque adtrahitur, secum adtrahit quod mare a latere concitat? æstus enim maris non superne deorsum fit, sed in superficie : quo sedato tranquillitas oritur. Ad hæc, quum mare in ea spatia coit quæ res descendens peperit, vorticem efficit; vortex autem circulo movetur. At quum linea recta circulum per punctum adtingat, fluctusque secundum lineam rectam obliquam ferantur, eveniet ut fluctus per punctum extimam vorticis partem adtingant, cum prædictam ob causam, tum propter vorticis motum, qui adcessu suo repellit eos. Quum autem fluctibus careat locus quem occupat vortex, evenit ut tranquillitas fiat quo loco rumpitur, quoniam aer, qui cum re descendente deorsum latus fuerat, superiora repetens, mareque sursum compellens, id quasi in bullas adtollit, quippe quum bulla ab humore consistat, qui inferne sursum ab aere pellitur; omnis autem bulla lævis tranquillaque est. Ea vero quæ diximus, probantur eo quod maris pars rei descendenti respondens paulo post partem circumdantem in sublime adtollitur.

5. Διὰ τί ἐνίοτε πλοῖα θέοντα ἐν τῇ θαλάττῃ εὐδίας καταπίνεται καὶ ἀφανῆ γίνεται, ὥστε μηδὲ ναυάγιον ἀναπλεῖν; Ἢ ὅταν ἀντρώδης τόπος ἐν τῇ ὑπὸ τὴν θάλατταν γῇ ῥαγῇ, ἅμα εἰς τὴν θάλατταν καὶ ἔσω ἀκολουθεῖ τῇ τοῦ πνεύματος φορᾷ, ὁμοίως δὲ καὶ πάντῃ φερομένη κύκλῳ φέρεται κάτω; τοῦτο δ' ἐστὶ δῖνος. Τὰ δὲ περὶ Μεσήνην ἐν τῷ πορθμῷ πάσχει μὲν τοῦτο διὰ τὸν ῥοῦν (γίνονται γὰρ αἱ δῖναι ὑπὸ τούτου) καὶ καταπίνεται εἰς βυθὸν διὰ ταῦτά τε, καὶ ὅτι θαλαττά τε βαθεῖα καὶ γῆ ὕπαντρος μέχρι πόρρω. Φέρουσιν οὖν εἰς ταῦτα ἀποβιαζόμεναι αἱ δῖναι· διὸ οὐκ ἀναπλεῖ αὐτόθι τὰ ναυάγια. Ὁ δὲ ῥοῦς γίνεται, ὅταν παυσαμένου τοῦ προτέρου ἀντιπνεύσῃ ἐπὶ τῆς θαλάττης ῥεού-

5. Cur interdum navigia, dum serena tempestate mare currunt, absorbentur atque evanescunt, adeo ut ne fragmentum quidem revehatur? An ubi locus cavernosus terræ subditæ mari disrumpitur, simul in mare introrsumque flatus impetum sequuntur, hicce autem quum quaquaversus impulsu pari moveatur, in orbem deorsum fertur? hoc autem vortex est. Mari autem circa Messanam in freto quoque idem evenit propter æstum (fiunt enim eo ipso vortices), atque navigia ad fundum absorbentur, tum ob eam quam diximus causam, tum quod mare altum est, terraque ad longinquum usque spatium cavernosa. Ad has igitur cavernas vi illata deferunt vertices : quapropter inibi fragmenta non revehuntur. Æstus autem fit, ubi flatu desistente priori super mari fluente alii huic ex ad-

σης τῷ προτέρῳ πνεύματα, μάλιστα δ' ὅταν νότος ἀντιπνεύσῃ· ἀντιπνέοντα γὰρ ἀλλήλοις τὰ ῥεύματα παρεκθλίβεται ὥσπερ ἐν τοῖς ποταμοῖς, καὶ γίνονται αἱ δῖναι. Φέρεται δὲ ἑλιττομένη ἡ ἀρχὴ τῆς κινήσεως ἄνωθεν ἰσχυρὰ οὖσα. Ἐπεὶ οὖν εἰς πλάγιον οὐκ ἔστιν ὁρμᾶν (ἀντωθεῖται γὰρ ὑπ' ἀλλήλων), ἀνάγκη εἰς βάθος ὠθεῖσθαι, ὥστε καὶ ὃ ἂν ληφθῇ ὑπὸ τῆς δίνης, ἀνάγκη συγκαταφέρεσθαι· διὸ ἀνάσιμα τὰ πλοῖα ποιοῦνται· ἤδη γὰρ ὀρθὸν ποτε μνημονεύεται καταποθέν.

6. Διὰ τί ἡ θάλαττα λευκοτέρα ἡ ἐν τῷ Πόντῳ ἢ ἡ ἐν τῷ Αἰγαίῳ; Πότερον διὰ τὴν ἀνάκλασιν τῆς ὄψεως τὴν γινομένην ἀπὸ τῆς θαλάττης εἰς τὸν ἀέρα; ὁ μὲν γὰρ περὶ τὸν Πόντον ἀὴρ παχὺς καὶ λευκός, ὥστε καὶ τῆς θαλάττης ἡ ἐπιφάνεια τοιαύτη φαίνεται, ὁ δ' ἐν τῷ Αἰγαίῳ κυανοῦς διὰ τὸ μέχρι πόρρω εἶναι καθαρός, ὥστε καὶ ἡ θάλαττα ἀνταυγοῦσα τοιαύτη φαίνεται. Ἢ ὅτι πᾶσαι αἱ λίμναι λευκότεραι τῆς θαλάττης, ὁ δὲ Πόντος ἐστὶ λιμνώδης διὰ τὸ πολλοὺς ποταμοὺς εἰς αὐτὸν ῥεῖν; αἱ δὲ λίμναι διαλευκότεραι τῆς θαλάττης καὶ τῶν ποταμῶν· γράφουσι γοῦν οἱ γραφεῖς τοὺς μὲν ποταμοὺς ὠχρούς, τὴν δὲ θάλατταν κυανέαν. Ἢ ὅτι διὰ μὲν τοῦ ποτίμου διέρχεται ταχὺ ἡ ὄψις, καὶ οὐχ ἀνακλᾶται πρὸς τὸν ἀέρα, ἀπὸ δὲ τῆς θαλάσσης [οὐ], οὔτ' ἄνω ἀνακλᾶται διὰ τὸ μὴ λεῖον εἶναι τὸ ὕδωρ· κάτω δ' ἀποκάμνει βαδίζουσα; διὸ μέλαινα φαίνεται. Ἐν δὲ τοῖς λιμνώδεσιν ἐπιπολῆς ὄντος τοῦ ποτίμου, κάτω δὲ τοῦ ἁλμυροῦ, οὐ διέρχεται, ἀλλ' ἀνακλᾶται πρὸς τὴν αὐγήν· διὸ φαίνεται λευκὴ ἡ ἐπιφάνεια αὐτῆς.

7. Διὰ τί ἡ θάλαττα τοῦ ποτίμου ὕδατος ἧττον ψυχρά, καὶ τὰ ἁλυκὰ τῶν γλυκέων; Πότερον ὅτι πυκνότερον ἡ θάλαττα καὶ μᾶλλον σῶμα, τὰ δὲ τοιαῦτα ἧττον ψύχεται, ὥσπερ καὶ θερμαίνεται μᾶλλον; σωστικωτέρα γὰρ τοῦ θερμοῦ διὰ τὴν πυκνότητα. Ἢ ὅτι λιπαρωτέρα ἡ θάλαττα; διὸ καὶ οὐ σβέννυσι τὴν φλόγα. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· τὸ δὲ λιπαρώτερον θερμότερον. Ἢ ὅτι γῆς πολὺ ἔχει, ὥστε ξηρότερον; τὸ δὲ ξηρότερον θερμότερον.

8. Διὰ τί ἡ θάλαττα εὐδιοπτοτέρα τοῦ ποτίμου, παχυτέρα οὖσα; λεπτότερον γὰρ τὸ πότιμον τοῦ ἁλμυροῦ. Ἢ οὐ τὸ λεπτὸν αἴτιον, ἀλλ' εὐθυωρίαι τῶν πόρων πλεῖσται καὶ μέγισταί εἰσιν; Τὸ μὲν οὖν πότιμον πυκνὸν διὰ λεπτομέρειάν ἐστι, τὸ δ' ἁλμυρὸν μεγάλα ἔχει τὰ διάκενα. Ἢ ὅτι καθαρώτερον ἡ θάλαττα; γῆ μὲν γὰρ οὐκ ἔστιν, ἡ δ' ἄμμος βαρεῖα οὖσα ὑφίσταται· τὰ δὲ πότιμα γεώδη· αὐτὴ δ' ἐν τῷ μεταξὺ φερομένη ἀναθολοῦται ταχύ.

9. Διὰ τί ἐν τοῖς βορείοις εὐδιοπτοτέρα ἡ θάλαττα ἢ ἐν τοῖς νοτίοις; Ἢ ὅτι ἐν τῇ γαλήνῃ χρῶμα ἔχει ἡ θάλαττα; λιπαρὸν γὰρ ἔνεστιν ἐν τῷ ἁλμυρῷ χυμῷ. Σημεῖον δέ· ἐκκρίνεται γὰρ ἔλαιον ἐν ταῖς ἁλέαις.

verso, maximeque uo. auster reflaverit : ubi enim undæ sibi invicem ex adverso flant, ad latera extruduntur, ut in fluminibus fit, atque oriuntur vortices. Principium autem motus, quippe superne validum, volvendo fertur. Igitur quum undis latera petere non liceat (impulsu namque repelluntur mutuo), compelli ad fundum necessarium est, ita ut id quoque deferri eodem una cogatur, quodcumque vortex comprehenderit. Eademque causa est, cur repanda construantur navigia : jam enim rectum aliquando absorptum esse memoriæ proditur.

6. Cur mare in Ponto candidius quam in Ægæo est? Utrum propter visus refractionem factam de mari in aerem? est enim aer circa Pontum crassus et albidus, ita ut etiam maris superficies talis cernatur; in Ægæo vero cœruleus, quoniam ad longinquum usque spatium purus est : quocirca mare quoque relucens talis adparet. An quod lacus omnes quam mare candidiores sunt, Pontus autem in lacus speciem transit, eo quod multi in eum fluvii influunt? lacus enim magis quam mare et fluvii albo interstincti sunt : unde pictores flumina quidem pallida, mare vero cœruleum pingunt. An quia per aquam potulentam quidem visus cito permeat, neque ad aerem reflectitur; a mari autem sursum quoque non reflectitur, quoniam lævis aqua non est, deorsum vero progrediens fatiscit? quapropter nigrum esse videtur. In maris tandem partibus quæ lacum simulant, quum aqua potulenta superficiem tenet, salsa vero fundum, visus non permeat, sed ad lucem reflectitur : quapropter alba adparet ejus superficies.

7. Cur mare minus quam aqua potulenta frigidum est, itemque salsæ minus quam dulces? Utrum quod mare spissius et corpulentius est, hujusmodi autem res minus refrigerantur, sicut etiam amplius incalescunt, quippe quæ calorem ob densitatem melius retinent? An quia mare pinguius est? quocirca et flammam non exstinguit. Idem quoque in ceteris rebus evenit : calidius enim quod pinguius est. An quoniam multum terræ continet, ita ut siccius sit? quod enim siccius, id calidius est.

8. Cur mare melius perspicitur quam aqua potulenta, etiamsi crassius sit? potulenta enim salsa tenuior est. An tenuitas causa non est, sed rectitudo meatuum plurimorum atque amplissimorum? Potulenta itaque spissa propter tenuitatem suarum partium est, salsa vero ampla continet interstitia inania. An quia purius est mare? terra enim nulla in eo inest, arena vero suo pondere subsidit; at aquæ potulentæ terrosæ sunt, ipsumque mare inter terras decurrens cito turbatur.

9. Cur aquiloniis tempestatibus melius perspicitur mare quam austrinis? An quia mare per tranquillitatem colore præditum est? inest enim aliquid pinguis in succo salso. Indicium autem est, quod per sudum oleum quoddam

Εὐδίας οὖν οὔσης καὶ ἀλεεινοτέρας τῆς θαλάττης, διὰ κουφότητα ἐπανθεῖ ἄνω ὁ τοιοῦτος χυμός. Τοῖς δὲ βορείοις ἧττον διὰ τὸ ψῦχος· ἔστι δὲ τὸ ὕδωρ εὐδιοπτότερον τοῦ ἐλαίου· τὸ γὰρ ἔλαιον χρῶμα ἔχει, τὸ δ' ὕδωρ ἄχροον παρεμφαινόμενον σαφεστέραν ποιεῖ τὴν ἔμφασιν.

secernitur. Ergo ubi tempestas serena tepidiusque mare est, succus hujusmodi sua levitate superne efflorescit. Quod aquiloniis tempestatibus minus fit propter frigus; est autem aqua translucidior quam oleum: id enim colore præditum est; aqua vero, utpote coloris expers, imagini sese admiscens eam clariorem reddit.

10. Διὰ τί λουσάμενοι τῇ θαλάττῃ θᾶττον ξηραίνονται, βαρυτέρᾳ οὔσῃ τῶν ποτίμων; Ἢ ὅτι παχυτέρα καὶ γεώδης ἡ θάλαττα; Ὀλίγον οὖν ἔχουσα τὸ ὑγρὸν ξηραίνεται θᾶττον.

10. Qua de causa qui mari se laverint, ocius resiccantur, etiamsi mare gravius sit quam aquæ potulentæ? An quia crassius et terrosum est mare? Ergo quum parum humoris contineat, cito siccatur.

11. Διὰ τί τὰ κύματα ἀνεμώδη; Ἢ ὅτι σημεῖά ἐστι πνεύματος ἐσομένου; ἔστι γὰρ τὸ πνεῦμα σύνωσις ἀέρος. Ἢ διὰ τὸ ἀεὶ προωθεῖσθαι γίνεται; προωθεῖ δ' οὐ συνεχές πω ὂν τὸ πνεῦμα, ἀλλ' ἀρχόμενον. Τὸ μὲν δὴ πρῶτον ὥσπερ προεμαράνθη, ἄλλο δὲ τοῦτο προέωσε καὶ ἄλλην πυκνότητα ἤγαγεν καὶ ἀπεμαράνθη· ὥστε δῆλον, ὅταν ἤδη τὸ προωθούμενον παρῇ, ὅτι ἥξει καὶ τὸ κινοῦν· ἀρχόμενον γὰρ τοῦτο ποιεῖ.

11. Cur fluctus ventosi sunt? An quia flatus futuri indices sunt? flatus enim compulsus aeris est. An ideo fit quia perpetuo propellitur? propellit autem flatus, ubi nondum continuus est, sed inchoat tantummodo. Primus igitur quasi emarcuit, mox autem hunc alter propellit, factaque altera densitate elanguit: quare ubi unda propulsa jam adest, propellentem quoque venturum esse palam fit: facit enim id ipsum ubi incipit.

12. Διὰ τί τὸ κῦμα προεκπίπτει τοῦ πνεύματος; Ἢ ὅτι οὐχ ἅμα παύεται τὸ πνεῦμα [τὸ] πνέον καὶ ἡ θάλαττα κυμαίνουσα, ἀλλ' ὕστερον ἡ θάλαττα, ἐνδέχεται τὸ κινῆσαν πνεῦμα φθαρῆναι πρὸ τοῦ γενέσθαι αἰσθητόν, ὥστ' οὐ πρότερον τὸ κῦμα πνεύματος, ἀλλὰ τὸ μὲν λανθάνει, τὸ δ' οὔ; Ἢ οὐχὶ τὰ πνεύματα ἅμα πανταχοῦ πνεῖ, ἀλλ' ὅθεν ἡ ἀρχὴ πρότερον; ἅμα δὲ πνεῖ καὶ τὴν πλησίον θάλατταν κινεῖ, αὕτη δὲ τὴν ἐχομένην, καὶ οὕτως ἂν ἐνδέχοιτο πρότερον τὸ κῦμα ἐκπίπτειν· ὑπὸ γὰρ τῆς θαλάσσης, καὶ οὐχ ὑπὸ τοῦ πνεύματος, ἡ κίνησις ἡ θάττων τοῦ ἀέρος, ἢ τῆς θαλάττης.

12. Cur fluctus ante flatum prorumpit? An quia non simul ventus flare desistit et mare fluctuare, sed mare serius, ideo fieri potest ut qui moverit, flatus ante obcidat quam sensui patefiat, ita ut non fluctus flatum præcedat, sed hic quidem lateat, ille vero non? An flatus non ubique simul spirant, sed primum unde originem petunt? simul autem spirant et mare sibi proximum movent, hoc vero insequens, atque ita fieri poterit ut fluctus prius prorumpat: motus enim velocior aeris, vel maris, a mari, non a flatu provenit.

13. Διὰ τί ἐν τῇ θαλάττῃ μᾶλλον νεῖν δύνανται ἢ ἐν τοῖς ποταμοῖς; Ἢ ὅτι ὁ νέων ἀεὶ ἐπιστηριζόμενος ἐν τῷ ὕδατι νεῖ, ἐν δὲ τῷ σωματωδεστέρῳ μᾶλλον ἀποστηρίζεσθαι δυνάμεθα, σωματωδέστερον δ' ἐστὶ τὸ θαλάττιον ὕδωρ τοῦ ποταμίου; παχύτερον γάρ ἐστι καὶ μᾶλλον ἀντερείδειν δυνάμενον.

13. Cur in mari melius quam in fluviis natare possunt? An quod qui natat, semper aquæ adnitendo natat, adniti autem firmius ad id possumus, quod corpulentius est, aquaque marina fluviali corpulentior est? crassior enim et ad renitendum validior est.

14. Διὰ τί ποτε ἐν τῇ θαλάττῃ πλείω χρόνον διατελεῖν δύνανται ἢ ἐν τῷ ποταμῷ; Ἢ διότι τὸ ποτάμιον ὕδωρ λεπτόν ἐστιν; Μᾶλλον οὖν παρεισδυόμενον πνίγει.

14. Cur tandem in mari plus temporis valent tolerare quam in fluvio? An quia fluvialis aqua tenuis est? Magis igitur subiens strangulat.

15. Διὰ τί ἡ μὲν θάλαττα κάεται, τὸ δ' ὕδωρ οὔ; Ἢ κάεται μὲν κἀκεῖνο, ἡ δὲ θάλαττα ἧττον σβέννυσι τὸ πῦρ διὰ τὸ λιπαρωτέρα εἶναι; Σημεῖον δ' ὅτι λιπαρωτέρα· ἀπὸ γὰρ τῶν ἁλῶν ἔλαιον ἀφαιρεῖται. Ἢ καὶ ἧττον δύνανται οἱ πόροι ἁρμόττειν τῷ πυρὶ διὰ τὸ παχύτεροι εἶναι, καὶ μᾶλλόν γε δή, ἅτε καὶ τῶν ἁλῶν ἐνυπαρχόντων; Ὥσπερ οὖν τὸ ξηρὸν τοῦ ὑγροῦ ἧττον σβεστικόν, καὶ τὸ ξηρὸν μᾶλλον κατὰ λόγον καυστικόν ἐστι, καὶ ἕτερον ἑτέρου μᾶλλον τῷ ἐγγυτέρω τοῦ θερμοῦ εἶναι, τὸ ξηρότερον δὲ τῇ θαλάττῃ· ἄμφω δὲ ταῦτα μᾶλλον ὑπάρχει.

15. Cur mare quidem deuritur, aqua vero non? An et aqua deuritur, sed mare minus ignem exstinguit, quoniam pinguius est? Id vero pinguius esse eo probatur quod e sale depromitur oleum. An etiam meatus maris minus adaptari possunt igni, quia crassiores sunt, idque eo magis, quum sal insit? Ut igitur quod siccum est, minus exstinguere quam quod humidum potest, ita etiam quod amplius siccum est, pro portione urere valet, et alterum magis altero, quo propius ad calorem accedit; mari autem major siccitas inest: ei igitur isthæc ambo insunt plenius.

σης τῷ προτέρῳ πνεύματα, μάλιστα δ' ὅταν νότος ἀντιπνεύσῃ· ἀντιπνέοντα γὰρ ἀλλήλοις τὰ ῥεύματα παρεκθλίβεται ὥσπερ ἐν τοῖς ποταμοῖς, καὶ γίνονται αἱ δῖναι. Φέρεται δὲ ἑλιττομένη ἡ ἀρχὴ τῆς κινήσεως ἄνωθεν ἰσχυρὰ οὖσα. Ἐπεὶ οὖν εἰς πλάγιον οὐκ ἔστιν ὁρμᾶν (ἀντωθεῖται γὰρ ὑπ' ἀλλήλων), ἀνάγκη εἰς βάθος ὠθεῖσθαι, ὥστε καὶ ὃ ἂν ληφθῇ ὑπὸ τῆς δίνης, ἀνάγκη συγκαταφέρεσθαι· διὸ ἀνάσιμα τὰ πλοῖα ποιοῦνται· ἤδη γὰρ ὀρθόν ποτε μνημονεύεται καταποθέν.

6. Διὰ τί ἡ θάλαττα λευκοτέρα ἡ ἐν τῷ Πόντῳ ἢ ἡ ἐν τῷ Αἰγαίῳ; Πότερον διὰ τὴν ἀνάκλασιν τῆς ὄψεως τὴν γινομένην ἀπὸ τῆς θαλάττης εἰς τὸν ἀέρα; ὁ μὲν γὰρ περὶ τὸν Πόντον ἀὴρ παχὺς καὶ λευκός, ὥστε καὶ τῆς θαλάττης ἡ ἐπιφάνεια τοιαύτη φαίνεται, ὁ δ' ἐν τῷ Αἰγαίῳ κυανοῦς διὰ τὸ μέχρι πόρρω εἶναι καθαρός, ὥστε καὶ ἡ θάλαττα ἀνταυγοῦσα τοιαύτη φαίνεται. Ἢ ὅτι πᾶσαι αἱ λίμναι λευκότεραι τῆς θαλάττης, ὁ δὲ Πόντος ἐστὶ λιμνώδης διὰ τὸ πολλοὺς ποταμοὺς εἰς αὐτὸν ῥεῖν; αἱ δὲ λίμναι διαλευκότεραι τῆς θαλάττης καὶ τῶν ποταμῶν· γράφουσι γοῦν οἱ γραφεῖς τοὺς μὲν ποταμοὺς ὠχρούς, τὴν δὲ θάλατταν κυανέαν. Ἢ ὅτι διὰ μὲν τοῦ ποτίμου διέρχεται ταχὺ ἡ ὄψις, καὶ οὐκ ἀνακλᾶται πρὸς τὸν ἀέρα, ἀπὸ δὲ τῆς θαλάσσης [οὐ], οὔτ' ἄνω ἀνακλᾶται διὰ τὸ μὴ λεῖον εἶναι τὸ ὕδωρ· κάτω δ' ἀποκάμνει βαδίζουσα; διὸ μέλαινα φαίνεται. Ἐν δὲ τοῖς λιμνώδεσιν ἐπιπολῆς ὄντος τοῦ ποτίμου, κάτω δὲ τοῦ ἁλμυροῦ, οὐ διέρχεται, ἀλλ' ἀνακλᾶται πρὸς τὴν αὐγήν· διὸ φαίνεται λευκὴ ἡ ἐπιφάνεια αὐτῆς.

7. Διὰ τί ἡ θάλαττα τοῦ ποτίμου ὕδατος ἧττον ψυχρά, καὶ τὰ ἁλυκὰ τῶν γλυκέων; Πότερον ὅτι πυκνότερον ἡ θάλαττα καὶ μᾶλλον σῶμα, τὰ δὲ τοιαῦτα ἧττον ψύχεται, ὥσπερ καὶ θερμαίνεται μᾶλλον; σωστικωτέρα γὰρ τοῦ θερμοῦ διὰ τὴν πυκνότητα. Ἢ ὅτι λιπαρωτέρα ἡ θάλαττα; διὸ καὶ οὐ σβέννυσι τὴν φλόγα. Ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων· τὸ δὲ λιπαρώτερον θερμότερον. Ἢ ὅτι γῆς πολὺ ἔχει, ὥστε ξηρότερον; τὸ δὲ ξηρότερον θερμότερον.

8. Διὰ τί ἡ θάλαττα εὐδιοπτοτέρα τοῦ ποτίμου, παχυτέρα οὖσα; λεπτότερον γὰρ τὸ πότιμον τοῦ ἁλμυροῦ. Ἢ οὐ τὸ λεπτὸν αἴτιον, ἀλλ' εὐθυωρίαι τῶν πόρων πλεῖσται καὶ μέγισταί εἰσιν; Τὸ μὲν οὖν πότιμον πυκνὸν διὰ λεπτομέρειάν ἐστι, τὸ δ' ἁλμυρὸν μεγάλα ἔχει τὰ διάκενα. Ἢ ὅτι καθαρώτερον ἡ θάλαττα; γῆ μὲν γὰρ οὐκ ἔστιν, ἡ δ' ἄμμος βαρεῖα οὖσα ὑφίσταται· τὰ δὲ πότιμα γεώδη· αὐτὴ δ' ἐν τῷ μεταξὺ φερομένη ἀναθολοῦται ταχύ.

9. Διὰ τί ἐν τοῖς βορείοις εὐδιοπτοτέρα ἡ θάλαττα ἢ ἐν τοῖς νοτίοις; Ἢ ὅτι ἐν τῇ γαλήνῃ χρῶμα ἔχει ἡ θάλαττα; λιπαρὸν γὰρ ἔνεστιν ἐν τῷ ἁλμυρῷ χυμῷ. Σημεῖον δέ· ἐκκρίνεται γὰρ ἔλαιον ἐν ταῖς ἁλέαις.

verso, maximeque uo. auster reflaverit : ubi enim undæ sibi invicem ex adverso flant, ad latera extruduntur, ut in fluminibus fit, atque oriuntur vortices. Principium autem motus, quippe superne validum, volvendo fertur. Igitur quum undis latera petere non liceat (impulsu namque repelluntur mutuo), compelli ad fundum necessarium est, ita ut id quoque deferri eodem una cogatur, quodcumque vortex comprehenderit. Eademque causa est, cur repanda construantur navigia : jam enim rectum aliquando absorptum esse memoriæ proditur.

6. Cur mare in Ponto candidius quam in Ægæo est? Utrum propter visus refractionem factam de mari in aerem? est enim aer circa Pontum crassus et albidus, ita ut etiam maris superficies talis cernatur; in Ægæo vero cœruleus, quoniam ad longinquum usque spatium purus est : quocirca mare quoque relucens talis adparet. An quod lacus omnes quam mare candidiores sunt, Pontus autem in lacus speciem transit, eo quod multi in eum fluvii influunt? lacus enim magis quam mare et fluvii albo interstincti sunt : unde pictores flumina quidem pallida, mare vero cœruleum pingunt. An quia per aquam potulentam quidem visus cito permeat, neque ad aerem reflectitur; a mari autem sursum quoque non reflectitur, quoniam lævis aqua non est, deorsum vero progrediens fatiscit? quapropter nigrum esse videtur. In maris tandem partibus quæ lacum simulant, quum aqua potulenta superficiem tenet, salsa vero fundum, visus non permeat, sed ad lucem reflectitur: quapropter alba adparet ejus superficies.

7. Cur mare minus quam aqua potulenta frigidum est, itemque salsæ minus quam dulces? Utrum quod mare spissius et corpulentius est, hujusmodi autem res minus refrigerantur, sicut etiam amplius incalescunt, quippe quæ calorem ob densitatem melius retinent? An quia mare pinguius est? quocirca et flammam non exstinguit. Idem quoque in ceteris rebus evenit : calidius enim quod pinguius est. An quoniam multum terræ continet, ita ut siccius sit? quod enim siccius, id calidius est.

8. Cur mare melius perspicitur quam aqua potulenta, etiamsi crassius sit? potulenta enim salsa tenuior est. An tenuitas causa non est, sed rectitudo meatuum plurimorum atque amplissimorum? Potulenta itaque spissa propter tenuitatem suarum partium est, salsa vero ampla continet interstitia inania. An quia purius est mare? terra enim nulla in eo inest, arena vero suo pondere subsidit; at aquæ potulentæ terrosæ sunt, ipsumque mare inter terras decurrens cito turbatur.

9. Cur aquiloniis tempestatibus melius perspicitur mare quam austrinis? An quia mare per tranquillitatem colore præditum est? inest enim aliquid pinguis in succo salso. Indicium autem est, quod per sudum oleum quoddam

Εὐδίας οὖν οὔσης καὶ ἀλεεινοτέρας τῆς θαλάττης, διὰ κουφότητα ἐπανθεῖ ἄνω ὁ τοιοῦτος χυμός. Τοῖς δὲ βορείοις ἧττον διὰ τὸ ψῦχος· ἔστι δὲ τὸ ὕδωρ εὐδιοπτότερον τοῦ ἐλαίου· τὸ γὰρ ἔλαιον χρῶμα ἔχει, τὸ δ' ὕδωρ ἄχροον παρεμφαινόμενον σαφεστέραν ποιεῖ τὴν ἔμφασιν.

10. Διὰ τί λουσάμενοι τῇ θαλάττῃ θᾶττον ξηραίνονται, βαρυτέρᾳ οὔσῃ τῶν ποτίμων; Ἢ ὅτι παχυτέρα καὶ γεώδης ἡ θάλαττα; Ὀλίγον οὖν ἔχουσα τὸ ὑγρὸν ξηραίνεται θᾶττον.

11. Διὰ τί τὰ κύματα ἀνεμώδη; Ἢ ὅτι σημεῖά ἐστι πνεύματος ἐσομένου; ἔστι γὰρ τὸ πνεῦμα σύνωσις ἀέρος. Ἢ διὰ τὸ ἀεὶ προωθεῖσθαι γίνεται; προωθεῖ δ' οὐ συνεχές πω ὂν τὸ πνεῦμα, ἀλλ' ἀρχόμενον. Τὸ μὲν δὴ πρῶτον ὥσπερ προεμαράνθη, ἄλλο δὲ τοῦτο προέωσε καὶ ἄλλην πυκνότητα ἤγαγεν καὶ ἀπεμαράνθη· ὥστε δῆλον, ὅταν ἤδη τὸ προωθούμενον παρῇ, ὅτι ἥξει καὶ τὸ κινοῦν· ἀρχόμενον γὰρ τοῦτο ποιεῖ.

12. Διὰ τί τὸ κῦμα προεκπίπτει τοῦ πνεύματος; Ἢ ὅτι οὐχ ἅμα παύεται τὸ πνεῦμα [τὸ] πνέον καὶ ἡ θάλαττα κυμαίνουσα, ἀλλ' ὕστερον ἡ θάλαττα, ἐνδέχεται τὸ κινῆσαν πνεῦμα φθαρῆναι πρὸ τοῦ γενέσθαι αἰσθητόν, ὥστ' οὐ πρότερον τὸ κῦμα πνεύματος, ἀλλὰ τὸ μὲν λανθάνει, τὸ δ' οὔ; Ἢ οὐχὶ τὰ πνεύματα ἅμα πανταχοῦ πνεῖ, ἀλλ' ὅθεν ἡ ἀρχὴ πρότερον; ἅμα δὲ πνεῖ καὶ τὴν πλησίον θάλατταν κινεῖ, αὕτη δὲ τὴν ἐχομένην, καὶ οὕτως ἂν ἐνδέχοιτο πρότερον τὸ κῦμα ἐκπίπτειν· ὑπὸ γὰρ τῆς θαλάσσης, καὶ οὐχ ὑπὸ τοῦ πνεύματος, ἡ κίνησις ἡ θάττων τοῦ ἀέρος, ἢ τῆς θαλάττης.

13. Διὰ τί ἐν τῇ θαλάττῃ μᾶλλον νεῖν δύνανται ἢ ἐν τοῖς ποταμοῖς; Ἢ ὅτι ὁ νέων ἀεὶ ἐπιστηριζόμενος ἐν τῷ ὕδατι νεῖ, ἐν δὲ τῷ σωματωδεστέρῳ μᾶλλον ἀποστηρίζεσθαι δυνάμεθα, σωματωδέστερον δ' ἐστὶ τὸ θαλάττιον ὕδωρ τοῦ ποταμίου; παχύτερον γάρ ἐστι καὶ μᾶλλον ἀντερείδειν δυνάμενον.

14. Διὰ τί ποτε ἐν τῇ θαλάττῃ πλείω χρόνον διατελεῖν δύνανται ἢ ἐν τῷ ποταμῷ; Ἢ διότι τὸ ποτάμιον ὕδωρ λεπτόν ἐστιν; Μᾶλλον οὖν παρεισδυόμενον πνίγει.

15. Διὰ τί ἡ μὲν θάλαττα κάεται, τὸ δ' ὕδωρ οὔ; Ἢ κάεται μὲν κἀκεῖνο, ἡ δὲ θάλαττα ἧττον σβέννυσι τὸ πῦρ διὰ τὸ λιπαρωτέρα εἶναι; Σημεῖον δ' ὅτι λιπαρωτέρα· ἀπὸ γὰρ τῶν ἁλῶν ἔλαιον ἀφαιρεῖται. Ἢ καὶ ἧττον δύνανται οἱ πόροι ἁρμόττειν τῷ πυρὶ διὰ τὸ παχύτεροι εἶναι, καὶ μᾶλλόν γε δή, ἅτε καὶ τῶν ἁλῶν ἐνυπαρχόντων; Ὥσπερ οὖν τὸ ξηρὸν τοῦ ὑγροῦ ἧττον σβεστικόν, καὶ τὸ ξηρὸν μᾶλλον κατὰ λόγον καυστικόν ἐστι, καὶ ἕτερον ἑτέρου μᾶλλον τῷ ἐγγυτέρω τοῦ θερμοῦ εἶναι, τὸ ξηρότερον δὲ τῇ θαλάττῃ· ἄμφω δὲ ταῦτα μᾶλλον ὑπάρχει.

secernitur. Ergo ubi tempestas serena tepidiusque mare est, succus hujusmodi sua levitate superne efflorescit. Quod aquilonils tempestatibus minus fit propter frigus; est autem aqua translucidior quam oleum : id enim colore præditum est; aqua vero, utpote coloris expers, imagini sese admiscens eam clariorem reddit.

10. Qua de causa qui mari se laverint, ocius resiccantur, etiamsi mare gravius sit quam aquæ potulentæ? An quia crassius et terrosum est mare? Ergo quum parum humoris contineat, cito siccatur.

11. Cur fluctus ventosi sunt? An quia flatus futuri indices sunt? flatus enim compulsus aeris est. An ideo fit quia perpetuo propellitur? propellit autem flatus, ubi nondum continuus est, sed inchoat tantummodo. Primus igitur quasi emarcuit, mox autem hunc alter propellit, factaque altera densitate elanguit : quare ubi unda propulsa jam adest, propellentem quoque venturum esse palam fit: facit enim id ipsum ubi incipit.

12. Cur fluctus ante flatum prorumpit? An quia non simul ventus flare desistit et mare fluctuare, sed mare serius, ideo fieri potest ut qui moverit, flatus ante obcidat quam sensui patefiat, ita ut non fluctus flatum præcedat, sed hic quidem lateat, ille vero non? An flatus non ubique simul spirant, sed primum unde originem petunt? simul autem spirant et mare sibi proximum movent, hoc vero insequens, atque ita fieri poterit ut fluctus prius prorumpat : motus enim velocior aeris, vel maris, a mari, non a flatu provenit.

13. Cur in mari melius quam in fluviis natare possunt? An quod qui natat, semper aquæ adnitendo natat, adniti autem firmius ad id possumus, quod corpulentius est, aquaque marina fluviali corpulentior est? crassior enim et ad renitendum validior est.

14. Cur tandem in mari plus temporis valent tolerare quam in fluvio? An quia fluvialis aqua tenuis est? Magis igitur subiens strangulat.

15. Cur mare quidem deuritur, aqua vero non? An et aqua deuritur, sed mare minus ignem exstinguit, quoniam pinguius est? Id vero pinguius esse eo probatur quod e sale depromitur oleum. An etiam meatus maris minus adaptari possunt igni, quia crassiores sunt, idque eo magis, quum sal insit? Ut igitur quod siccum est, minus exstinguere quam quod humidum potest, ita etiam quod amplius siccum est, pro portione urere valet, et alterum magis altero, quo propius ad calorem accedit; mari autem major siccitas inest: ei igitur isthæc ambo insunt plenius.

16. Διὰ τί ἀπὸ μὲν τῆς θαλάττης οὐκ ἀποπνεῖ ἕωθεν ψυχρόν, ἀπὸ δὲ τῶν ποταμῶν; Ἢ ὅτι ἡ μὲν θάλαττά ἐστιν ἐν ἀναπεπταμένοις τόποις, οἱ δὲ ποταμοὶ ἐν στενοῖς; Ἡ μὲν οὖν ἀπὸ τῆς θαλάττης αὔρα εἰς πολὺν τόπον σχίδναται, ὥστ' εἶναι ἀσθενής, ἡ δ' ἀπὸ τῶν ποταμῶν ἀθρόως φέρεται καὶ μᾶλλον ἰσχύει· διὸ μᾶλλον εἰκότως φαίνεται ψυχρά. Ἢ οὐ τοῦτό ἐστιν αἴτιον, ἀλλ' οἱ μὲν ποταμοὶ ψυχροί εἰσιν, ἡ δὲ θάλαττα οὔτε θερμή, οὔτε ψυχρά; γίνεται δ' ἡ αὔρα καὶ ἡ ἀναπνοὴ θερμαινομένων, ἢ ψυχομένων τῶν ὑγρῶν· ὁπότερον γὰρ ἂν τούτων πάσχῃ, ἐξαεροῦται, ἐξαερουμένου δὲ τοῦ ὕδατος ὁ ἀὴρ ὁ γινόμενος φέρεται, ὅ ἐστιν αὔρα. Τὸ μὲν οὖν ἀπὸ τῶν ψυχρῶν ψυχρὸν εἰκότως ἀποπνεῖ, τὸ δ' ἀπὸ τῶν σφόδρα θερμῶν ἀποπνέον ψύχεται καὶ γίνεται ψυχρόν. Τοὺς μὲν οὖν ποταμοὺς ψυχροὺς ἅπαντας εὕροι τις ἄν, ἡ δὲ θάλαττα οὔτε ψυχρά, οὔτε θερμὴ σφόδρα ἐστίν. Οὔτ' οὖν τὸ ἀποπνέον ψυχρὸν ἀπ' αὐτῆς ἐστι, διὰ τὸ μὴ ψυχρὰν εἶναι, οὔτε ψύχεται ταχύ, διὰ τὸ μὴ θερμὴν εἶναι σφόδρα.

16. Quam ob causam de mari quidem mane aura frigida non spirat, de fluminibus vero spirat? An quoniam mare quidem in locis patulis situm est, flumina vero in angustis? Aura igitur maris in spatium dispergitur amplum ita ut reddatur imbecillis, fluminum autem confertim meat ampliusque valet: hinc frigidior merito adparet. An causa non in eo est, sed flumina quidem frigida sunt, mare vero nec calidum, neque frigidum est? fit enim aura et respiratio humore vel calescente, vel frigescente: utrum enim ex his passus fuerit, humor in aerem convertitur: quod si fiat, aer inde ortus procurrit, idque aura est. Quæ igitur a frigidis proficiscitur aura, frigida merito spirat; quæ vero a valde calidis, refrigeratur frigidaque fit. Fluvios igitur frigidos reperies omnes, mare autem neque frigidum, nec calidum valde est. Itaque nec frigidum est quod ab eo spirat, quia mare frigidum non est, nec cito refrigeratur, quia valde calidum non est.

17. Διὰ τί ἐν τοῖς μείζοσι πελάγεσι βραδύτερον καθίσταται κύματα ἢ ἐν τοῖς βραχέσιν; Ἢ ὅτι ἐκ τῆς πολλῆς κινήσεως βραδύτερον καθίσταται πᾶν ἢ ἐκ τῆς ὀλίγης; ἐν δὲ τοῖς μεγάλοις πελάγεσι πλείων ἡ ἄμπωτις γίνεται ἢ ἐν τοῖς βραχέσιν. Οὐθὲν οὖν ἄλογον τὸ πλεῖον βραδύτερον καθίστασθαι.

17. Cur fluctus in majoribus pelagis tardius sedantur quam in brevibus? An quia res omnis tardius post motum copiosum quam post paucum ad pristinam conditionem redit? æstus enim in magnis pelagis amplior fit quam in parvis. Haudquaquam ergo rationi repugnat, si res copiosior tardius componatur.

18. Διὰ τί τὸ ἁλμυρὸν ὕδωρ ψυχρὸν μὲν οὐ πότιμον, θερμαινόμενον δὲ μᾶλλον γίνεται πότιμον, καὶ θερμὸν δ' ὂν καὶ ἀποψυχόμενον; Ἢ διότι εἰς τὸ ἐναντίον ἀπὸ τοῦ ἐναντίου πέφυκε μεταβάλλειν; ἔστι δὲ τὸ πότιμον τῷ ἁλμυρῷ ἀντικείμενον. Καὶ θερμαινομένου μὲν ἀφέψεται τὸ ἁλμυρόν, ψυχομένου δ' ὑφίσταται.

18. Cur aqua salsa frigida quidem potulenta non est, calfacta vero magis fit potulenta, sive calida, seu refrigerata bibatur? An propterea quod de contrario in contrarium res quæque mutari solita est? aqua enim potulenta salsæ obposita est. Tum ubi calescit quidem, portio salsa decoquitur, ubi vero refrigeratur, subsidit.

19. Διὰ τί τὰ πρὸς τῇ θαλάττῃ, ὡς ἐπὶ τὸ πολύ, ὕδατα γλυκέα [ὕδατα], ἀλλ' οὐχ ἁλμυρά; Ἢ διὰ τὸ ποτιμώτερα διηθούμενα γίνεσθαι, διηθεῖται δὲ τὸ ἐγγύτερον τῆς θαλάττης μᾶλλον;

19. Cur aquæ sitæ propter mare dulces magna ex parte sunt, non vero salsæ? An quia percolatæ potui aptiores redduntur, percolatur autem melius quæ mari propior est?

20. Διὰ τί τὸ ἁλμυρὸν ὕδωρ οὐκ ἀπόρρυτόν ἐστιν; Ἢ διότι τὸ μὲν βαρὺ στάσιμον, τὸ δ' ἁλμυρὸν βαρύ; διὸ καὶ τὰ θερμὰ μόνα τῶν ἁλμυρῶν ὑδάτων ἀπόρρυτά ἐστιν· ἔχει γὰρ κουφότητα ἐν αὑτοῖς, ἣ κρατεῖ τῆς κατὰ τὴν ἁλμυρίδα βαρύτητος· τὸ γὰρ θερμὸν κουφότερόν ἐστιν. Ἔτι τὰ μὲν ἀπόρρυτα διηθεῖται διὰ τῆς γῆς· ἠθουμένων δ' ἀεὶ μάλιστα ὑφίσταται τὸ παχύτατον καὶ βαρύτατον, ἐκκρίνεται δὲ τὸ κοῦφον καὶ καθαρόν· ἔστι γὰρ τὸ μὲν ἁλμυρὸν βαρύ, τὸ δὲ γλυκὺ κοῦφον· διόπερ ἐστὶ γλυκέα τὰ ἀπόρρυτα. Τὸ δ' αὐτὸ αἴτιόν ἐστι καὶ διὰ τί τὸ ἁλμυρὸν ὕδωρ κινούμενον καὶ μεταβάλλον γλυκύτερον γίνεται· κουφότερον γὰρ καὶ ἀσθενέστερον διὰ τὴν κίνησιν γίνεται.

20. Cur aqua salsa deflua non est? An quia gravis quidem aqua stagnat, salsa autem gravis est? quapropter et calidæ tantummodo ex salsis defluæ sunt: habent enim levitatem intra se, quæ pondus salsuginis superat: calidum namque levius est. Adde quod aquæ profluentes per terram percolantur; dum autem percolantur, quantum crassissimum et gravissimum est, id semper magis magisque subsidit; quantum vero leve atque purum, secernitur: salsum enim grave, dulce vero leve est: hinc dulces defluæ sunt. Hoc idem quoque causa est, cur aqua salsa, ubi movetur transferturque, dulcior fiat: motu enim levior atque debilior redditur.

21. Διὰ τί ἐν τῇ Λιβύῃ ἐὰν ὀρύξῃ τις παρὰ τὴν θάλατταν, τὸ πρῶτον πότιμον, εἶθ' ἁλμυρὸν γίνεται ταχύ, ἐν δὲ τοῖς ἄλλοις τόποις ἧττον ποιεῖ τοῦτο; Πότερον

21. Cur, si quis in Africa propter mare foderit, aqua principio dulcis, post brevi salsa prodit, dum ceteris in locis minus id evenit? Utrum quia prima quidem aqua in

ὅτι τὸ μὲν πρῶτον το ὑπάρχον ὕδωρ ἐν τῷ τόπῳ καὶ τὸ πεπεμμένον ὑπὸ τῆς γῆς ἐστιν, ὅταν δὲ χρονισθῇ, ἡ θάλαττα προσδιηθουμένη διὰ τὸ πρόσφατον εἶναι ποιεῖ ἁλμυρώτερον· ἐν δὲ τοῖς ἄλλοις ἢ οὐκ ἔχει, ἢ πολὺ ὕδωρ διὰ τὸ μὴ ξηραίνεσθαι τὸν τόπον;

loco ipso præsto jam erat concoctaque sub terra est; sin vero persliterit, mare percolando additum, quippe recens, aquam reddit salsiorem; ceteris autem locis aqua vel nulla est, vel plurima, quia nempe locus non dessiccatur?

22. Διὰ τί τοὺς ἅλας θᾶττον τήκει τὸ ἁλμυρὸν ὕδωρ ἢ τὸ πότιμον; Ἢ διότι τὸ μὲν τήκεσθαί ἐστι τὸ ὑπὸ τοῦ ὑγροῦ θερμοῦ εἰσιόντος διαιρεῖσθαι, ὥσθ' ὑγρὸν εἶναι, οὐ τήκει δὲ ἢ τὰ ὅλως μὴ δυνάμενα εἰσιέναι, ἢ τὰ οὕτως ὥστε μὴ θιγγάνειν· μόλις δὲ τήκει τὰ ῥᾳδίως διεξιόντα· τὰ δ' ἐπιόντα βιαζόμενα, ταῦτα τάχιστα διαιρεῖ; Οὐκ εἰσέρχεται δὲ τὰ λίαν μεγαλομερῆ· ὑπερέχει γὰρ τῶν πόρων· τὰ δὲ μικρομερέστερα διέρχεται οὐ ψαυόμενα. Ἔστι δὲ τὸ μὲν πότιμον λεπτόν, τὸ δ' ἁλμυρὸν παχύτερον· ὥστε τὸ μὲν ῥᾳδίως διὰ τὴν λεπτότητα διαδῦνον μόλις τήκει, τὸ δ' εἰσέρχεται μέν, ἧττον δέ, καὶ διὰ τὸ μεγαλομερέστερον εἶναι διαιρεῖ καὶ βιάζεται θᾶττον.

22. Cur sal liquat ocius aqua salsa quam potulenta? An quod liquatio eo constat ut ab humore, calore subeunte, fiat divisio, ita ut liquidum sit, non liquant autem tum quæ subire omnino non possunt, tum quæ ita subeunt ut non tangant; vix vero illa eliquant quæ facile transmeant; contra celerrime dirimunt quæ vi illata invadunt? Non subeunt autem quæ amplis admodum partibus constant, quippe quæ meatus excedunt; contra quæ minutioribus constant, transeunt sine tactione. Atqui potulenta quidem aqua tenuis, salsa vero crassior est, ita ut altera quidem sua tenuitate facile penetrans vix liquefaciat, altera vero subeat quidem, sed minus, atque propter suarum partium magnitudinem dirimat atque vim inferat celerius.

23. Διὰ τί τὸ ὕδωρ ἧττον φαίνεται λευκόν, ἐὰν κινῆται, οἷον καὶ ἡ φρίκη; διὸ καὶ Ὅμηρος ἀρχομένου φησὶ τοῦ πνεύματος (Ἰλ. η, 64)·

μελάνει δέ τε πόντος ὑπ' αὐτῆς.

Ἢ διὰ δύο αἰτίας, ἐγγύθεν μὲν τῆς ὄψεως οὔσης, διὰ τὸ διιέναι τὴν ὄψιν μᾶλλον ἠρεμοῦντος, κινουμένου δὲ μὴ εὐθυπορεῖν· τὸ δὲ διαφανὲς λευκὸν φαίνεται· δι' οὗ γὰρ μὴ διέρχεται ἡ ὄψις, μέλαν φησὶν εἶναι· διὸ καὶ ὁ ἀὴρ πόρρωθεν μέλας φαίνεται, ὁ δ' ἐγγὺς λευκός, καὶ θαλάττης τὸ μὲν ἐγγὺς λευκόν, τὸ δὲ πόρρωθεν κυανοῦν καὶ μέλαν· πόρρωθεν δέ, κινουμένης πως τῆς ὄψεως, καὶ τῷ διανακλᾶσθαι ἀθρόον τὴν ὄψιν, ἐὰν ἠρεμῇ, πρὸς τὸ φῶς, κινουμένου δὲ μὴ δύνασθαι;

23. Cur aqua minus candida adparet, si moveatur, ut in maris horrore fit? unde Homerus flatu oriente inquit:

et flatu nigrescit pontus eodem.

An duabus de causis: si prope quidem est visus, quod visio magis transmeat aqua manente; ubi vero movetur, directo tramite non progreditur; candidum namque esse videtur quod perlucidum est: per quod enim visus non transit, id atrum esse adfirmat: quamobrem aer quoque niger e longinquo, candidus vero qui propior est, adparet, et maris quod prope quidem adest, candidum, quod vero procul, cæruleum et nigrum; e longinquo vero, quando visus quodammodo movetur, causa etiam est quod confertim ad lucem reflectitur, ubi quiescit: quod fieri nequit, ubi movetur?

24. Διὰ τί ἐν τοῖς βαθέσι πελάγεσι τὸ κῦμα οὐκ ἐπιγελᾷ, ἀλλ' ἐν τοῖς μικροῖς; Πότερον ὅτι τὸ μικρὸν φερόμενον ὕδωρ διαιρεῖται ὑπὸ τοῦ ἀέρος μᾶλλον ἢ τὸ πολύ; διὸ θραύεται πατάξαν μᾶλλον. Ἐν μὲν οὖν τῷ βαθεῖ πολὺ τὸ κινούμενον, ἐν δὲ τῷ βραχεῖ ὀλίγον.

24. Cur fluctus in altis pelagis non subrident, sed in parvis? Utrum quoniam aqua pauca ubi movetur, ab aere magis dividitur quam multa? propterea illidens facilius frangitur. Atqui in alto multum, in brevi vero parum est quod movetur.

25. Διὰ τί οἱ πρὸς νότον τόποι ἁλυκώτερα τὰ ὕδατα ἔχουσιν; Ἢ διὰ τὸ τὴν θάλατταν ὑπὸ νότου ὠθεῖσθαι ὑπὸ τὴν γῆν κεράννυται;

25. Cur loca austrum versus spectantia aquas continent salsiores? An remiscetur propterea quod mare ab austro sub terram pellitur?

26. Διὰ τί τῶν ὑδάτων τὸ ἁλμυρὸν ἐπὶ τῷ γλυκεῖ οἴνῳ μᾶλλον ἐπιπολάζει ἢ ἐπὶ τῷ αὐστηρῷ; Πότερον ὅτι μᾶλλον ἔχει γῆν ὁ γλυκύς, ὥσπερ ἡ ἀσταφίς; Ἢ ὅτι βαρύτερος καὶ γλισχρότερος ὁ γλυκύς, ὥσθ' ἧττον μίγνυται, μὴ μιγνύμενον δ' ἐφίσταται;

26. Cur aqua salsa vino dulci magis quam austero supernatat? Utrum quod dulce plus terræ continet, sicuti uva passa? An quia gravius et lentius dulce est, ita ut minus misceatur; ubi vero non admiscetur, innatat aqua?

27. Διὰ τί ὅλως ἐφίσταται γεῶδες ὄν; ἡ γὰρ οἰκεία φορὰ κάτω. Πότερον ὅτι μᾶλλον ἔχει γῆν ὁ γλυκύς; Ἢ διὰ τὴν θερμότητα, καθάπερ οἱ ἅλες; ὅμοιον γὰρ ἐξανθήματι. Ἢ δι' ἄλλην αἰτίαν; εἰ γὰρ οὐ διὰ τοῦτο, καὶ ἐπὶ τῷ γλυκεῖ μᾶλλον, οὐκ ἄλογον· θερμότατος γάρ.

27. Cur omnino innatat, etiamsi terrena sit? proprius namque hujus motus deorsum est. Utrum quod dulce plus terræ continet? An propter calorem modo salis? efflorescentiæ namque similis est. An alia de causa fit? nam si non propterea ita fiat, idque inprimis in vino dulci, rationi non repugnat: calidissimum enim est.

28. Διὰ τί τὰ κύματα πρότερον φοιτᾷ ἐνίοτε τῶν ἀνέμων; Ἢ διότι καὶ τελευτᾷ ὕστερον; τὸ γὰρ πρῶτον πνεῦμα ὡσανεὶ προδιαλύεται τοῦ ὠσθέντος κύματος· ἀφικνεῖται δ' οὐχ αὐτὸ τὸ πρῶτον ὠσθέν, ἀλλ' ἀεὶ ἡ ὦσις γίνεται τοῦ ἐχομένου.

29. Διὰ τί αἱ κυματωδέστεραι γαῖ στερραὶ γίνονται πολλάκις οὕτω σφόδρα ὥσπερ ἠδαφισμέναι, καὶ ἡ μὲν κυματώδης γῆ στερρά, ἡ δ' ἄποθεν χαῦνος; Ἢ διότι ἡ μικρὰ ἄμμος οὐ πόρρωθεν ἐκβάλλεται ὑπὸ τοῦ κύματος, ἀλλ' ἡ μείζων μᾶλλον, ὥσπερ καὶ τῇ χειρὶ βάλλειν πόρρω οὐ τὸ ἐλάχιστον μάλιστα δυνατόν; Ἔπειτα πολλῶν κυκωμένων τὰ ἐλάχιστα ἐμπίπτοντα πυκνοῖ. Ἡ δὲ τοῦ κύματος λωφῶντος κίνησις ἐδαφίζει, κινεῖ δ' οὐκέτι. Διὰ μὲν οὖν τὸ τὰ μικρότατα μὴ πόρρω δύνασθαι πηδᾶν, ἐκ μικρῶν σφόδρα συντέθειται· διὰ δὲ τὸ πολλάκις κινεῖσθαι συνεχὲς γίνεται πιπτούσης ἄμμου, ἕως ἂν συναρμόσῃ· διὰ δὲ τὸ κῦμα τὸ τελευταῖον ἐδαφίζεται, καὶ τὸ ἠρέμα ὑγρὸν συγκολλᾷ· ἡ δὲ πόρρω ξηρά τε οὖσα διίσταται, καὶ ἐκ μειζόνων ἐστὶ λιθιδίων καὶ ἀνεδάφιστος.

30. Διὰ τί τῆς θαλάσσης τὰ ἄνω τῶν ἐν τῷ βάθει ἁλμυρώτερα καὶ θερμότερα; Ὁμοίως δὲ καὶ ἐν τοῖς φρέασι τοῖς ποτίμοις τὸ ἐπιπολῆς ἁλμυρώτερον τοῦ εἰς βάθος, καίτοι ἔδει τὸ κατωτέρω· βαρύτερον γὰρ τὸ ἁλμυρόν. Ἢ διότι ὁ ἥλιος καὶ ὁ ἀὴρ ἀνάγει ἀεὶ τὸ ἐλαφρότατον ἀπὸ τῶν ὑγρῶν; τὸ δὲ ποτιμώτερον ἀεὶ κουφότερον, μᾶλλον δ' ἀπάγει ἀπὸ τῶν ἐγγυτέρω τόπων, ὥστε καὶ τῆς θαλάττης ἀπὸ τῶν ἐπιπολῆς, καὶ τῶν ποτίμων ἀνάγκη τὸ λειπόμενον ἁλμυρώτερον εἶναι, ἀφ' ὧν ἀνῆκται ἢ ἀφ' ὧν μηθέν, ἢ ἔλαττον τὸ γλυκύ. Διὰ τοῦτο δὲ καὶ θερμότερα τὰ ἄνω· τὸ γὰρ ἁλμυρὸν θερμότερον τοῦ ποτίμου· διὸ καί φασί τινες τῶν ἡρακλειτιζόντων ἐκ μὲν τοῦ ποτίμου ξηραινομένου καὶ πηγνυμένου λίθους γίνεσθαι καὶ γῆν, ἐκ δὲ τῆς θαλάττης τὸν ἥλιον ἀναθυμιᾶσθαι.

31. Διὰ τί τῆς θαλάττης τὰ πρὸς τῇ γῇ γλυκύτερά ἐστιν; Ἢ διότι ἐν τῇ κινήσει μᾶλλόν ἐστιν; κινούμενον δὲ τὸ ἁλμυρὸν γλυκύτερον γίνεται. Ἢ ὅτι καὶ ἐν τῷ βάθει ἁλμυρώτερόν ἐστι τὸ ὕδωρ, τὰ δὲ πρὸς τῇ γῇ ἧττόν ἐστι βαθέα; διὸ καὶ τἀγχιβαθῆ ἁλμυρά ἐστι, καὶ οὐχ ὁμοίως γλυκέα. Τούτου δ' αἴτιον ὅτι βαρὺ ὂν τὸ ἁλμυρὸν φέρεται μᾶλλον εἰς βάθος.

32. Διὰ τί ἡ θάλαττα μόνον τῶν ὑδάτων κάεται, τὰ δὲ πότιμα καὶ ποτάμια οὔ; Πότερον ὅτι γῆν πολλὴν ἔχει; δηλοῦσι δ' οἱ ἅλες. Ἢ διότι λιπαρά; δηλοῖ δὲ τὸ ἐν τοῖς ἅλασιν ἐφιστάμενον ἔλαιον.

33. Διὰ τί ἐν ταῖς λίμναις ἄμμος οὐ γίνεται, ἢ ἧττον ἢ ἐν τῇ θαλάττῃ καὶ τοῖς ποταμοῖς; Ἢ ὅτι ἐν τῇ θαλάττῃ πέτραι γίνονται, καὶ ἡ γῆ ἐκκέκαυται μάλιστα, ἡ δ' ἄμμος ἐστὶ πέτρα ἐψηγμένη εἰς μικρὰ καὶ ἐλάχιστα μόρια, ψήχεται δὲ διὰ τὴν πληγὴν τῶν κυμάτων·

28. Cur fluctus ante interdum veniunt quam venti? An quia etiam posterius desistunt? primus etenim flatus prius quasi dissolvitur quam fluctus quem impulit; devenit autem in terram non ea unda quæ prima impulsa est, sed semper impulsus ferit sequentem.

29. Cur littora fluctuosiora solida sæpe efficiuntur adeo ut quasi pavimenta videantur, atque fluctuosa quidem terra solida est, remota vero laxa? An propterea quod fluctus arenam non minutam, sed majusculam potius, procul ejiciunt, uti et manus non quod minimum est, id maxime longe jacere potest? Tum etiam, ubi multa remiscentur, minima densant incidentia. Fluctuum vero residentium motio in pavimentum convertit, sed non amplius movet. Ergo quoniam minima procul prosilire nequeunt, ex admodum parvis coagmentatur; quoniam vero motu frequenti agitantur, continuum redditur, arena incidente, donec coaptaverit; fluctibus tandem ultimis in pavimentum convertitur, et humor sensim irrorans conglutinat; at pars remota oræ dehiscit, utpote sicca, lapillisque constat majoribus, et in pavimentum non convertitur.

30. Cur superior pars maris salsior et calidior est quam quæ in fundo? In puteis quoque similiter potui idoneis superficies salsior est quam pars fundo propior, quamquam inferius debuisset: gravius enim quod salsum est. An quia sol et aer partem humorum levissimam adsidue educunt? quo magis enim potulenta est aqua, eo levior semper est, potiusque de propioribus locis hauriunt, ita ut e maris etiam superficie hauriant, atque quod ab aquis dulcibus restat, salsior necessario esse debeat, ea unde aliquid eductum est, magis quam quibus nihil, vel parum dulcedinis. Propterea calidiora quoque sunt superiora: salsum enim quam potulentum calidius est: quapropter nonnullis Heracliti sectatoribus placet ex aqua potulenta siccata concretaque lapides terramque fieri, e mari autem solem exhalari.

31. Cur maris pars terræ proxima dulcior est? An quia frequentius movetur? salsa enim aqua, ubi movetur, dulcior redditur. An quoniam aqua in profundo quoque salsior est, minus autem alta quæ proxima terræ est? quamobrem et quæ statim a terra præcipiti altitudine descendunt, salsa sunt, et non æque dulcia. Cujus rei causa est quod salsum suo pondere ad fundum potius defertur.

32. Cur mare solum omnium aquarum deuritur, aquæ vero potulentæ et fluviales non? Utrum quia multum continent terræ? quod salis argumento constat An quoniam pingue est? quod oleum demonstrat sali innatans.

33. Cur in lacubus arena fit vel nulla, vel paucior quam in mari et fluviis? An quia saxa in mari inveniuntur, et terra exusta maxime est, arena autem saxum est in parva minimaque fragmenta contritum, teritur autem ictu flu-

ἐν δὲ ταῖς λίμναις οὐ γίνονται ὁμοίως πέτραι καθαραί, οὐδὲ θραύονται ὁμοίως διὰ τὸ μὴ γίνεσθαι κύματα ὁμοίως· ἐν δὲ τοῖς ποταμοῖς μᾶλλον, ὅτι τὴν μὲν γῆν καταφέρουσι, τὰς δὲ πέτρας τῇ πληγῇ θραύουσιν;

tuum; at in lacubus saxa pura non æque inveniuntur, neque comminuuntur eodem modo, eo quod fluctus non pari modo excitantur; sed in fluviis potius, quoniam terram secum deferunt saxaque ictu comminuunt?

34. Διὰ τί, ὅταν ἡ λίμνη ἢ κοπάσῃ, ἢ ξηρὰ γένηται, ἀποκάεται ὁ σῖτος ἐν τῷ πεδίῳ μᾶλλον; Πότερον ὅτι τὸ ὑγρὸν τὸ ἐν τῇ λίμνῃ ἀπατμίζον τῇ ἀτμίδι θερμαίνει τὸν ἀέρα, ὥστ' ἐλάττους καὶ ἀσθενεστέρους ποιεῖ τοὺς πάγους ἢ ἐν τοῖς κοίλοις καὶ προσελώδεσι τόποις; Ἢ ἐκ τῆς γῆς, ὥσπερ λέγεται, τὰ ψύχη ἄρχεται καὶ λανθάνει εἰσδυόμενα; Ξηρᾶς οὖν οὔσης τῆς λίμνης, διὰ πλείονος τόπου ἡ ψυχρότης πλείων προσπίπτουσα πήγνυσι καὶ ἀποκάει μᾶλλον. Ἐν δὲ ταῖς τοιαύταις χώραις τὰ ψύχη κάτωθεν γίνεται, ὥσπερ καὶ δοκεῖ, καίτοι ἡ γῆ θερμὴ τοῦ χειμῶνος, ἀλλὰ διὰ τὸ ἔφυγρον εἶναι κατέψυκται τὸ ἐπιπολῆς θερμὸν τὸ ἐν τῇ γῇ· τὸ γὰρ ὑγρὸν οὔθ' οὕτω πόρρω ἐστὶν ὥστε μὴ ψύχεσθαι, διὰ τὴν ἐνοῦσαν θερμότητα ἐν τοῖς ὑγροῖς, οὔθ' οὕτως ὀλίγον ὥστε μηθὲν ἰσχύειν, διὰ τὸ διάβροχον εἶναι τὴν γῆν. Οἷον οὖν διὰ τὴν ψύξιν αὐτοῦ συμβαίνει ἐπὶ κρυστάλλου περιπατεῖν καὶ οἰκεῖν.

34. Quam ob causam, ubi lacus vel defecit, vel exsiccatus est, frumentum in campo acrius deuritur? Utrum quod humor lacus dum evaporatur, aerem suo vapore calefacit, ita ut minus atque imbecillius reddat gelu quam locis cavis et paludibus vicinis? An de terra, ut vulgo dicitur, frigus incipit et subit clanculum? Lacu igitur sicco, frigus vehementius per spatium amplius invadens congelat deuritque amplius. Locis autem hujusmodi frigora inferne adveniunt, quemadmodum et vulgo creditur, quamquam terra caleat tempore hiberno; verum quia uvida est, calor qui telluris superficiem tenet, refrigeratus est: humor enim nec adeo procul est ut non refrigeretur propter calorem qui in liquidis inest, nec adeo paucus ut omni vi careat, quia terra permadida est. Fit igitur propter ejus refrigerationem ut quasi super glacie et ambuletur et habitetur.

35. Διὰ τί ἡ θάλαττα ἁλμυρὰ καὶ πικρά ἐστιν; Ἢ ὅτι ἐν τῇ θαλάττῃ πλείους εἰσὶν οἱ χυμοί; καὶ γὰρ τὸ ἁλμυρὸν καὶ τὸ πικρὸν ἅμα φαίνεται.

35. Cur mare salsum et amarum est? An quia in mari plures exstant sapores, quippe quum salsum et amarum simul adparent?

36. Διὰ τί τὰ ἐν τῇ θαλάττῃ ὄστρακα καὶ λίθοι στρογγύλα γίνεται; Ἢ ὅτι ὁμοίως περιθραυόμενα τὰ ἔσχατα εἰς τὸ στρογγύλον σχῆμα ἔρχεται; τούτου γὰρ τὸ ἔσχατον ὅμοιον, ἡ δὲ θάλαττα πάντῃ κινοῦσα ὁμοίως περιθραύει.

36. Cur testæ et lapides in mari rotunda redduntur? An quia extrema pari modo circumfracta ad rotundam deveniunt speciem? hujus enim extrema similia sunt, mare autem quoquoversus agitando pariter circumundique frangit.

37. Διὰ τί ἐνιαχοῦ, ἐάν τις ὀρύξῃ παρὰ τὴν θάλατταν, τὸ μὲν πρῶτον πότιμόν ἐστιν ὕδωρ, εἶθ' ἁλμυρὸν γίνεται; Ἢ ὅτι αὐτῆς ἐστι τῆς θαλάττης τῆς διηθούσης ὑπὸ τὴν γῆν τὸ ὕδωρ; Εἰκότως οὖν τὸ πρῶτόν ἐστι γλυκύ· ἐλαφρότερον γάρ ἐστι τὸ γλυκὺ τοῦ ἁλμυροῦ, καὶ ἡ θάλαττα ἔχει τι τοῦ γλυκέος, ὃ μιχθὲν τῇ γῇ μᾶλλον ἐπιπολάζει· τὸ δ' ἁλμυρὸν διὰ τὸ βάρος καὶ διὰ τὸ τμητικὸν εἶναι κάτω φέρεται. Εἴτ' οὖν οὕτως, εἴτε κατὰ τὰς φλέβας ἐκ τῆς ἠπείρου ῥεῖ ἐπὶ τὴν θάλατταν τὸ γλυκὺ ὕδωρ, εἰκότως ἂν ἐπιπολῆς εἴη τῆς θαλάττης, ἢ μίγνυται αὐτῇ. Ἀνοιχθέντων δὲ τῶν πόρων, ὕστερον διὰ πλῆθος τὸ ἁλυκὸν κρατοῦν τοιοῦτο πᾶν ποιεῖ· συμβαίνει γὰρ πεφραγμένων τῶν ἄνω πόρων ἄλλην ὁδὸν ζητεῖν τὸ ἐπιρρέον· ἀνοιχθέντων δ' ἐνταῦθα πᾶν φέρεται, καθάπερ ἐπὶ τῶν τοῦ σώματος φλεβῶν.

37. Quamobrem nonnusquam, si quis circa mare infodiat, prima quidem aqua potulenta est, post vero salsa efficitur? An propterea quod a mari ipso provenit aquam sub terram colanti? Merito igitur prima dulcis est: levior enim dulcis quam salsa est, et mare dulcis aliquid humoris in se habet, quod terræ admistum potius superficiem petit; salsum vero, quoniam et grave est et aptum ad secandum, inferiora petit. Sive igitur ita fiat, sive per venas ex continente in mare dulcis fluat aqua, rationi non repugnat eam in maris quod ei admiscetur, superficie reperiri. Meatibus vero patefactis, postea humor salsus copia sua vincens sibi similem totam reddit aquam: adcidit enim ut superis obseptis meatibus, iter aliud quærat aqua adfluens; contra patefactis universa isthuc fertur, quo modo in corporis venis fit.

38. Διὰ τί ἡ θάλαττα οὖσα βαρυτέρα τοῦ ποτίμου ὕδατος μᾶλλόν ἐστιν εὐδίοπτος; Πότερον ὅτι λιπαρωτέρα; τὸ δ' ἔλαιον ἐπιχυθὲν ποιεῖ μᾶλλον εὐδίοπτον· ἔχουσα δ' ἐν αὐτῇ λίπος εἰκότως μᾶλλον εὐδίοπτός ἐστιν. Ἢ οὐχ ἅπαν τὸ ἐλαφρότερον καὶ εὐδιοπτότερον; αὐτὸ γὰρ τὸ ἔλαιον ἐλαφρότερον τοῦ ὕδατος, εὐδιοπτότερον δ' οὔ. Ἢ οὐκ εὐδιοπτότερόν ἐστιν, ἀλλὰ

38. Cur mare, etiamsi gravius quam aqua potulenta sit, facilius perspicitur? Utrum quia pinguius est? nam oleum adfusum id reddit perlucidius, meritoque quum intra se pinguis aliquid habeat, perlucidius est. An non quidvis, quo levius, eo perlucidius est? ipsum enim oleum aqua levius est, verum non perlucidius. An non perluci lius est,

φαίνεται; τὸ γὰρ πότιμον ὕδωρ ἀπὸ τῆς γῆς, ἢ ἀπὸ ῥευμάτων ἐστίν, ἡ δὲ πηγὴ συναφίησι μετὰ τοῦ ὕδατος καὶ γῆν, ὥστε τῷ μὴ καθαρὰ εἶναι τὰ ῥεύματα συγκατάγει τὴν γῆν καὶ ἰλύν. Αὕτη οὖν ἐστιν ἡ αἰτία τοῦ ἧττον εἶναι εὐδίοπτον.

sed esse videtur? nam quum aqua potulenta aut a terra, aut a fluxu proveniat, fons suam aquam non sine terra emittit, ita ut, quum fluxus puri non sint, tum terram, tum cœnum secum devehat. Causa igitur hæc est cur minus perlucida sit.

39. Διὰ τί οἱ νέοντες ἐν τῇ θαλάττῃ λαπαροὶ γίνονται; εἰ γὰρ ὅτι πονοῦσι, καὶ οἱ τροχαζόμενοι ἰσχυρὸν πονοῦσι πόνον καὶ οὐ λαπάττονται. Ἢ ὅτι οὐ πᾶς πόνος ποιεῖ λάπαξιν, ἀλλ' ὁ μὴ ποιῶν σύντηξιν; ἡ δ' ἐν τῇ θαλάττῃ διατριβὴ καὶ ὅλως δοκεῖ βρωτικωτέρους ποιεῖν καὶ λαπαρούς· θερμή τε γάρ ἐστι καὶ ξηρὰ ἡ ἀπ' αὐτῆς ἀτμίς.

39. Qua de causa eorum qui in mari natant, venter subducitur? quodsi enim hoc a labore penderet, objici posset, quod currentium, etiamsi vehementem exantlent laborem, venter non relaxatur. An quia ventrem subducit non omnis labor, sed solus qui nullam adfert colliquationem? mora enim in mari in universum tum edaciores reddere, tum ventrem relaxare videtur: nam vapor maris calidus et siccus est.

40. Διὰ τί Πᾶσα λίμνη πότιμος οὖσα πλύνει καὶ ῥύπτει τὰ ἱμάτια; πλύνει μὲν γὰρ τὸ γλυκύ, ῥύπτει δὲ τὸ πικρόν, ἅμα δ' οὐχ οἷόν τ' ἔχειν ταῦτα. Ἢ οὐ τῷ πικρὸν εἶναι οὐθὲν ῥύπτει, ἀλλ' ἡ γλισχρότης ῥυπτικόν; διὸ καὶ τὰ ἀκροκώλια καὶ ὅσα μυξώδη τοιαῦτα· ὥστε καὶ τῶν πικρῶν ὅσα τούτου μετέχει. Ἐν δὲ τῇ λίμνῃ ταύτῃ συμβέβηκε τοῦτο, ὥστε τῆς νιτρώδους δυνάμεως τὸ μὲν πικρὸν ἐκκεκαῦσθαι, ἐμμένειν δὲ τὸ λιπαρὸν καὶ γλίσχρον. Τούτῳ μὲν οὖν ῥύπτει, πλύνει δὲ τῷ ποτίμῳ αὐτῆς.

40. Cur lacus Pasa, qui potulentus est, lavat et detergit vestimenta? dulcedo enim lavat, amaritudo vero detergit: quæ quidem haberi simul non possunt. An nihil propter amarorem detergit, sed lentor detergere valet? quamobrem et trunculi, et quæcumque mucosa hujusmodi sunt, detergent, ita ut amara quoque, quæ hanc facultatem participant, [idem facere valeant]. In hoc autem lacu id ipsum eapropter adcidit quia nitrosæ quidem virtutis amaror deustus est, pingue vero et lentum remanet. Hoc igitur detergit, lavat autem suo dulci humore.

41. Διὰ τί τὸ γαληνίζον τῆς θαλάττης λευκὸν φαίνεται, τὸ δὲ κατάφορον μέλαν; Ἢ ὅτι τὸ ἧττον ὁρώμενον μελάντερον μᾶλλον φαίνεται, ἧττον δὲ φαίνεται τὸ κινούμενον τοῦ ἠρεμοῦντος; Ἢ διότι τὸ μὲν διαφαινόμενον λευκόν, τὸ δὲ μὴ διαφαινόμενον μέλαν ἧττον δὲ διαφαίνεται τὸ κινούμενον.

41. Cur mare tranquillum quidem albicat, quod defertur vero nigricat? An quia quod minus cernimus, nigrius id esse videtur, minus autem cernimus quod movetur quam quod quiescit? An quoniam candet quidem quod transspicitur, nigret vero quod adspectui pervium non est, minus autem id transspicitur quod movetur.

ΤΜΗΜΑ ΚΔ.

SECTIO XXIV.

ΟΣΑ ΠΕΡΙ ΤΑ ΘΕΡΜΑ ΥΔΑΤΑ.

QUÆ AD AQUAS CALIDAS PERTINENT.

1. Διὰ τί τὸ θερμὸν ὕδωρ, ἐὰν ἐπικεχρισμένοι ὦσιν ἐλαίῳ, ἧττον θερμόν ἐστι καταχεόμενον, τοῦ ἐλαίου θερμοῦ ὄντος; Ἢ διὰ τὸ λεαίνειν ὀλισθαίνει καὶ ἧττον ἐνδύνει;

1. Cur aqua calida si adfundatur, minus calida est ubi peruncti oleo sumus, etiamsi oleum calidum sit? An quia lævigat oleum, delabitur aqua, minusque subit?

2. Διὰ τί τὰ ὕδατα ἐν τοῖς φρέασι μετὰ μεσημβρίαν γίνεται τοῦ θέρους θερμά; Ἢ διότι τηνικαῦτα ἤδη κεκράτηκε τὸ θερμὸν τὸν ἀέρα, πρὸ μεσημβρίας δὲ τὸ θερμὸν λύει τὸ ψυχρὸν καὶ παύει; οὐχ ἅμα δὲ πέπαυται καὶ κρατεῖ, ἀλλ' ὅταν ἐπιχρονίσῃ.

2. Cur puteorum aquæ calidæ inde a meridie æstate redduntur? An quia tunc aerem jam vicit calor, ante meridiem vero calor frigus solvit eique finem imponit? non enim simul alter cessat, alter superat, sed immorando.

3. Διὰ τί τὸ ὕδωρ θερμότερον ἐνίοτε τῆς φλογὸς γινόμενον οὐ κατακάει τὰ ξύλα, ἡ δὲ φλὸξ κατακάει; Ἢ ὅτι ἡ μὲν φλὸξ λεπτομερές, καὶ τὸ ἀπ' αὐτῆς πνεῦμα, τὸ δ' ὕδωρ μεγαλομερές, ὥστ' οὐκ εἰσδύεται; ἡ δὲ φλὸξ καὶ τὸ ἀπὸ τῶν ἀνθράκων διὰ λεπτότητα εἰσιὸν διαλύει.

3. Cur aqua, etiamsi interdum calidior fiat quam flamma, ligna tamen non deurit, flamma vero deurit? An quia flamma subtilis est, itemque spiritus ab ea proficiscens; aqua vero magnis constat particulis, ita ut non subeat? flamma enim carbonumque calor ob tenuitatem subeuntes resolvunt.

4. Διὰ τί τὸ μὲν ὕδωρ τὸ ζέον οὐ τήκει, ἡ δὲ κοιλία τήκει; Πότερον ὅτι τὸ μὲν θερμὸν τὸ ἐν τῇ κοιλίᾳ εἰσέρχεται διὰ λεπτότητα, τὸ δ' ὕδωρ οὐκ εἰσέρχεται διὰ παχύτητα; Ἢ διότι καὶ τὰ ἄλλα κωλύει τήκεσθαι τὸ ὑγρόν; οὐθὲν γὰρ ἐν ὑγρῷ τήκεται· ἐν δὲ τῇ κοιλίᾳ τὸ ὑγρὸν εἰς τὴν κύστιν ὑπονοστοῦν οὕτω λύει.

5. Διὰ τί τῶν ἀγγείων ὁ πυθμὴν οὐ κάει ἐνόντος τοῦ ὕδατος καὶ ζέοντος, ἀλλὰ καὶ φέρουσι τοῦ πυθμένος ἐχόμενοι, ἐξαιρεθέντος δὲ κάει; Ἢ ὅτι σβέννυται τὸ ἐγγινόμενον θερμὸν ἐν τῷ πυθμένι ὑπὸ τοῦ ὕδατος; διὸ καὶ οὐ τήκεται τὰ τηκτά, ἂν μὴ ψόφος ἐμπέσῃ.

6. Διὰ τί οὐχ ὑπερζεῖ τοῦ χειμῶνος ὁμοίως καὶ τοῦ θέρους τὸ ὕδωρ, οὐ μόνον ὁμοίως θερμαινόμενον, ἀλλὰ καὶ μᾶλλον καὶ ὁμοίως θερμὸν ὄν, καὶ ἔτι μᾶλλον; Ἢ διότι ἡ ὑπέρζεσίς ἐστιν ἡ ἀναβολὴ τῶν πομφολύγων; Τὸ μὲν οὖν ὕδωρ αὐτὸ θερμαίνεται τότε οὐθὲν ἧττον ἢ τοῦ ψύχους, αἱ δὲ πομφόλυγες αἴρεσθαι οὐ δύνανται ὁμοίως διὰ τὸ τὸν περιέχοντα ἀέρα εἶναι ψυχρόν, ἀλλ' ἐλάττους τε τὰ μεγέθη αἴρονται ὑπὸ τοῦ ψύχους θλιβόμεναι, καὶ διακόπτοντος τοῦ ἀέρος ταχὺ διαπίπτουσιν, ὥστ' ἐλάττους τε τῷ ὄγκῳ καὶ τῷ πλήθει γίνονται τοῦ χειμῶνος, τοῦ δὲ θέρους τοὐναντίον· ἡ δὲ ὑπέρζεσις γίνεται διὰ τὸ πλῆθος καὶ τὸ μέγεθος τοῦ ἀφροῦ.

7. Διὰ τί τὸ μὲν θερμὸν ὕδωρ ῥυτιδοῖ, τὸ δὲ πῦρ θερμὸν ὄν, οὔ; Ἢ ὅτι τὸ μὲν πῦρ ποιεῖ πνεῦμα, ὥστ' ὀγκοῖ; περιτείνεται γὰρ τὸ δέρμα· ἡ δὲ κάμψις ῥυτίς ἐστιν.

8. Διὰ τί τῶν ἀγγείων οἱ πυθμένες θερμαινομένου τοῦ ὕδατος, ἕως ἂν ᾖ ψυχρὸν τὸ ὕδωρ, θερμότεροί εἰσιν; Ἢ διότι ψυχροῦ μὲν ἔτι ὄντος τοῦ ὕδατος ἐγκατακλείεται τὸ θερμὸν καὶ ἀντιπεριίσταται εἴσω, κωλυόμενον ἐξιέναι, ὅταν δὲ διαθερμανθῇ τὸ ἐνὸν ὕδωρ, οὐκέτι ἀποστέγοντος, ἀλλὰ διαπνέοντος καὶ ἐλάττονος γινομένου τοῦ πυρός, ψυχρότερος γίνεται ὁ πυθμήν, ὁμοίως ὥσπερ καὶ τὰ βαλανεῖα; καὶ γὰρ ταῦτα τοῦ χειμῶνος θερμότερα ἢ τοῦ θέρους διὰ τὸ ἐγκατακλείεσθαι τὸ θερμὸν ἐν τῷ χειμῶνι μᾶλλον ἢ ἐν τῷ θέρει ὑπὸ τοῦ περιέχοντος ἀέρος ὄντος ψυχροῦ.

9. Διὰ τί τὸ μὲν ὕδωρ ζέον οὐκ ἐκπαφλάζει, τὸ δ' ἔτνος καὶ ἡ φακῆ, καίτοι κουφότερον τὸ ὕδωρ τούτων, τὰ δὲ κοῦφα ῥᾷον ῥῖψαι πόρρω; Ποιεῖ δὲ καὶ τὸ ἀργύριον ταὐτό, καὶ τοῦτο καθαιρόμενον· διὸ οἱ ἐν τῷ ἀργυροκοπείῳ καλλύνοντες κερδαίνουσιν· τὸ γὰρ διαρριπτούμενον συγκαλλύνοντες λαμβάνουσι τὰ λείψανα. Ἢ διότι ποιεῖ μὲν τὸν ἐκπαφλασμὸν τὸ θερμὸν ἐξατμίζον καὶ βιαζόμενον τὰ ἀντικρούοντα τῇ κατὰ φύσιν αὐτοῦ φορᾷ; Τὸ μὲν οὖν ὕδωρ διὰ κουφότητα καὶ λεπτότητα οὐκ ἀποβιάζεται, ὥστ' οὐκ ἀθροίζεται πολὺ θερμόν, ἀλλὰ πρὶν ἁλισθῆναι φθάνει διακόψαν τὸ ἀεὶ προσελθόν· τὰ δ' ἔχοντα ἐν αὐτοῖς σῶμα, οἷον τὰ ῥοφήματα, ἢ ὁ ἄργυρος, διὰ βάρος τὸ σωματοειδὲς

4. Cur aqua fervens quidem non liquefacit, venter autem liquefacit? Utrum quia ventris quidem calor sua tenuitate subit, aqua vero sua crassitudine non subit? An quod cetera quoque liquefieri humor prohibet? nulla enim res in humore liquefit; at in ventre humor in vesicam se recipiens ita solvit.

5. Cur fundus vasorum non urit, etiamsi aqua fervens insit, sed vel fundum tenentes deportant, aqua vero exempta urit? An quod calor ad fundum perveniens exstinguitur ab aqua? hinc quoque non liquantur res liquabiles, nisi sonitus supervenerit.

6. Cur aqua non perinde hiberno tempore ut æstivo effervet, etiamsi non solum pari concalfiat igni, sed vel pleniori, ac tantumdem caleat, vel etiam vehementius? An quod aquæ effervescentia bullarum expulsio est? Aqua igitur ipsa nihilo minus tunc quam per frigus calefit, sed bullæ non æque elevari possunt quia ambiens aer frigidus est, sed mole minores elevantur, quippe quum frigore comprimuntur et aere dirimente cito concidunt, ita ut et pauciores et mole minores fiant hyeme; at æstate contra: effervescentia enim propter copiam magnitudinemque spumæ fit.

7. Cur calida quidem aqua rugat, ignis vero, etiamsi calidus sit, non? An quia ignis quidem spiritum creat, ita ut tumefaciat? circum enim cutis obtenditur; flexura autem ruga est.

8. Cur fundi vasorum, ubi calfacimus aquam, tam diu calidiores sunt, dum aqua ipsa frigida est? An quoniam aqua adhuc frigida, calor includitur circumobsistiturque intus, quum ei exitus denegetur; at vero aqua quam continent vasa, concalfacta, quoniam non amplius coercet, sed perspirat diminuiturque ignis, fundus frigidior redditur, non secus ac balneæ? nam hæ quoque hyeme quam æstate calidiores sunt, quoniam calor hiberno potius quam æstivo tempore ab aere ambiente qui frigidus est, includitur.

9. Cur aqua fervens quidem bullas cum stridore non adtollit, fresa vero legumina atque lenticula adtollunt, quamquam his levior aqua est, leviaque procul projiciuntur facilius? Quin etiam argentum idem hoc facit, idque ubi depuratur: hinc qui in officinis argentariis vasa mundant, lucrum faciunt: disjectum enim converrentes reliquias sibi adsciscunt. An quia evaporando quidem calor illataque vi iis quæ suo naturali impetui obstant, bullas ac stridorem excitat? Aquæ igitur, quoniam levis et tenuis est, vis non infertur, ita ut multum caloris non colligatur, sed antequam congregetur, jam diremit is qui subinde adcedit; at vero quæ corpulentum quid intra sese continent, ut sorbitiones, vel argentum, hæc quum propter gravitatem

ἔχοντα πολύ, καὶ ἀντιπωθοῦντα διὰ τὸ ἀποβιάζεσθαι, βίᾳ ἐξιόντος ἀποσφαιρίζεται ᾗ ἂν κρατήσῃ τὸ θερμόν· οὐ γὰρ δίεισι διὰ πυκνότητα, ἀλλὰ κρατεῖ, ἕως ἂν ὑπὸ τοῦ ἐπιρρέοντος θερμοῦ ἀπορριφθῇ. Γίνεται δὲ πληγή οὐκ ὦσις, διὰ τὸ ταχὺ φέρεσθαι τὸ θερμὸν κάτωθεν ἄνω.

multum corporis continent atque resistunt, quoniam vis iis infertur, vi exeunte calore, in globum colliguntur, ubicumque vicerit calor : propter densitatem enim non pertransit, sed vincunt, dum calor a tergo superfluens ea ejaculatus sit. Fit autem ictus, non impulsus, quoniam calor inferne sursum fertur celeriter.

10. Διὰ τί τὰ μὲν ὀλίγον χρόνον ἐν τῷ θερμῷ βρεχόμενα ἀνοιδεῖ, τὰ δὲ πολὺ συμπίπτει καὶ γίνεται ῥυσά; Ἢ διότι τὸ θερμὸν ἐκ πεπηγότος ὑγρὸν ποιεῖ, ἐκ δ' ὑγροῦ πνεῦμα, τὰ δὲ πυκνὰ ἀραιοῖ; Τὸ μὲν οὖν πρῶτον θερμαῖνον τὰ πεπηγότα ὑγρότερα ποιεῖ, καὶ ἐξ ὑγρῶν πνευματοποιοῦν ὀγκηρὰ ποιεῖ διαχέον· ὅταν δὲ μᾶλλον θερμαίνῃ τὸ πέριξ, ἀραιὸν ποιεῖ, ὥστ' ἀποπνεῖται ἡ ἀτμίς, καὶ τὸ ὑγρὸν ξηραινόμενον συμπίπτειν ποιεῖ τοὺς ὄγκους· συμπιπτόντων δὲ ῥυσοῦται τὸ πέριξ δέρμα πάντων· ᾗ δ' ἀνωμάλως, ταύτῃ ῥυσὸν γίνεται.

10. Qua de causa quæ parum quidem temporis calida in aqua maduerunt, tument; quæ vero multum, collabuntur et corrugantur? An quoniam calor ex concreto humidum facit, ex humore vero spiritum, densaque rarefacit? Principio igitur concreta calefaciens reddit humidiora, atque spiritum ex humidis creans diffundendo tumefacit; ubi vero amplius calfacit ambiens, rarefacit, ita ut vapor exspiret, humorque exsiccando moles concidere faciat? quibus collapsis cutis ambiens omnium rugatur; qua parte autem inæqualiter hoc fit, ea rugosa efficitur.

11. Διὰ τί ὑπὸ τῶν θερμῶν ὑδάτων μᾶλλον ἢ ὑπὸ τῶν ψυχρῶν πήγνυνται λίθοι; Πότερον ὅτι τῇ τοῦ ὑγροῦ ἐκλείψει γίνεται λίθος, μᾶλλον δ' ὑπὸ τοῦ θερμοῦ ἢ τοῦ ψυχροῦ ἐκλείπει τὸ ὑγρόν, καὶ ἀπολιθοῦται δὴ διὰ τὸ θερμόν, καθάπερ καὶ Ἐμπεδοκλῆς φησι τάς τε πέτρας καὶ τοὺς λίθους καὶ τὰ θερμὰ τῶν ὑδάτων γίνεσθαι; Ἢ τὸ θερμὸν ἀπολιθοῖ, καὶ ὑπὸ τοῦ ψυχροῦ δὲ λιθοῦται διὰ τὸ τὴν ὑπερβολὴν τοῦ πάγου τὸ ὑγρὸν ἀναλίσκουσαν σκληρύνειν; Δῆλον οὖν ἐκ τῆς ὑπερβολῆς καὶ τὸ ἁπλῶς.

11. Cur aquis calidis potius quam frigidis lapides concrescunt? Utrum quod lapis defectu humoris consistit, caloreque potius quam frigore humor deficit, lapidescitque nimirum calore, quo modo etiam Empedocles lapides et saxa aquasque calidas fieri refert? An calor in lapidem convertit, sed frigore etiam fiunt lapides, quum nimium gelu humorem absumendo indurat? E frigoris igitur excessu patet etiam quidnam simplex efficiat.

12. Διὰ τί ἐν τῷ θερμῷ ὕδατι ἐὰν τὸν πόδα ἔχῃ τις, ἠρεμοῦντος μὲν ἧσσον δοκεῖ εἶναι θερμόν, ἐὰν δὲ κινηθῇ, θερμότερον; Ἢ ὥσπερ καὶ ἐπὶ τοῦ σώματος, ἐὰν ἐν τῷ πνεύματι τροχάζῃ τις, ἀεὶ ὁ προϊστάμενος ἀὴρ ψυχρότερος· εἰς δὲ τὸ πορρώτερον εἰσιὼν μᾶλλον αἰσθάνεται;

12. Cur, si in aqua pedem quis teneat calida, quiescente quidem pede aqua minus calida esse videtur, moto vero calidior? An eodem modo quo vel circa totum corpus, si quis per ventum cucurrerit, semper aer obstans frigidior est, idque eo melius sentit qui cursum agit, quo longius progressus fuerit

13. Διὰ τί ἐν τῷ ἡλίῳ μᾶλλον ἢ τῇ σκιᾷ τὰ θερμὰ ψύχεται; Πότερον ὅτι τὸ θερμὸν τὸ ἔλαττον ὑπὸ τοῦ πλείονος φθείρεται; Ἢ ὅτι ἐν μὲν τῇ σκιᾷ τὸ ψυχρὸν περιεστηκὸς θλίβει τὸ ἐνὸν θερμὸν καὶ οὐκ ἐᾷ ἐπεξιέναι, ὅπερ καὶ τοῖς θνήσκουσι ποιεῖ τὸ ψυχρὸν προσχεόμενον; ἐγκατακλείει γὰρ τὸ θερμὸν καὶ κωλύει ἐξιέναι, καὶ ὅλως τοῦ χειμῶνος ἅπασι συμβαίνει τὰ ἔσωθεν θερμότερα· ἐν δὲ τῷ ἡλίῳ οὐδενὸς ἀντιφράττοντος φέρεται καὶ θᾶττον ἀπολείπει.

13. Cur amplius in sole quam in umbra res calidæ refrigerantur? Utrum quia minor calor a majori deletur? An quod in umbra quidem frigus circumstans calorem qui inest, reprimit, nec exire sinit? Quod idem moribundis aqua adfusa frigida advehit, quippe quæ calorem intercludit et exire vetat; denique per hyemem omnibus adcidit ut calidiores habeant partes interiores; at in sole re nulla obstruente, fertur ac cito deficit.

14. Διὰ τί τὸ ἐν τῷ ἡλίῳ θερμαινόμενον ὕδωρ ὥστε λούεσθαι οὐκ ἔστιν ὑγιεινότερον; Πότερον ὅτι διὰ τὸ ψύχεσθαι, καὶ ἔτι ἐπεὶ τὸ σωμάτιον φρίττειν ποιεῖ; Ἢ ποιεῖ μὲν καὶ τοῦτο, ἀλλὰ κἂν πολλάκις λούηταί τις, νοσερόν ἐστιν; τὸ μὲν γὰρ θερμὸν ὅλως πεπτικόν ἐστι καὶ ξηραντικόν, τὸ δὲ ψυχρὸν σταλτικόν, ὥστ' ἄμφω ποιεῖ τι ἀγαθόν· διὸ καὶ τὸ ὕδωρ καὶ τὸ ψυχρὸν λουομένοις καὶ τὸ θερμὸν τὸ ὑπὸ τοῦ πυρὸς χρήσιμον· τὸ δ' ὑπὸ τοῦ ἡλίου διὰ τὴν ἀσθένειαν τῆς θερμότητος

14. Cur aqua minus salubris ad lavandum est quam sol tepefacit? Utrum quia refrigeratur, atque insuper quia horrorem movet corpori? An efficit quidem etiam istud, verumtamen et si quis ea sæpe lavetur, morbida est? calor enim omnino vim coquendi et siccandi obtinet, frigus vero restringendi, ita ut utraque aliquid boni adferant : quapropter aqua et frigida et calida ex igne balneum præstat commodum; at quæ sole tepuerit, ob sui caloris imbecil-

οὐδέτερον τούτων ποιεῖ, ἀλλ' ὑγραίνει ὥσπερ τὸ τῆς σελήνης φῶς.

15. Διὰ τί τὸ ἐν τῷ ἡλίῳ θερμανθὲν ὕδωρ οὐκ ἀγαθόν; Ἢ ὅτι τὰ ψυχόμενα ῥιγοῦν ποιεῖ;

16. Διὰ τί τὰ ἐν Μαγνησίᾳ καὶ τὰ ἐν Ἀταρνεῖ θερμὰ πότιμά ἐστιν; Ἢ διότι ἐμβάλλει ὕδωρ πλεῖον ἀπορρέοντι τῷ θερμῷ, οὗ ἡ μὲν ἁλμυρότης ἀφανίζεται, ἡ δὲ θερμότης διαμένει;

17. Διὰ τί ἐν Μαγνησίᾳ τὰ θερμὰ τοῦ μὲν θερμὰ εἶναι ἐπαύσατο, ἁλμυρὸν δ' ἦν τὸ ὕδωρ; Ἢ πλεῖον ἐπεχύθη ἅμα ψυχρὸν ἐπὶ τὰς πηγὰς ἀλλότριον, καὶ ἐναπέσβεσε τὴν θερμότητα; ἡ δὲ γῆ ἁλμυρὰ μὲν ἦν, θερμὴ δ' οὔ, διὰ τὸ πλῆθος τοῦ ὕδατος τοῦ ἐμβάλλοντος. Ὅμοιον οὖν συνβέη τῷ διὰ τῆς τέφρας ὕδατι ἠθουμένῳ· καὶ γὰρ τοῦτο διὰ θέρμης ἠθούμενον ἐκείνην μὲν καταψύχει, καὶ αὐτὸ ψυχρὸν γίνεται, ἁλμυρόν τε καὶ πικρὸν διὰ τὴν τέφραν ἐστίν. Ἐπεὶ δὲ τὸ προσιὸν ἠλλοτριωμένον ἐστί, δι' ἄλλην αἰτίαν ἐκράτησεν ἡ θερμότης ἐνοῦσα ἐν τῇ γῇ τῆς ψυχρότητος τοῦ ὕδατος δι' ὀλιγότητα, καὶ ἐγένετο πάλιν θερμά.

18. Διὰ τί τὰ ὅλα τῶν θερμῶν ὑδάτων ἁλμυρά; Ἢ διότι τὰ πολλὰ διὰ γῆς ἠθεῖται στυπτηριώδους (δηλοῖ δ' ἡ ὀσμὴ αὐτῶν), κεκαυμένης δέ; ἡ δὲ τέφρα πάντων ἁλμυρὰ καὶ θείου ὄζει· διὸ καὶ συγκάει οὕτως ὥσπερ ὁ κεραυνός. Πολλὰ οὖν θερμά ἐστιν ἀπὸ ἐπισημάνσεως κεραυνῶν.

19. Διὰ τί τὰ θερμὰ λουτρὰ ἱερά; Ἢ ὅτι ἀπὸ τῶν ἱερωτάτων γίνονται θείου καὶ κεραυνοῦ.

ΤΜΗΜΑ ΚΕ.

ΟΣΑ ΠΕΡΙ ΤΟΝ ΑΕΡΑ.

1. Διὰ τί ἐν τοῖς ἀσκοῖς τοῖς πεφυσημένοις ἐναπολαμβανόμενα τὰ μέλη πόνον παρέχει; Πότερον διὰ τὴν πίεσιν τοῦ ἀέρος; ὥσπερ γὰρ οὐδὲ τοῖς ἔξωθεν πιέζουσι τὸν ἀσκὸν ἐνδίδωσιν ὁ ἀήρ, ἀλλ' ἀπωθεῖ, οὕτω καὶ τὰ ἐντὸς ἐναπολαμβανόμενα θλίβει ὁ ἀήρ. Ἢ διότι βίᾳ κατέχεται καὶ πεπίληται; Ἔξω οὖν πάντῃ ὁρμῶν κατὰ φύσιν προσαπερείδεται πρὸς τὸ ἐντὸς ἀπειλημμένον σῶμα.

2. Διὰ τί ἐν τοῖς ἕλεσι τοῖς παρὰ τοὺς ποταμοὺς γίνονται οἱ καλούμενοι βούμυκοι, οὓς μυθολογοῦσι ταύρους ἱεροὺς εἶναι τοῦ θεοῦ; ἔστι δὲ τὸ γινόμενον ψόφος ὅμοιος φωνῇ ταύρου, ὥσθ' αἱ βόες οὕτω διατίθενται ἀκούσασαι ὥσπερ ταύρου μυκωμένου. Ἢ ὅτι ὅσοι ποταμοὶ λιμνάζουσιν εἰς ἕλη, ἢ ὅσα ἕλη λιμνάζονται, ἢ ὑπὸ θαλάττης ἀντικρούονται, ἢ τὸ πνεῦμα ἀφιᾶσιν ἀθροώτερον, ἐν τοῖς τοιούτοις γίνεται τοῦτο; Αἴτιον δ' ὅτι αἱ κοιλίαι τῆς γῆς γίνονται. Οὕτως οὖν κλυζόμε-

litatem neutrum illorum præstat, sed humectat perinde ac lunæ lux.

15. Cur aqua sole calfacta bona non est? An quia quæ refrigerantur, rigorem advehunt?

16. Cur aquæ calidæ Magnesiæ et Atarneæ potulentæ sunt? An quoniam aquæ copia in defluentem calidam incidit, cujus salsugo quidem tollitur, calor vero perstat?

17. Cur Magnesiæ aquæ calidæ quidem esse desierunt, salsa tamen erat aqua? An quod aquæ copia frigidæ alienæ derepente in fontes infusa est caloremque exstinxit? terra enim salsa quidem erat, calida tamen non, propter aquæ irruentis copiam. Proximum igitur adcidit ei quod aquæ quam per cinerem colamus: hæc enim transmissa per calidum cinerem et cinerem frigidum reddit, et ipsa frigida fit, salsaque et amara propter cinerem est. Sed quum aqua quæ adcesserat, alienigena esset, alia de causa calor qui terræ inest, frigus aquæ propter paucitatem vicit, atque suum calorem aquæ receperunt.

18. Cur aquæ calidæ salsæ sunt universæ? An quod pleræque per terram aluminosam percolantur (quod odore earum constat), sed perustam? omnium autem rerum cinis salsus est sulfurque redolet: quapropter et modo fulminis urit. Et quidem multa fulminis tactu calida exstiterunt.

19. Cur calidæ balneæ sacræ habentur? An propterea quod a sulfure atque fulmine, rebus sanctissimis nimirum, proveniunt?

SECTIO XXV.

QUÆ AD AEREM PERTINENT.

1. Cur membra in utribus inclusa inflatis dolent? Utrum propter pressuram aeris? ut enim vel extrinsecus utrem prementibus aer non cedit, sed repellit, sic etiam quæ intus includuntur, aer comprimit. An quia per vim aer detinetur stipaturque? Foras itaque suapte natura quaquaversus ruens insuper ad corpus innititur quod intus inclusum est.

2. Cur in paludibus juxta fluvios sitis fiunt sonitus qui boum mugitus adpellantur, quos tauros numini sacros esse fabulantur? est sane fremitus qui exoritur, voci tauri similis, ita ut vaccæ, eo audito, non secus adficiantur quam si taurum audivissent mugientem. An quia quicumque fluvii stagnando in paludes convertuntur, aut quæcumque paludes restagnant, et vel a mari retorquentur, vel flatum satis confertum emittunt, in hujusmodi hoc evenit? Causa vero est, quod in terra fiunt cavi. Hoc

νον τὸ ὕδωρ, διὰ τὸ ἐνεῖναι ῥεῦμα ἐν τῇ τοιαύτῃ λιμνασίᾳ, ἀπωθεῖται τὸν ἀέρα διὰ στενοῦ εἰς εὐρυτέραν κοιλίαν, οἷον εἴ τις εἰς ἀμφορέα κενὸν κατὰ τὸ στόμιον ποιοῖ ψόφον, μυκήματι ὅμοιον γίνεται· καὶ γὰρ ἡ μύκησις διὰ τοῦτο γίνεται τὸ σχῆμα τοῖς βουσίν. Πολλὰς δὲ καὶ ἀτόπους φωνὰς ποιοῦσι τὰ σχήματα τῶν κοιλιῶν ἀνώμαλα ὄντα, ἐπεὶ καὶ ἀμφορέως τὸν πύνδακα ἐάν τις ἀφελὼν διὰ τοῦ πυθμένος τρίβῃ ἕλκων ἔσω καὶ ἔξω, εἰ τρίψει διὰ τοῦ καταδήματος, ψόφον ποιεῖ, ὥστε φεύγειν τὰ θηρία, ὅταν οἱ ὀπωροφύλακες κατασκευάσωσιν αὐτό.

3. Διὰ τί ὁ ἀὴρ οὐχ ὑγρός, ἁπτόμενος τοῦ ὕδατος; τῶν γὰρ ἄλλων οὐθὲν ὅ τι οὐχ ὑγρόν, ἂν ἅψηται. Ἢ διότι τὸ ἔσχατον αὐτῶν ἅμα, τὸ δ' ἐπίπεδον ἑκατέρου οὐχ ἕτερον; Τὰ μὲν οὖν ἄλλα βαρύτερα, ὁ δ' ἀὴρ οὐ ῥέπει κατωτέρω τοῦ ἐσχάτου. Ἅπτεται μὲν οὖν, ὅτι οὐθὲν μεταξύ, οὐ βρέχεται δέ, ὅτι ἀεὶ ἄνωθεν τοῦ ὕδατος.

4. Διὰ τί μέσων νυκτῶν καὶ μεσημβρίας μάλιστα εὐδία γίνεται; Ἢ διότι ἡ νηνεμία ἐστὶν ἀέρος στάσις, ἕστηκε δὲ μάλιστα, ὅταν κρατῇ ἢ κρατῆται, μαχόμενος δὲ κινεῖται; Κρατεῖ μὲν οὖν μάλιστα μέσων νυκτῶν, κρατεῖται δὲ μεσημβρίας· τότε μὲν γὰρ ὁ ἥλιος πορρωτάτω, τότε δ' ἐγγυτάτω γίνεται. Ἔτι ἄρχεται τὰ πνεύματα ἢ περὶ ἕω, ἢ περὶ δυσμάς, λήγει δὲ τὸ μὲν ἕωθεν, ὅταν κρατηθῇ, τὸ δ' ἀπὸ δυσμῶν, ὅταν παύσηται κρατῶν. Συμβαίνει οὖν τὰ μὲν μεσημβρίας παύεσθαι, τὰ δὲ μέσων νυκτῶν.

5. Διὰ τί ὑποφωσκούσης ἕω καὶ ἤδη πρωῒ μᾶλλόν ἐστι ψῦχος ἢ τῆς νυκτός, ἐγγυτέρω ὄντος τοῦ ἡλίου ἡμῶν; Ἢ ὅτι πρὸς ἡμέραν δρόσος καὶ πάχνη πίπτει, ταῦτα δ' ἐστὶ ψυχρά; Ὥσπερ οὖν ῥανθέντος τοῦ παντὸς τόπου ὑγρῷ ψυχρῷ γίνεται κατάψυξις.

6. Διὰ τί ἐν τῷ Πόντῳ καὶ ψύχη μάλιστα καὶ πνίγη; Ἢ διὰ τὴν παχύτητα τοῦ ἀέρος; τοῦ μὲν γὰρ χειμῶνος οὐ δύναται διαθερμαίνεσθαι, τοῦ δὲ θέρους, ὅταν θερμανθῇ, κάει διὰ τὴν παχύτητα. Ἡ δ' αὐτὴ αἰτία καὶ διότι τὰ ἑλώδη τοῦ μὲν χειμῶνος ψυχρά, τοῦ δὲ θέρους θερμά. Ἢ διὰ τὴν τοῦ ἡλίου φοράν; τοῦ μὲν γὰρ χειμῶνος πόρρω γίνεται, τοῦ δὲ θέρους ἐγγύς.

7. Διὰ τί τῆς νυκτὸς αἰθρία μᾶλλον ἢ μεθ' ἡμέραν; Ἢ καὶ τοῦ πνεύματος καὶ τῆς ταραχῆς ὁ ἥλιος αἴτιος; ταῦτα γὰρ κινήσεώς τινος γενομένης συμβαίνει γίνεσθαι. Αἴτιον τοίνυν τὸ θερμόν. Ὅταν οὖν τοῦτο μὴ παρῇ, ἠρεμεῖ τὸ πᾶν, καὶ αἰρομένου τοῦ ἡλίου μᾶλλον ἢ τοὐναντίον, καὶ τό·

μήποτ' ἀπ' ἠπείρου

τοῦτ' ἐστίν, ὅτι οὗ πλείστη κίνησις, ἐκεῖ ἥκιστα ἄν τι μένοι καὶ συσταίη, μὴ ὁμαλοῦ ὄντος καὶ κρατοῦντος

igitur modo ubi aqua fluctuat, quoniam fluxus in ejusmodi redundatione invenitur, aerem per angustias depellit in cavum ampliorem, eodem modo quo si quis in amphoram inanem strepitum per osculum moverit, mugitui similis fit sonus : mugitus etenim bobus per id ipsum figuræ genus evenit. Multas autem mirasque voces efficiunt figuræ cavernarum, inæquales si sint : nam et amphoræ fundum si quis detracto operculo, vicissim introrsum ac extrorsum trahens perterat, dummodo per intercapedinem terat, sonum tam ingentem reddit ut feræ fugentur, quando pomariorum custodes id moliti sunt.

3. Cur aer, ubi aquam tangit, humidus non est? nihil enim de ceteris est quod, si tetigerit, humidum non reddatur. An quia eorum extima una sunt, nec plano diverso distinguuntur? Igitur cetera graviora quidem sunt; aer vero deorsum non vergit ultra extremum. Itaque tangit quidem, quia nihil interjacet; non vero humectatur, quia semper supra aquam est.

4. Cur nocte media et meridie maxime obtinet serenitas? An quia venti tranquillitas aeris statio est, restat autem maxime, ubi aut vincit, aut vincitur; pugnans vero movetur? Vincit itaque maxime nocte media, vincitur vero meridie : media enim nocte sol maxime removetur, meridie vero proxime adcedit. Ad hæc flatus vel ortu solis, vel obitu incipiunt; cessat autem qui ortu cœperit, ubi victus est, qui vero vesperi, ubi parta victoria desinit. Itaque fit ut alii quidem meridie, alii vero nocte media cessent.

5. Cur prima luce et jam mane frigus amplius est quam noctu, quum sol a nobis propius absit? An quoniam die instante ros cadit atque pruina, quæ frigida sunt? Ergo quasi rigato loco universo frigido humore, refrigeratio obtinet.

6. Cur in Ponto maxime et frigora et æstus fiunt? An propter aeris crassitudinem? hyeme enim penitus incalescere nequit; æstate vero, quando calefactus est, urit propter crassitudinem. Hoc idem quoque causa est, cur regiones paludosæ hyeme quidem frigidæ, æstate vero calidæ sint. An propter solis cursum? hyeme enim procul abit; per æstatem vero prope adcedit.

7. Cur noctu potius quam interdiu serenum obtinet? An quod et flatus et perturbationis causa sol est? isthæc enim motu quodam facto oriri evenit. Calor igitur causa est. Ob eamque rem ubi is abest, quiescit universum, et sole abeunte magis quam si contrarium obtineat; id quoque quod dici solet :

Ne umquam a continente

hoc sibi vult, quod ubi motus maximus est, ibi minime quidquam vel manere, vel consistere potest, quippe quum æquabilis non est, neque vincit res quæ consistere

τοῦ συνισταμένου. Τοῦ μὲν δὴ χειμῶνος ἡ θάλαττα τοιοῦτον, τοῦ δὲ θέρους ἡ γῆ.

8. Διὰ τί, ὅταν διαχυθῇ τὸ ὑγρὸν εἰς ἀσκούς, οὐ μόνον τὸ ὑγρὸν δέχεται ὁ πίθος μετὰ τῶν ἀσκῶν, ἀλλὰ καὶ ἄλλο προσλαμβάνει; Ἢ ὅτι ἐν τῷ ὑγρῷ ἐνυπάρχει ὁ ἀήρ; Οὗτος οὖν ὅταν μὴ ἐν τῷ πίθῳ ἐνῇ, οὐ δύναται ἐκκρίνεσθαι διὰ τὸ μέγεθος τοῦ πίθου· ἐκ γὰρ τοῦ μείζονος χαλεπώτερον ἐκθλῖψαι ὁτιοῦν καὶ ὑγρὸν καὶ πνεῦμα, ὥσπερ καὶ ἐκ τῶν σπόγγων· ὅταν δὲ μερίζηται εἰς μικρά, ἐκθλίβεται ἐκ τοῦ ἀσκοῦ μετὰ τοῦ ἐνόντος, ὥσθ' ἡ τοῦ ἀέρος χώρα κενὴ γίνεται· διὸ καὶ τοὺς ἀσκοὺς καὶ ἔτι ἄλλο ὑγρὸν δέχεται ὁ πίθος. Καὶ μᾶλλον ἐπὶ τοῦ οἴνου τοῦτο γίνεται, ὅτι πλείων ἀὴρ ἐν τῷ οἴνῳ ἔνεστιν ἢ ἐν τῷ ὕδατι. Ὅμοιον δὲ τούτῳ καὶ τὸ ταὐτὸ ἀγγεῖον τήν τε κονίαν καὶ τὸ ὕδωρ χωρεῖν ἅμα, ὅσον ἑκάτερον χωρὶς ἐγχεόμενον· ἔοικε γὰρ πολλὰ εἶναι τὰ διάκενα τῆς τέφρας. Ἅτε οὖν λεπτότερον, τὸ ὕδωρ διαδύνει μᾶλλον καὶ συσσάττει ἤδη ὥστε πυκνοῦσθαι, καὶ διὰ τὸ παρ' ἕκαστον τῶν μερῶν εἶναι τὴν σάξιν (μᾶλλον γὰρ σάττεται κατὰ μικρὸν σαττόμενον ἅπαν ἢ ἀθρόον), τούτου δὲ γινομένου ὑποκαταβαίνειν τὴν κονίαν· ἅμα δὲ καὶ ἡ τέφρα εἰς αὑτὴν δέχεται τὸ ὑγρὸν διὰ τὸ ἔχειν κοιλίας· ἡ δὲ βαλλομένη τέφρα εἰς τὸ ὕδωρ θερμὴ οὖσα τέμνει αὐτὸ καὶ ἐξαεροῖ. Καὶ πρότερον δ' ὕδατος ἐγχυθέντος καὶ ὕστερον κονίας ἐμπιπτούσης τὸ αὐτὸ γίνεται, ὥστε καὶ τὸ ὕδωρ ἔχοι ἂν κοιλίας καὶ διάκενα αὐτὸ ἐν αὑτῷ. Ἢ οὐ τὸ ὕδωρ τὸ δεχόμενον τὴν κονίαν, ἀλλ' ἡ κονία τὸ ὕδωρ; τὸ γὰρ λεπτομερέστερον εἰκὸς εἶναι τὸ εἰσιόν. Ἔτι καὶ ἐκ τῆς πείρας δῆλον· ὅταν γὰρ ἐπιπάττηται ἡ τέφρα, καθ' ὃν ἂν τόπον ἐπιπάττηται, εἰς τοῦτον συρρεῖ τὸ ἄλλο ὕδωρ· ἔδει δὲ τὸ ἐναντίον, εἴπερ ἦν τὸ ὕδωρ τὸ δεχόμενον. Ἢ οὐ συμβαίνει τοῦτο, ἐὰν πρότερον ἐγχυθῇ τὸ ὕδωρ καὶ σφόδρα διαμεστώσῃ, ἀλλ' ἐὰν ὁτιοῦν ἐπιβληθῇ, ὑπερχεῖται, ἐὰν δ' ἅπαξ ὑπερχυθῇ καὶ ἐπιπέσῃ ἡ τέφρα, ἤδη συμβαίνει; ἡ γὰρ τέφρα ἦν δεχομένη. Ταὐτὸ δὲ τοῦτο καὶ ὅτι οἱ βόθυνοι τὴν ἐκβληθεῖσαν ἐξ αὐτῶν γῆν οὐ δέχονται· ἔοικε γὰρ δὴ ἀήρ τις προκαταλαμβάνων τὸν τόπον, καὶ διὰ τοῦτο μὴ δέχεσθαι.

9. Διὰ τί ὁ ἀὴρ παχύτερος ὢν τοῦ φωτὸς διέρχεται διὰ τῶν στερεῶν; Ἢ διότι τὸ μὲν φῶς κατ' εὐθεῖαν φέρεται μόνον; διὸ καὶ διὰ τῶν ἀραιῶν οὐ διορᾷ ἡ ὄψις, οἷον κισήριδος· ἐπαλλάττουσι γὰρ οἱ πόροι, ἀλλ' οὐχ ἐν τῇ ὑάλῳ· ὁ δ' ἀὴρ οὐ κωλύεται διὰ τὸ μὴ εὐθυπορεῖν οὗ διέρχεται.

10. Διὰ τί ὁ ἀὴρ ψυχρὸς μὲν γίνεται διὰ τὸ ἅπτεσθαι τοῦ ὕδατος, δίυγρος δ' οὔ, κἂν σφόδρα τις φυσᾷ εἰς τὸ ὕδωρ ὥστε κυμαίνειν; ὅτι δὲ ψυχρός, δηλοῖ μεθιστάμενος· ψύχει γὰρ ἀπὸ τῶν ὑδάτων. Ἢ ὅτι ψυχρὸς μὲν πέφυκεν εἶναι καὶ θερμός, ὥστε μεταβάλλει τῇ ἁφῇ οὗ ἂν τινος ἅπτηται, ὑγρὸς δ' οὐκέτι διὰ

debet. Mare itaque hyeme, terra vero æstate hujusmodi est.

8. Quam ob causam humor ubi diffunditur in utres, non solum humorem una cum utribus capit dolium, sed insuper et alium recipit? An quoniam aer in humore inest? Hicce igitur, dum in dolio quidem est, excerni propter dolii magnitudinem non potest: e majori enim spatio exprimitur difficilius quicumque humor, vel spiritus, quemadmodum etiam e spongiis; at ubi digeritur, exprimitur de utre una cum humore iis contento, ita ut locus quem occuparat aer, inanis fiat: propterea quoque dolium et utres et humorem insuper alium capit. Magisque in vino id adcidit, quia plus in vino aeris inest quam in aqua. Huic rei simile est quod cineris et aquæ tantumdem simul vas idem capit, quantum alteriusutrius seorsum infundi potest: cineris enim crebra interstitia esse videntur. Quum igitur tenuior sit aqua, penetrat magis et jam constipat, ita ut condensetur, vel quoniam particulatim constipatio agitur (constipatur enim quodcumque plenius, ubi paulatim, quam ubi universa moles simul constipatur), eoque facto subit cinis, simulque humorem intra se propter cavos quos continet, recipit: nam quum cinis qui in aquam injicitur, calidus sit, aquam dirimit vertitque in aerem. Idem quoque fit si primum aqua infundatur, post vero cinis incidat, ita ut aqua etiam cavos et spatia inania in se contineret. An non aqua cinerem recipit, sed cinis aquam? quod enim subtilius est, id subire congruum est. Constat item experimento: ubi enim cinis inspergitur, quo loco inspersus fuerit, in eum reliqua aqua confluit; contrarium vero fieri debuisset, si aqua cinerem caperet. An non hoc evenit, si prius aqua infusa sit et vas adfatim impleverit, sed quodcumque injectum fuerit, redundat; sin autem semel redundaverit atque cinis inciderit, jam tunc evenit? cinis enim id erat quod recipiebat. Hoc idem quoque ratio est cur foveæ terram ejectam non recipiant: locum enim aer quidam præoccupasse videtur, atque eapropter non recipere.

9. Cur aer qui luce crassior est, solida permeat? An quia lux quidem recta tantummodo fertur? propterea oculus quoque non transspicit per rara, ut per pumicem: meatus enim alternant, sed non in vitro; at aer non impeditur, quoniam qua transit, non recto tramite meat.

10. Cur aer tacta aqua frigidus quidem redditur, humidus vero non, etiamsi quis in aquam vehementer inflarit, ita ut fluctus moveantur? eum enim frigidum reddi tunc constat quum transportatur: qui enim ab aquis spirat, refrigerat. An quia frigidus quidem et calidus suapte natura esse potest, ita ut rei tactu immutetur, quamcumque

τὸ κουφότερος εἶναι; Καὶ οὐδέποτε εἰς τὸ βάθος τοῦ ὕδατος ἔρχεται, ἀλλ' ἀεὶ τοῦ ἐπιπέδου ἅπτεται, κἂν βιάζηται κάτω, καὶ τὸ ὕδωρ ἔτι κατωτέρω φέρεται, ὥστε μήποτε εἰς βάθος ἰέναι.

tetigerit, humidus vero idcirco esse non item potest, quia levior est. Nec umquam fundum aquæ petit, sed superficiem semper tangit, etiamsi deorsum cogatur, dum aqua inferius adhuc fertur, ita ut numquam ad fundum eat.

11. Διὰ τί ὁ ἐκ τῶν πομφολύγων καὶ κάτωθεν ἀνιὼν οὐ διερὸς ἐξέρχεται; Ἢ διότι οὐκ ἐπιμένει τὸ ὑγρόν, ἀλλ' ὀλισθαίνει τὸ ὕδωρ; τὸ δ' ἐπὶ τῇ πομφόλυγι καὶ ἔλαττόν ἐστιν ἢ ὥστε διερεῖν.

11. Cur aer bullis contentus, etiamsi inferne adscendens, non madidus emergit? An quia humor non insidet, sed delabitur aqua? quæ enim constituit bullas, vel minor est quam ut humefacere valeat.

12. Διὰ τί ὁ ἀὴρ οὐκ ἀναπίμπλησι, τὸ δ' ὕδωρ; καὶ εἰς τὸν ἀέρα γὰρ μετατιθέμενον διερόν. Ἢ ὅτι ὥσπερ οὐδ' ὁ λίθος; οὐ γὰρ πᾶν ἐστιν ἀναπληστικόν, ἀλλὰ τὸ γλίσχρον, ἢ ὑγρόν.

12. Cur aer non implet, aqua autem implet, quippe quæ etiam translata in aerem madet? An eadem de causa cur et lapis implere nequeat? nec enim omnia implere valent, sed quæ lenta sunt, aut humida.

13. Ἢ ὅτι ὁ ἀὴρ ἄνω φέρεται; ὁ γὰρ ἀσκὸς ὅταν μὲν κενὸς ᾖ, κάτω φέρεται, ὅταν δὲ φυσηθῇ, ἄνω ἐπιμένει διὰ τὸ τοῦτον ἀναφέρειν. Εἰ δ' ὁ ἀὴρ ἀνακουφίζει καὶ κωλύει κάτω φέρεσθαι, διὰ τί βαρύτεροι γίνονται φυσηθέντες; καὶ πῶς, ὅτε μὲν βαρύτερός ἐστιν, ἐπιμένει, κουφότερος δὲ γενόμενος καταφέρεται;

13. An propterea quod aer sursum fertur? uter enim ubi inanis quidem est, deorsum fertur, ubi vero inflatus, supra manet, quia aer elevat. Sed si aer elevet atque prohibeat quominus deorsum feratur, cur inflati graviores efficiuntur? et quomodo, ubi gravior quidem est, manet, levior vero factus defertur?

14. Διὰ τί ὁ ἀὴρ οὐκ ἄνω φέρεται; εἰ γὰρ τὰ πνεύματα τούτου κινουμένου ὑπὸ τοῦ θερμοῦ γίνεται, πέφυκε δὲ τὸ πῦρ ἄνω φέρεσθαι, καὶ τὸ πνεῦμα εἰς τὸ ἄνω ἐβάδιζεν, εἴπερ τό τε κινοῦν εἰς τὸ ἄνω θεῖ καὶ τὸ κινούμενον οὕτω πέφυκε φέρεσθαι· νῦν δὲ φαίνεται λοξὴν τὴν φορὰν ποιούμενος.

14. Cur aer non sursum fertur? nam si flatus aere a calore moto fiant, ignisque sublimia petere natus sit, flatus quoque sursum meare debuisset, siquidem tum res movens sursum currit, tum quod movetur, suapte natura ita fertur; nunc vero tramite ferri obliquo patet.

15. Διὰ τί τὸ ἀφ' ἕω ψυχρότερον ἢ τὸ ἀφ' ἑσπέρας; Ἢ ὅτι τὸ μὲν ἐγγύτερον μέσων νυκτῶν, τὸ δὲ μεσημβρίας, ἔστι δ' ἡ μεσημβρία θερμότατον διὰ τὸ εἶναι ἐγγύτατον ἡλίου, αἱ δὲ μέσαι νύκτες ψυχρότεραι διὰ τὸ ἐναντίον;

15. Cur aurora frigidior quam vespera est? An quoniam altera quidem noctis medio propior est, altera vero meridiei, est autem meridies diei pars calidissima, quia soli proxima est, noctes vero mediæ frigidiores propter obpositam causam?

16. Διὰ τί αἱ νύκτες τῶν ἡμερῶν ἐν ταῖς ἀλέαις πνιγηρότεραι; Ἢ διὰ τὴν ἄπνοιαν; οἱ γὰρ ἐτησίαι καὶ πρόδρομοι τὰς νύκτας ἧττον πνέουσιν.

16. Cur per æstum noctes molestiores quam dies sunt? An propter flatus absentiam? anniversarii namque et prævii venti noctu minus spirant.

17. Διὰ τί τὰ ἐν τοῖς ἀσκοῖς ἄσηπτα φυσηθεῖσι, καὶ ἐν τοῖς περιπωματιζομένοις; Ἢ διότι σήπεται μὲν κινούμενα, ἅπαντα δὲ τὰ πλήρη ἀκίνητα, ταῦτα δὲ πλήρη;

17. Cur incorrupta durant quæ utribus continentur inflatis, aut vasis operculo clausis? An quia putrent omnia, dum moventur; immota vero omnia sunt quæ plena; isthæc autem plena sunt?

18. Διὰ τί τῆς αἰθρίας μᾶλλον ψῦχος γίνεται ἢ ἐπινεφέλων ὄντων; τὰ δ' ἄστρα καὶ ὁ οὐρανὸς θερμός. Ἢ ὅτι οὐθὲν ἀποστέγει ἐν τῇ αἰθρίᾳ τὴν ἀτμίδα, ἀλλὰ διαχεῖται· ἐν δὲ τοῖς ἐπινεφέλοις ἀποστέγεται; Καὶ βορείων γε ἢ νοτίων διὰ τὸ αὐτό· ὁ μὲν γὰρ νότος ἄγει τὸ τοιοῦτον, ὁ δ' ἀπωθεῖ. Καὶ ἀτμίζειν δὲ φαίνεται βορείοις μᾶλλον ἢ νοτίοις, καὶ χειμῶνος ἢ θέρους. Ἢ παρὰ τὸ ἀνόμοιον; Ἢ ὅτι θερμοῦ ψυχομένου ἐστὶν ἡ ἀτμίς;

18. Quam ob causam aere sudo frigus fit acrius quam nubilo? stellæ enim calidæ sunt, uti et cœlum. An quia aere sudo nihil est quod vaporem arceat, sed diffunditur; at cœlo nubilo arcetur? Et aquilone magis quam austro, eadem de causa : auster enim hujusmodi res colligit, aquilo vero repellit. Et quidem aquilone magis quam austro evaporari videmus, et hyeme potius quam æstate. An propter dissimilitudinem? An quia vapor tum adest ubi calidum refrigeratur?

19. Διὰ τί ἀὴρ ὁ ἐλάττων θερμότερος τοῦ πλείονος; αἱ γὰρ στενοχωρίαι ἀλεεινότεραι. Ἢ διότι κινεῖται μᾶλλον ὁ πολύς, ἡ δὲ κίνησις ποιεῖ ψυχρόν; Σημεῖον δὲ τούτου, ὅτι κινούμενα ψύχεται τὰ θερμά.

19. Cur minor aeris copia majori calidior est? angusta enim omnia sunt tepidiora. An quia magis movetur copiosior; motus autem frigidum reddit? Cujus rei indicium est quod calida ubi moventur, refrigerantur.

20. Διὰ τί ὕδωρ μὲν καὶ γῆ σήπεται, ἀὴρ δὲ καὶ πῦρ οὐ σήπεται; Ἢ ὅτι θερμότατον γίνεται τὸ σηπόμενον ἅπαν, πυρὸς δ' οὐθὲν θερμότερον; Ἢ ὅτι ψυχθῆναι δεῖ πρότερον, τὸ δὲ πῦρ ἀεὶ θερμόν, ὁ δ' ἀὴρ πυρὸς πλήρης· σήπεται δ' οὐθὲν θερμόν, ἀλλὰ ψυχθέν· γῆ δὲ καὶ ὕδωρ καὶ ἀὴρ καὶ θερμὰ καὶ ψυχρὰ γίνεται;

20. Cur aqua quidem et terra putrent, aer vero et ignis non putrent? An quoniam omne quod putret, calidissimum fit, igne autem calidius nihil est? An quia refrigerari prius oportet, ignis autem calidus semper est, aerque igne refertus est; nihil vero putret, dum calidum est, sed refrigeratum; at terra et aqua et aer cum calida, tum frigida fiunt?

21. Διὰ τί τὰ ἐπινέφελα ἀλεεινότερα τῶν αἰθρίων; Πότερον ὡς οἱ ἀρχαῖοι ἔλεγον, ὅτι τὰ ἄστρα ψυχρά; Ἢ λίαν τοῦτό γ' ἄτοπον, ἀλλὰ διότι ἀτμίζει; Ἐπισημαντέον δ' ὅτι ἐν νηνεμίᾳ ἡ δρόσος καὶ ἡ πάχνη γίνεται. Ὅταν μὲν οὖν αἰθρία ᾖ, διαπνεῖ τὸ θερμόν, ὑφ' οὗ ἀνάγεται τὸ ὑγρόν, ὥστε ψυχρὸς ὁ ἀήρ· διὸ καὶ δροσίζει ἀφιέμενον τὸ ὑγρὸν ἀπὸ τοῦ θερμοῦ· ὅταν δ' ἐπινέφελον ᾖ, ἀποστέγεται· διὸ οὐ γίνεται δρόσος, οὐδὲ πάχνη ὄντων ἐπινεφέλων. Περὶ οὖν τὴν γῆν ὑπομένον τὸ θερμὸν ποιεῖ τὴν ἀλέαν.

21. Cur cœlum nubilum tepidius est quam serenum? Utrum, ut veteres dicebant, quia stellæ frigidæ sunt? An id absurdum admodum est, sed quia vapores emittit? Animadvertendum autem est quod vento silente ros et pruina consistunt. Ubi igitur serenum est, calor perspirat, quo humor evehitur, ita ut aer frigidus fiat: qua de causa etiam rorat humore a calore demisso; at ubi nubilum est, arcetur: quocirca nec ros, neque pruina fit, dum nubilum est. Ergo calor ad terram remanens teporem efficit.

22. Διὰ τί ἐν τοῖς ὑψηλοῖς τῶν οἴκων ὁ ἀὴρ διευριπίζει, καὶ μάλιστα ταῖς εὐδίαις; Ἢ διότι ὁ ἀὴρ πολύκενός τίς ἐστι τὴν σύγκρισιν; Ὅταν οὖν ἄρξηται εἴσω ῥεῖν, συγχωρεῖ ὁ ἐν τῷ οἰκήματι ἀὴρ καὶ συστέλλεται· τούτου δὲ συμπίπτοντος τῷ χρόνῳ πολυκενώτερος γίνεται ὁ ἔξωθεν, καὶ χώραν πολλὴν ἴσχει. Εἰς ταύτην οὖν τὴν χώραν πίπτει ὁ ἐκ τοῦ οἰκήματος ἀήρ, ὢν πλησίον, καὶ φέρεται εἰς ταύτην τὴν χώραν διὰ τὸ κρέμασθαι καὶ τὴν τοῦ κενοῦ φύσιν μὴ δύνασθαι ἀντιστηρίζειν. Κατὰ πολλὰ δ' αὐτοῦ μέρη τούτου συμβαίνοντος, ἕπεται αὐτῷ ὁ πλησίον διὰ τὴν πρόσωψιν· εἶτα πολλοῦ ἔξωθεν φερομένου ὁ μὲν ἔσω τόπος πολύκενος γίνεται, ὁ δ' ἔξω πυκνότερος, καὶ πάλιν ἔξωθεν εἴσω φέρεται, καὶ ταῦτα ἀλλάσσονται.

22. Cur in altis ædibus aer freti more reciprocat, præsertim quum cœlum serenum est? An quod aer in contextu suo multa continet interstitia? Ergo ubi hic intro fluere cœperit, cedit et contrahitur aer quem domus continet: quo concidente, tempore augetur numerus interstitiorum in eo qui foris est, et spatium multum continet. In hoc igitur spatium aer domus incidit, quippe quum prope adsit, ferturque in hoc spatium, quoniam suspensus est et natura inanis fulcire nequit. Quod ubi per multas ejus partes eveniat, proximus hunc aer insequitur ob propulsionem; tum hujus copia foras profluente, locus internus multa adquirit interstitia vacua; externus contra spissescit, rursusque foris introrsum fertur, atque hæc alternant.

ΤΜΗΜΑ ΚϚ.

ΟΣΑ ΠΕΡΙ ΤΟΥΣ ΑΝΕΜΟΥΣ.

SECTIO XXVI

QUÆ AD VENTOS PERTINENT.

1. Διὰ τί ὁ καικίας μόνος τῶν ἀνέμων ἐφ' ἑαυτὸν ἄγει τὰ νέφη; Ἢ ὅτι ἀφ' ὑψηλοτέρων τόπων πνεῖ; ἔστι γὰρ τὰ πρὸς ἕω ὑψηλότερα τῶν πρὸς ἑσπέραν (σημεῖον δὲ τὸ τῆς πρὸς ἑσπέραν θαλάττης μέγεθος καὶ βάθος)· πνέων δ' ἄνωθεν εἰς τοὐναντίον γραμμὴν ποιεῖ τῇ φορᾷ τὰ κοῖλα πρὸς τὴν γῆν ἔχουσαν, προσπίπτων δέ, ὡς εἴρηται, τοῖς πρὸς ἑσπέραν τῆς γῆς τόποις, καὶ συστέλλων τὰ νέφη διὰ τὸ τῆς γραμμῆς σχῆμα, τῇ ἐκεῖθεν ἀνακλάσει ἐπ' αὐτὸν ὠθεῖ αὐτά. Ποιεῖ δὲ μόνος τοῦτο τῶν λοιπῶν τῷ τοὺς μὲν ὑψηλοτέρους, τοὺς δ' ἐναντίους εἶναι τόπους, πρὸς οὓς ἐκ τοῦ κάτωθεν, ἢ ἐπ' εὐθείας τὴν φορὰν γίνεσθαι συμβαίνει, τὰ κυρτὰ πρὸς τὴν γῆν ἐχούσης, ὥστ' ἀνάκλασιν μὴ γίνεσθαι τοῦ πνεύματος τῷ μὴ πρὸς τὴν γῆν ἐχούσης ἀέρα ἔχειν τὴν τελευτὴν τῆς φορᾶς, ἐν ᾧ οὐδὲ νέφη ἐστὶ περὶ τὴν γῆν· τοῖς δ' ἧττον κοίλοις καὶ τῷ ἀπηλιώτῃ τῷ μὴ

1. Cur cæcias solus ventorum nubes ducit ad se? An quoniam de locis eminentioribus spirat? sunt enim partes quæ ad solem orientem vergunt, eminentiores quam quæ ad obcasum (indicium maris obcidui magnitudo facit et altitudo), quumque desuper in adversum spiret, lineam itinere suo terram versus concavam describit, regionemque terræ invadens, ut dixi, obciduam, nubesque ob lineæ suæ figuram contrahens, ad se suo inde reflexu eas pellit. Solus autem hoc præ ceteris facit, quia alia quidem loca editiora, alia vero contraria sunt, quæ versus aut inferne, aut e directo flatus ferri evenit, linea partem convexam terram versus obvertente, ita ut reflexus effici non queat, eo quod, linea faciem concavam non ad terram obversam habente, in aerem desinit venti iter, in quo non adsunt circa terram nubes; minus cavis vero et subsolano [idem non evenit], quoniam humidus non est, ita ut, quum nubes

εἶναι ὑγρόν· ὥστ' οὐ συνιστὰς ἧττον καταφανής ἐστιν αὐτοῦ ποιῶν τοῦτο ὃ ποιεῖ.

2. Διὰ τί βορέαι μὲν ἐτήσιοι γίνονται, νότοι δ' οὔ; Ἢ γίνονται μὲν καὶ νότοι, ἀλλ' οὐ συνεχεῖς, ὅτι πόρρω ἡμῶν ἡ ἀρχὴ τοῦ νότου ἐστίν, ὑπὸ δὲ τῷ βορέᾳ οἰκοῦμεν; Ἔτι οἱ μὲν ἐτησίαι βορέαι καθεστηκότος τοῦ ἀέρος πνέουσι (θέρους γὰρ πνέουσιν), οἱ δὲ νότοι ἦρος, ὅθ' ἧττον ἕστηκε τὰ περὶ τὸν ἀέρα. Πρὸς δὲ τούτοις ὁ μὲν νότος ὑγρός, τῷ δ' ὑγρῷ ὁ ἄνω τόπος ἀλλότριός ἐστιν· διὸ ταχὺ διαλύεται τὰ ἐν αὐτῷ συνιστάμενα ὑγρά. Καὶ τὰ ὑγρὰ πλανητικά ἐστιν, ὥστ' οὐ μένων ἐν ταὐτῷ τόπῳ συμμεθίστησι καὶ τὴν τοῦ ἀέρος κίνησιν· κινουμένου δὲ μὴ ἐν ταὐτῷ πνεύματα ἄλλα συμβαίνει γίνεσθαι· ἔστι γὰρ πνεῦμα ἀέρος κίνησις.

3. Διὰ τί νότος πνεῖ μετὰ πάχνην; Ἢ διότι ἡ μὲν πάχνη γίνεται πέψεως γινομένης, μετὰ δὲ τὴν πέψιν καὶ τὴν ἀποκάθαρσιν ἡ μεταβολὴ εἰς τοὐναντίον γίνεται, ἐναντίον δὲ τῷ βορρᾷ νότος ἐστίν; Διὰ ταὐτὸ δὲ καὶ μετὰ τὴν χιόνα πνεῖ νότος. Ὅλως δὲ καὶ ἡ χιὼν καὶ ἡ χάλαζα καὶ τὸ ὕδωρ καὶ πᾶσα ἡ τοιαύτη ἀποκάθαρσις πέψεως σημεῖόν ἐστιν· διὸ καὶ μετὰ τὸν ὑετὸν καὶ τὰς τοιαύτας χειμασίας πίπτει τὰ πνεύματα.

4. Διὰ τί αἱ τροπαὶ πνέουσιν; Ἢ διὰ τὸ αὐτὸ ὃ καὶ οἱ εὔριποι ῥέουσιν; μέχρι γὰρ τοῦ ῥεῖν καὶ ἡ θάλαττα φέρεται καὶ ὁ ἀήρ· εἶθ' ὅταν ἀντιπέσῃ καὶ μηκέτι δύνηται τὰ ἀπόγεια προάγειν διὰ τὸ μὴ ἰσχυρὰν ἔχειν τὴν ἀρχὴν τῆς κινήσεως καὶ φορᾶς, πάλιν ἀνταποδίδωσιν.

5. Διὰ τί αἱ τροπαὶ ἐκ τῆς θαλάττης εἰσίν; Ἢ ὅτι ἡ θάλαττα πλησίον; Ἢ ὅτι ἐναντίον ἐστὶ τῇ ἀπογείᾳ ἡ τροπαία, καὶ ἔστιν ἡ τροπαία οἷον ἀναστροφὴ ἀπογείας; ἡ δ' ἀπογεία τὸ ἐκ τῆς γῆς πρὸς τὴν θάλατταν πνεῦμα γινόμενον, ἡ δὲ τροπαία ἡ τούτου παλίρροια· ὥστ' ἀνάγκη ἐκ θαλάττης εἶναι. [Ἢ ἡ θάλαττά ἐστι] διὰ τὸ εἰς τὴν θάλατταν ἀθροισθῆναι τὸν ῥυέντα ἀέρα; τοῦ δὲ μὴ εἰς τὴν γῆν τοῦτο συνίστασθαι καὶ τοῦ ἀνακάμπτειν ἀπιὸν αἴτιον, ὅτι ἡ θάλαττα ἐν κοίλῳ ἐστίν· ὁ δ' ἀήρ, ὥσπερ τὸ ὕδωρ, ῥεῖ ἀεὶ εἰς τὸ κοιλότατον.

6. Διὰ τί οἱ ἐκνεφίαι ὕδατος γενομένου θᾶττον παύονται; Ἢ ὅτι αἱ κοιλίαι συμπίπτουσι τοῦ νέφους, ὕδατος γενομένου, ἐν αἷς ἡ ἀρχὴ τοῦ πνεύματος συνίσταται;

7. Διὰ τί οὐχ οἱ αὐτοὶ ἄνεμοι πανταχοῦ ὑέτιοί εἰσιν; Ἢ ὅτι οὐχ οἱ αὐτοὶ πανταχοῦ πρὸς ὄρη ἀντιπνέουσιν, ἀλλ' ἕτεροι κεῖνται πρὸς ἕτερα ὄρη; οἷον γὰρ πρὸς ἀνάντη μόλις ῥεόντων, ἐνταῦθα ὑφίσταται μᾶλλον τὰ νέφη, οὗ ἀδυνατεῖ ἔτι προωθεῖν αὐτὰ ἄνεμος· ὑφιστάμενα δὲ καὶ πιεζόμενα ῥήγνυται.

cogat, minus manifesto quam cæcias id ipsum faciat quod facit.

2. Cur aquilones quidem anniversarii fiunt, austri vero non fiunt? An fiunt quidem et austri, sed non continui, quia initium austri procul a nobis est, sub aquilone vero habitamus? Præterea aquilones anniversarii tranquillo aere flant, quippe qui per æstatem flant, dum austri vere oriuntur, quando aer minus stabilis est. Adde etiam quod auster quidem humidus est, ab humido autem superior locus alienus est: quamobrem humores qui oo in loco consistunt, cito dissolvuntur. Humores præterea erratici sunt, ita ut, quum eodem loco non maneat, secum transportet et aeris motum: quum autem non loco eodem moveatur, efficitur ut flatus alii oriantur: flatus enim motus aeris est.

3. Cur auster post pruinam flat? An quia pruina obtinente concoctione oritur, mutatio autem post concoctionem purgationemque fit in contrarium, aquilonique contrarius auster est? Hæc eadem causa est cur post nivem auster spiret. Omnino autem et nix et grando et imber et omnis id genus purgatio concoctionis indicium est: unde fit etiam ut post imbres ceterasque ejusdem generis tempestates flatus cadant.

4. Quamobrem flant tropæi? An eadem ratio est cur et euripi fluant? nam et mare et aer feruntur, donec profluunt; deinde ubi in obicem incidunt, nec amplius propellere valent terrestres, quia principium motus atque impetus habent imbecillum, tunc rursus reciprocant.

5. Cur tropæi de mari veniunt? An quia mare vicinum est? An quia tropæus terrestri obpositus, estque tropæus quasi inversio terrestris? terrestris enim flatus est ex terra ad mare profluens; hujus vero reciprocatio tropæus est, ita ut de mari eum venire necessum sit. An e mari venit, quoniam aer fluens collectus in mare est? ratio enim cur nec in terram consistat, et reflectatur abiens, quod mare in cavo situm est; aer autem modo aquæ semper ad id fluit quod cavissimum est.

6. Cur procellæ, hoc est venti qui excussi nubibus sæviunt, post imbrem ocius cessant? An quoniam post imbrem nubium cavi consident, in quibus flatus origo consistit?

7. Cur non iidem venti imbrem ubique adferunt? An quia non iidem montibus ubique obcurrunt, sed alii aliis montibus sunt objecti? quum enim ægre contra adclivia fluunt, nubes ibi magis consistunt, ubi eas amplius ventus propellere nequit; ubi autem consistunt et comprimuntur, rumpuntur.

8. Διὰ τί αἱ μὲν καθαραὶ δύσεις εὐδιεινὸν σημεῖον, αἱ δὲ τεταραγμέναι χειμερινόν; Ἢ ὅτι χειμὼν γίνεται συνισταμένου καὶ πυκνουμένου τοῦ ἀέρος; Ὅταν μὲν οὖν κρατῇ ὁ ἥλιος, διακρίνει καὶ αἰθριάζει αὐτόν, ὅταν δὲ κρατῆται, ἐπινεφῆ ποιεῖ. Ἐὰν μὲν οὖν ἰσχυρὰ ᾖ ἡ σύστασις, εὐθὺς ἡμέρας γίνεται χειμών· ἐὰν δ' ἀσθενεστέρα, μὴ παντάπασι δὲ κρατουμένη, τὸ συνιστάμενον ἐξωθεῖται πρὸς τὰς δύσεις, ἐνταῦθα δὲ μένει διὰ τὸ παχύτατον εἶναι τὸν περὶ τὴν γῆν ἀέρα τοῦ χειμῶνος. Ταχὺ δὲ συνίσταται καὶ ὁ ἄλλος διὰ τὸ ἔχειν ἀρχὴν καὶ ἔρεισμα, ὃ δέξεται καὶ ἀθροίσει τὸ προσιὸν καθάπερ ὄρθρος· ὥσπερ γὰρ ἐν τροπῇ ἑνὸς ἀντιστάντος καὶ οἱ ἄλλοι μένουσιν, οὕτω καὶ ἐπὶ τοῦ ἀέρος· διὸ ταχὺ καὶ ἐξαίφνης· ἐνίοτε γίνεται καὶ ἐπινέφελα. Ὅταν οὖν αἱ δύσεις τεταραγμέναι ὦσι, σημεῖόν ἐστιν ἰσχυρὸν ὅτι οὐ κεκράτηκεν ὁ ἥλιος τῆς συστάσεως, πολὺν χρόνον ἐναντιούμενος αὐτῇ, ὥστ' εἰκότως ἔστι συστῆναι πλέον. Καὶ ἧττον δ' ἐστὶ φοβερόν, ὅταν προχειμάσαντος ἢ ὅταν ἐξ εὐδίας τοῦτο συμβῇ· ἐκείνως μὲν γὰρ ἔοικεν ὥσπερ ὑπόλειμμά τι εἶναι, οὕτω δ' ἀρχὴ συστάσεως.

8. Quam ob causam obcasus purus quidem serenum indicat, turbulentus vero tempestatem hyemalem? An quod hyems aere consistente spissescenteque fit? Ergo ubi sol vincit, discernit serenumque reddit aerem; ubi vero vincitur, nubibus obfuscat. Quodsi igitur concrementum validum est, hyems continuo luce prima erumpit; si vero imbecillius, nec tamen ex toto subcumbens, obcasum versus depellitur quod consistit, ibique manet, eo quod aer terræ proximus hyeme crassissimus est. Mox reliquus quoque consistit, quoniam initium fulcimentumque obtinet, quod suscipere atque colligere possit quantum adcesserit, quo modo et diluculum: ut enim in acie conversa in fugam, uno consistente, ceteri quoque restant, sic et circa aerem fieri solet: quamobrem cito ac repente interdum prodeunt loca obnubila. Ubi igitur obcasus turbatus est, validum signum subpeditat, concrementum non victum esse a sole, etiamsi diu cum eo pugnaverit, ita ut merito plus consistere possit. Et quidem minus timendum, ubi hyeme prægressa quam ubi post serenum id adciderit, quippe quum illa ratione veluti reliquiæ quædam sunt; hac vero initium concrementi.

9. Διὰ τί λέγεται·

οὔ ποτε νυκτερινὸς βορέας τρίτον ἵκετο φέγγος;

Ἢ διότι ἀσθενῆ τὰ πνεύματα τὰ ἀπὸ τῆς ἄρκτου, ὅταν ᾖ νυκτερινά; σημεῖον γὰρ ὅτι οὐ πολὺς ὁ κινηθεὶς ἀήρ, τὸ τηνικαῦτα πνεῦσαι ὅτε ὀλίγη θερμότης ὑπῆρχεν· ἡ δ' ὀλίγη ὀλίγον ἐκίνει ἀέρα. Τελευτᾷ δ' ἐν τρισὶ πάντα, καὶ τὰ ἐλάχιστα ἐν τῇ πρώτῃ τριάδι, ὥστε καὶ τοῦτο τὸ πνεῦμα.

9. Cur dici solet:

Tertia lux numquam nocturno aquilone laborat?

An quod flatus septemtrionales imbecilli sunt, ubi noctu spirant? argumento enim est non copiosum esse aerem motum, quod eo tempore spirabat, quo calor exiguus suberat: exiguus namque calor exiguum aerem movebat. Atqui res omnes terno numero finiuntur minimæque primo ternario, ita ut hic quoque ventus iisdem finibus circumscribi debeat.

10. Διὰ τί ὁ βορέας πυκνότερον πνεῖ ἢ ὁ νότος; Ἢ ὅτι ὁ μὲν βορέας γειτνιῶν τῇ οἰκουμένῃ οὐ λανθάνει ὀλιγοχρόνιος ὤν (ἅμα γὰρ πνεῖ καὶ πάρεστιν), ὁ δὲ νότος οὐχ ἀφικνεῖται διὰ τὸ πόρρωθεν πνεῖν;

10. Cur aquilo crebrius quam auster spirat? An quoniam aquilo, utpote parti orbis terrarum habitatæ vicinus, non latet ubi parum temporis flat (nam simul atque spirat, etiam adest); at auster, quia e longinquo flat, non pervenit?

11. Διὰ τί ὁ νότος ἧττον μετὰ χειμερινὰς νύκτας πνεῖ ἢ μεθ' ἡμέρας; Ἢ ὅτι καὶ τῆς νυκτὸς ὁ ἥλιος ἐγγύς ἐστι τῇ πρὸς νότον χώρᾳ, καὶ ἀλεεινότεραι αἱ νύκτες ἐκεῖ ἢ πρὸς ἄρκτον αἱ ἡμέραι, ὥστε πολὺς κινεῖται ὁ ἀήρ, καὶ οὐθὲν ἐλάττων ἢ μεθ' ἡμέραν; Ἀλλ' αἱ θερμότεραι ἡμέραι κωλύουσι μᾶλλον πνεῖν, ξηραίνουσαι τὰς ὑγρότητας.

11. Cur auster minus hibernis noctibus quam diebus spirat? An quia sol etiam noctu australi regioni propinquus est, et noctes ibi tepidiores quam dies aquilonem versus sunt? Itaque aeris multum movetur, et nihilo minus quam interdiu; sed dies calidiores, quum humores exsiccant, impediunt quominus impensius flet.

12. Διὰ τί ἐπὶ κυνὶ ὁ νότος πνεῖ, καὶ τοῦτο ὥσπερ τι ἄλλο γίνεται τεταγμένως; Ἢ διότι θερμὰ τὰ κάτω, τοῦ ἡλίου πόρρω ὄντος, ὥστε πολλὴ ἡ ἀτμὶς γίνεται; Καὶ πολλοὶ δὴ ἔπνεον, εἰ μὴ διὰ τοὺς ἐτησίας· νῦν δ' οὗτοι κωλύουσιν. Ἢ ὅτι ἐπὶ πᾶσι μὲν σημαίνει τοῖς ἄστροις δυομένοις, ἢ ἐπιτέλλουσιν, οὐχ ἥκιστα δ' ἐπὶ τούτῳ; Δῆλον οὖν ὅτι πνεύματα μάλιστα ἐπὶ τούτῳ καὶ μετ' αὐτόν. Ἐπεὶ δὲ πνίγει, καὶ πνεύματα εἰκότως ἐπ' αὐτῷ τὰ θερμότατα κινεῖται· ὁ δὲ νότος θερμός ἐστιν.

12. Cur auster caniculæ tempore flat, idque ordine fit, si quid aliud? An propterea quod regio inferior sole remoto calida est, ita ut vapor copiosus fiat? Et multi revera austri spirarent, nisi anniversariis impedirentur; nunc vero anniversarii prohibent. An quia sideribus omnibus obcidentibus, vel orientibus signum datur, sed præcipue hoc sidere? Constat itaque flatus maxime hujus sideris tempore ac post id vigere. Verum quum æstu præstat, flatus quoque ejus tempore calidissimos moveri consentaneum est; auster autem calidus est.

13. Διὰ τί ἐπ' Ὠρίωνι γίνονται αἰόλοι μάλιστα αἱ ἡμέραι καὶ ἀκαιρίαι τῶν πνευμάτων; Ἢ ὅτι ἐν μεταβολῇ ἀεὶ πάντα ἀοριστεῖ μάλιστα, ὁ δ' Ὠρίων ἀνατέλλει μὲν ἐν ἀρχῇ ὀπώρας, δύνει δὲ χειμῶνος, ὥστε διὰ τὸ μήπω καθεστάναι μίαν ὥραν, ἀλλὰ τὴν μὲν γίνεσθαι, τὴν δὲ παύεσθαι, διὰ ταῦτα ἀνάγκη καὶ τὰ πνεύματα ἀκατάστατα εἶναι διὰ τὸ ἐπαμφοτερίζειν τὰ ἐξ ἑκατέρας; Καὶ χαλεπὸς δὴ λέγεται καὶ δύνων, καὶ ἀνατέλλων ὁ Ὠρίων διὰ τὴν ἀοριστίαν τῆς ὥρας· ἀνάγκη γὰρ ταραχώδη εἶναι καὶ ἀνώμαλον.

14. Διὰ τί ὁ νυκτερινὸς βορέας τριταῖος λήγει; Πότερον ὅτι ἀπὸ μικρᾶς καὶ ἀσθενοῦς ἀρχῆς, ἡ τρίτη δὲ κρίσιμος; Ἢ ὅτι ἀθρόος ἡ ἔκχυσις, ὥσπερ τῶν ἐκνεφιῶν; Ταχεῖα οὖν ἡ παῦλα.

15. Διὰ τί βορέαι πλεῖστοι πνέουσι τῶν ἀνέμων; Ἢ διὰ τὸ πρὸς τούτῳ τὴν οἰκουμένην τῷ τόπῳ ὑποκεῖσθαι ὄντι ὑψηλῷ καὶ ἔξω τροπῶν καὶ πλήρει χιόνος, ἣ οὐδέποτε ἔνια ὄρη λείπει; Τὸ πολὺ οὖν ὑγραινομένων τῶν πεπηγότων πολλάκις πνεῦμα γίνεται, τοῦτο δ' ἐστὶ βορέας, τὸ ἐκ τῶν ἀπὸ τῆς ἄρκτου τόπων πνεῦμα.

16. Διὰ τί οἱ νότοι πνέουσι μὲν χειμῶνος καὶ ἔαρος ἀρχομένου καὶ μετοπώρου λήγοντος, εἰσὶ δὲ κυματοειδεῖς καὶ συνεστραμμένοι, καὶ τοῖς ἐν Λιβύῃ ὁμοίως ψυχροὶ ὡς οἱ βορέαι ἐνταῦθα; Ἢ διότι πλησίον τοῦ ἡλίου ὄντος ἀνάγκη κινεῖσθαι τὰ πνεύματα, ὁ δ' ἥλιος τοῦ χειμῶνος πρὸς νότον φέρεται καὶ τοῦ μὲν ἔαρος ἀρχομένου, τοῦ δὲ μετοπώρου τελευτῶντος ἤδη θερμαίνει, τὸ δὲ θέρος πρὸς βορέαν φέρεται, ἐκείνους δ' ἀπολείπει τοὺς τόπους; θερμὸς δ' ἐστὶ διὰ τὸ μίγνυσθαι τὸ πνεῦμα τῷ κατὰ Λιβύην ἀέρι θερμῷ ὄντι, καὶ διὰ τοῦτο μεγαλοκύμων νοτίζειν ποιεῖ τὸ θέρος, ἐμπίπτων εἰς τὴν θάλατταν.

17. Διὰ τί ὁ νότος δυσώδης; Ἢ ὅτι ὑγρὰ καὶ θερμὰ ποιεῖ τὰ σώματα, ταῦτα δὲ σήπεται μάλιστα; Οἱ δ' ἐκ τῆς θαλάττης νότοι ἀγαθοὶ φυτοῖς· ἐκ θαλάττης γὰρ αὐτοῖς προσπίπτει· καὶ τῆς Ἀττικῆς τῷ Θριασίῳ πεδίῳ αἴτιον, διότι ἀπεψυγμένος ἀφικνεῖται· αἱ δ' ἐρυσίβαι γίνονται ὑπὸ ὑγρότητος θερμῆς μέν, ἀλλοτρίας δέ.

18. Διὰ τί ἄνεμος γίνεται πρὸ τῶν ἐκλείψεων ὡς τὰ πολλά, ἀκρόνυχον μὲν πρὸ τῶν μεσονυκτίων ἐκλείψεων, μεσονύκτιον δὲ πρὸ τῶν ἑῴων; Ἢ διότι ἀμαυροῦται τὸ θερμὸν τὸ ἀπὸ τῆς σελήνης διὰ τὸ πλησίον ἤδη φορὰν εἶναι, ἐν ᾧ γενομένῳ ἔσται ἡ ἔκλειψις; Ἀνιεμένου οὖν ᾧ κατείχετο ὁ ἀὴρ καὶ ἠρέμει, πάλιν κινεῖται καὶ γίνεται πνεῦμα τῆς ὀψιαίτερον ἐκλείψεως ὀψιαίτερον.

19. Διὰ τί ὁ νότος οὐκ ἀρχόμενος, ἀλλὰ λήγων ὑέτιος; Πότερον ὅτι πόρρωθεν συνάγει τὸν ἀέρα, γίνεται δὲ συνιστάντος τὸ ὕδωρ, συνίσταται δ' ὕστερον ἢ ἄρχεται; Ἢ ὅτι ἀρχομένου θερμός ἐστιν ὁ ἀὴρ ἔτι διὰ

13. Qua de causa Orionis exortu dies maxime variant flatuumque intempestivi obtinent impetus? An quoniam in mutatione semper omnia maxime sunt indeterminata; atqui oritur quidem Orion ineunte fructuum tempestate, obcidit vero hyeme, ita ut, quum nondum constat tempestas ulla, sed alia quidem incipit, alia vero cessat, flatus etiam inconstantes esse necesse est, utpote quum in utramque partem vergunt quæ ab utraque proveniunt? Et quidem difficilem esse Orionem cum orientem, tum obcidentem perhibent propter tempestatis instabilitatem: turbulentum enim atque inæquabilem esse necesse est.

14. Cur aquilo nocte exorsus die tertia cessat? Utrum quia ex parvo imbecillique initio prodit, tertia autem dies decretoria est? An quoniam universus simul modo procellarum nubibus excussarum funditur? Compendio igitur cessat.

15. Cur plurimi ventorum aquilones spirant? An quoniam pars orbis terrarum habitata huic loco subdita est eminentiori et extra solstitium posito nivisque pleno: quæ nix montibus nonnullis numquam deest? Plerumque igitur tabescentibus concretis humoribus sæpe fit ventus; is autem aquilo est, flatus nimirum qui ab ursæ regione venit.

16. Cur austri quidem tum hyeme atque ineunte vere, tum autumno cessante spirant, undabundique sunt et contorti, atque Africanis non minus frigidi quam regionis nostræ incolis aquilones? An propterea quod sole propinquo spiritum moveri necesse est, sol autem per hyemem austrum versus fertur, et ineunte vere desinenteque autumno jam calfacit, æstate contra septemtriones petit et loca relinquit illa? calidus enim propterea est, quia spiritus aeri Africæ miscetur, qui calidus est: hinc etiam in mare prorumpens magnos excitat fluctus, facitque australem æstatem.

17. Cur auster male olet? An quoniam humida et calida reddit corpora, hæc autem maxime putrescunt? Austri vero ex mari provenientes stirpibus prosunt: nam ex mari in eas incidunt, et Thriasio campo terræ Atticæ auster [fertilitatis] causa est, quoniam refrigeratus adcedit; rubigo autem per humorem calidum, sed alienum consistit.

18. Cur ventus magna ex parte ante lunæ defectus excitatur, prima quidem vespera ubi defectus media fit nocte; media vero nocte, ubi mane? An quoniam calor lunæ propterea hebetatur, quia cursus jam proximus est, quo ubi pervenerit, defectus incidet? Remittente itaque calore, quo detinebatur aer ac quiescebat, rursum movetur ac in flatum convertitur, idque eo serius, quo serius evenit defectus.

19. Cur auster non incipiens, sed desinens imbrem adfert? Utrum quod aerem cogit e longinquo, fit autem pluvia ubi cogit, cogitur autem postea quam cœperit? An quoniam incipiente eo calidus adhuc aer est, quum

τὸ ἐκ τοιούτου ἐληλυθέναι, ἐπιχρονιζόμενος δὲ ψυχθεὶς συνίσταται μᾶλλον εἰς ὕδωρ;

profectus ab hujusmodi sit; processu autem temporis refrigeratus in aquam potius cogitur?

20. Διὰ τί ὁ νότος, ὅταν μὲν ἐλάττων ᾖ, αἴθριός ἐστιν, ὅταν δὲ μέγας, νεφώδης καὶ χρονιώτερος; Πότερον, ὥσπερ τινὲς λέγουσι, διὰ τὴν ἀρχήν; ἐὰν μὲν γὰρ ἀπ' ἐλάττονος, αἴθριος, ἐὰν δ' ἀπὸ πλείονος ὁρμήσῃ, νεφελώδης. Ἢ ὅτι ἐλάττων ἀρχόμενός ἐστιν, ὥστ' οὐ πολὺν ἀέρα ὠθεῖ, ἐπὶ τέλει δ' εἴωθε γίνεσθαι μέγας; διὸ καὶ παροιμιάζεται·

ἀρχομένου γε νότου καὶ λήγοντος βορέαο.

20. Quam ob causam auster ubi minor quidem est, serenus est, ubi vero major, nubilus et diuturnior? Utrum, ut quidam aiunt, propter initium? nam si ex minori proficiscatur principio, serenus est: sin vero ex ampliori, nubilus. An quia minor est incipiens, ita ut non multum aeris pellat; versus finem contra magnus fieri solet? unde et proverbium fertur:

quum cessat boreas, quumque auster surgere cœpit.

21. Διὰ τί προΐεται τοῦ χειμῶνος ἀπὸ τῆς ἕω τὰ πνεύματα, τοῦ θέρους δὲ καὶ ἀφ' ἑσπέρας; Ἢ ὅτι ὅταν μηκέτι κρατῇ ὁ ἥλιος, ἀφιέμενος ὁ ἀὴρ ῥεῖ; Δύνων τ' οὖν καταλείπει νέφη, ἀφ' ὧν οἱ ζέφυροι· καὶ ὅσον ἂν ἐπαγάγῃ ἐκείνοις τοῖς ἐν τῷ κάτω ἡμισφαιρίῳ οἰκοῦσιν, ἑωθινὸν πνεῦμα γίνεται· τἀναντία δέ, ὅταν δύνῃ ἐν τῷ κάτω μέρει, ἐκείνοις τε ζεφύρους ποιήσει καὶ ἐνταῦθα ἑωθινὸν πνεῦμα ἀπὸ τοῦ ἑπομένου ἀέρος αὐτῷ. Διὰ τοῦτο κἂν καταλάβῃ ἄλλον ἄνεμον, μείζων γίνεται αἱρομένου, ὅτι προσέθηκεν.

21. Cur tempore hiberno ab ortu emittuntur flatus, æstivo vero ab obcasu? An quoniam ubi sol non amplius vincit, aer libere profluit? Obcidens igitur nubes relinquit, unde favonii prodeunt, et quodcumque secum adduxerit ad eos qui inferius hemisphærium incolunt, spiritus fit orientalis; contra ubi in parte inferiori obcidit, favonios illis, subsolanum vero hic ope aeris qui eum insequitur, faciet. Unde fit ut, si quem alium ventum occupaverit, augetur sublato, quod eum sibi adjunxit.

22. Διὰ τί οἱ κύνες τὰ ἴχνη ἥκιστα εὑρίσκουσι ζεφύρου πνέοντος; Ἢ διότι μάλιστα συγχεῖ διὰ τὸ συνεχέστατος εἶναι τῶν ἀνέμων καὶ μάλιστα ὑπὸ τὴν γῆν πνεῖν;

22. Cur flante favonio canes vestigia pessime legunt? An quia plurimum confundit, quoniam ventorum omnium continentissimus est atque maxime sub terram flat?

23. Διὰ τί, ὅταν ἀστέρες διάττωσιν, ἀνέμου σημεῖον; Ἢ ὅτι ὑπὸ τοῦ πνεύματος φέρονται, καὶ πρότερον ἐκεῖ γίνεται πνεῦμα ἢ παρ' ἡμῖν; διὸ καὶ ἀφ' οὗ ἂν τόπου φέρωνται οἱ ἀστέρες, ἐν τούτῳ καὶ τὸ πνεῦμα γίνεται.

23. Quam ob causam, ubi stellæ prosiliunt, venti indicium datur? An propterea quod a flatu feruntur, priusque ibi quam apud nos flatus fit? hinc etiam, undecumque stellæ feruntur, eo in loco flatus fit.

24. Διὰ τί μεγίστας νεφέλας τῶν ἀνέμων ὁ ζέφυρος ἄγει; Ἢ διότι ἐκ πελάγους πνεῖ καὶ κατὰ τὴν θάλατταν; Ἐκ πολλοῦ οὖν καὶ συνάγει.

24. Cur nubes maximas ventorum favonius agit? An quia de alto spirat ac super mari? Ex amplo igitur spatio colligit etiam.

25. Διὰ τί οἱ ἐπὶ τέλει ἄνεμοι μέγιστοι; Ἢ ὅτι ὅταν ἀθρόοι ἐκπνεύσωσιν, ὀλίγον τὸ θερμόν;

25. Cur venti ad postremum vehementissimi? An quia, postquam conferti efflarunt, caloris parum relinquitur?

26. Διὰ τί, ἐὰν περὶ ἰσημερίαν λὶψ πνεύσῃ, ὕδωρ γίνεται; Ἢ ὅτι καθ' ὃν ἂν ᾖ ὁ ἥλιος τόπον τοῦ κόσμου, τὰ ἐντεῦθεν πνεύματα κινεῖ; διὸ καὶ ἡ τῶν πνευμάτων περίστασις κατὰ τὴν τοῦ ἡλίου φορὰν γίνεται. Ἐπεὶ δ' ἡ ἰσημερία μεθόριόν ἐστι χειμῶνος καὶ θέρους, ὅταν συμβῇ τὸν ἥλιον κατὰ τὴν ἡμῖν φαινομένην ἰσημερίαν ὑπερβεβληκέναι ἢ ἐκλείπειν τοῦ ἀκριβοῦς ὅρου καὶ εἶναι μᾶλλον ἐν τοῖς χειμερίοις, συμβαίνει τοὺς ἐκ τούτου τοῦ μέρους ἀνέμους πνεῖν, ὧν ἐστι πρῶτος λίψ, ὢν ὑγρὸς φύσει. Ὄντος δὲ τοῦ ἡλίου μᾶλλον ἐν τῷ χειμερίῳ μέρει τοῦ κόσμου, καὶ κινοῦντος τὰ ἐν αὐτῷ πνεύματα, τὰ χειμῶνος ἔργα συμβαίνει γίνεσθαι· τούτων δ' ἐστὶν ὁ ὄμβρος. Ἔτι δ' ἐπειδὴ ἡ ἰσημερία ἐστὶ καθάπερ χειμὼν καὶ θέρος ἰσοκρατής, ἐὰν ὁποτερῳοῦν αὐτῶν τι προστεθῇ, εὔσημον τὴν ῥοπὴν ποιεῖ, καθάπερ ἐπὶ τῶν ἰσαζόντων ζυγῶν· ἐπεὶ δ' ὁ λίψ

26. Cur, si circa æquinoctium africus spiravit, aqua fit? An quia, quemcumque mundi locum occupaverit sol, inde flatus excitantur? propterea et pro solis cursu vicissitudo flatuum agitur. Atqui quum æquinoctium hyemis atque æstatis confinium sit, quando evenit ut sol eo tempore quod nobis æquinoctium esse videtur, aut justum transgressus sit limitem, aut retro manserit atque potius in regione restiterit hyemali, adcidit ut venti ex illa regione spirent, quorum primus africus est natura humidus. Ubi vero sol in parte mundi hiberna adest, flatusque regionis ejusdem movet, evenit ut hyems suis fungatur muneribus: cujus generis imber est. Ad hæc, quum æquinoctium tamquam æquilibrium hyemis atque æstatis sit, si alterutri earum quidquam additum sit, notabile efficit momentum, ut in æquilibribus

ἔκ τε τῆς χειμερίου τάξεώς ἐστι καὶ ὑγρὸς φύσει, προστεθεὶς ἐν τῇ ἰσημερίᾳ ῥοπὴν χειμῶνος ἐποίησε καὶ ὄμβρον· ὁ γὰρ ὄμβρος χειμών ἐστιν οἰκειότατος τῷ πνεύσαντι πνεύματι.

lancibus; at quum africus hiberni ordinis sit naturaque humidus, in æquinoctio additus hyemale momentum imbremque adfert: imber enim hyems est vento tunc flanti familiarissima.

27. Διὰ τί ὁ νότος καὶ ὁ εὖρος θερμότεροι ὄντες τῶν ἐναντίων, ὁ μὲν τοῦ βορέου, ὁ δὲ τοῦ ζεφύρου, ὑδατωδέστεροί εἰσιν, καίτοι διὰ ψυχρότητα ὕδωρ ἐξ ἀέρος γίνεται; οὐ γὰρ διὰ τὸ ἀπωθεῖν τὸν βορέαν ἐντεῦθεν γίνεται τὰ νέφη· ὁ γὰρ ζέφυρος καὶ ὁ εὖρος ἀπάγουσιν ἄμφω (ὁμοίως γὰρ πλάγιοι), καὶ οἱ ἄλλοι δὲ πάντες, ὅθεν πνέουσιν. Πότερον ὅτι ἀντιπεριίσταται τὸ ψυχρὸν εἴσω μᾶλλον, ὅταν ᾖ ἔξω τὸ θερμὸν μᾶλλον; Ἢ ἔστι μέν τι καὶ τὸ ὅθεν πνέουσιν, αἰθρίους εἶναι (καὶ γὰρ εὖρος ἀπ' ἠοῦς ἐστιν, ἥδε δ' ἡ χώρα πρὸς ἑσπέραν κεῖται, καὶ ζέφυρος), ἀλλὰ καὶ διότι πρότερον θερμαινόμενος ὁ ἀήρ, ὥσπερ καὶ τὰ ὕδατα, τάχιστα καὶ μάλιστα ψύχεται; Φέρεται οὖν ὁ μὲν ἀπὸ τοῦ εὔρου ἀπ' ἀνατολῆς ἀὴρ θερμός, ὁ δ' ἀπὸ τοῦ νότου ἀπὸ μεσημβρίας. Ὅταν οὖν ἔλθωσιν εἰς τὸν ψυχρότερον τόπον, ταχὺ πήγνυνται καὶ συνίστανται εἰς ὕδωρ, καὶ μᾶλλον ὁ εὖρος ποιεῖ ὕδωρ, ὅτι ἀπὸ τοῦ ἡλίου μᾶλλον φέρει τὸν ἀέρα, καὶ ὁμοίως θερμόν. Ὁ δὲ νότος λήγων ὑδατώδης, ὅτι ψυχρὸς ὁ πρῶτος φερόμενος ἀὴρ ἀπὸ τῆς θαλάττης, ὁ δὲ τελευταῖος διάθερμος ὢν ἀπὸ τῆς γῆς κομίζει. Ἢ οὐ μόνον τοῦτ' αἴτιον, ἀλλ' ὅτι καὶ μείζων λήγων ὁ νότος γίνεται; διὸ καὶ ἡ παροιμία εἰς αὐτόν·

ἀρχομένου τε νότου.

Οἱ δὲ μείζους ψυχρότεροι· ὥστε πηγνύει ὕστερον τὰ νέφη. Ἢ διὰ τοῦτο ὑδατωδέστερος ἢ ἀρχόμενος;

27. Cur auster atque eurus, etiamsi flatibus sibi objectis calidiores sint, alter quidem aquilone, alter vero favonio, aquæ fertiliores sunt, quamquam propter frigus aer in aquam convertitur? haud enim quod aquilo hinc nubes pellit, ideo fit: nam et favonius et eurus ambo nubes abigunt (pari enim modo transversi sunt); quin etiam ceteri omnes, unde spirant. Utrum quia frigus amplius intro circumobsistitur, ubi calor extra amplior adest? An aliquid sane etiam eo confert regio, unde spirant, ut sereni sint (eurus namque ab ortu venit, nostra vero regio, æque ac favonius, versus obcasum sita est); verum fit etiam quoniam aer præcalfactus celerrime ac plenissime refrigeratur, quomodo etiam aquæ? Igitur aer ab euro quidem, quippe ab ortu, calidus fertur, itemque ab austro, utpote a meridie. Ubi igitur ad frigidiorem locum devenere, compendio concrescunt atque in aquam consistunt, magisque eurus aquam agit, quoniam aerem potius de sole, nec minus calidum, ducit. Auster vero cessans aquam mittit, quoniam aer qui primus ex mari fertur, frigidus est, ultimus autem qui penitus calidus est, ex terra adfert. An non id solum causa est, sed etiam quod ad postremum auster crescit? unde et de illo fertur proverbium:

quumque auster surgere cœpit.

Atqui vehementiores sunt frigidiores, ita ut postmodum nubes cogat. An id ipsum ratio est cur fertilior aquæ quam principio sit?

28. Διὰ τί οἱ ἄνεμοι ξηραίνουσι ψυχροὶ ὄντες; Ἢ διότι ἀτμίζειν ποιοῦσιν οἱ ψυχρότεροι; Διὰ τί δὲ μᾶλλον ἢ ὁ ἥλιος; Ἢ διότι ἀπάγουσι τὴν ἀτμίδα, ὁ δ' ἥλιος καταλείπει; Ὑγραίνει μὲν οὖν μᾶλλον, ξηραίνει δ' ἧττον.

28. Cur venti siccant, etiamsi frigidi sint? An quoniam qui frigidiores sunt, vaporem eliciunt? Sed cur amplius siccant quam sol? An quia vaporem abigunt; sol autem relinquit? Magis itaque humectat, minus vero exsiccat.

29. Διὰ τί ὁ καικίας μόνος τῶν ἀνέμων ἐφ' ἑαυτὸν ἄγει τὰ νέφη, ὥσπερ καὶ ἡ παροιμία λέγει·

ἕλκων ἐφ' αὑτὸν ὥστε καικίας νέφος;

οἱ γὰρ ἄλλοι, ὅθεν ἂν πνέωσιν, ἐνταῦθα ἀναστέλλουσιν. Πότερον αἴτιον ὅτι ἅμα ὁ ἐναντίος πνεῖ; Ἢ οὐκ ἂν ἐλάνθανεν, ἀλλὰ πέφυκε τὸ πνεῦμα κύκλου γραμμὴν φέρεσθαι; Οἱ μὲν οὖν ἄλλοι περὶ τὴν γῆν πνέουσιν· τοῦτο δὲ τὸ κοῖλον τῆς γραμμῆς πρὸς τὸν οὐρανὸν καὶ οὐκ ἐπὶ τὴν γῆν ἐστιν, ὥστ' ἐπὶ τὴν ἀρχὴν πνέων ἐφ' ἑαυτὸν τὰ νέφη ἄγει.

29. Cur unus ventorum cæcias nubes ad se vocat: quod etiam proverbium declarat:

Ut cæcias nubes, sic ille trahit opes?

ceteri namque, unde spirant, inde remittunt. Utrum causa est quod ventus adversus eodem tempore spirat? An non latuisset, sed ventus hic suapte natura circulari linea fertur? Ergo ceteri quidem circum terram flant, hic vero cœlum versus suæ lineæ cavum, non vero ad terram dirigit, ita ut suam originem flando repetens nubes ad se ducat.

30. Διὰ τί ἀπὸ μὲν τῆς θαλάττης οὐκ ἀποπνεῖ ἕωθεν ψυχρόν, ἀπὸ δὲ τῶν ποταμῶν; Ἢ ὅτι ἡ μὲν θάλαττά ἐστιν ἐν ἀναπεπταμένοις τόποις, οἱ δὲ ποταμοὶ ἐν στενοῖς; Ἡ οὖν ἀπὸ τῆς θαλάττης αὔρα εἰς πολὺν τόπον σκίδναται, ὥστ' εἶναι ἀσθενής, ἡ δ' ἀπὸ τῶν ποταμῶν ἀθρόος φέρεται καὶ μᾶλλον ἰσχύει· διὸ μᾶλλον εἰκότως φαίνεται ψυχρά. Ἢ οὐ τοῦτ' ἐστὶν αἴτιον, ἀλλ' οἱ μὲν ποταμοὶ ψυχροί εἰσιν, ἡ δὲ θάλαττα οὔτε θερμή,

30. Quam ob causam de mari quidem mane aura frigida non spirat, de fluminibus vero spirat? An quoniam mare quidem in locis patulis situm est, flumina vero in angustis? Aura igitur maris in amplum locum dispalatur, ita ut imbecillis sit, fluminum autem universa simul fertur atque amplius valet: quapropter frigidior merito adparet. An causa non in eo est, sed flumina quidem frigida sunt, mare vero neque calidum, nec frigidum? fit namque aura

οὔτε ψυχρά; γίνεται δ' ἡ αὔρα καὶ ἀποπνοὴ θερμαινομένων ἢ ψυχομένων· ὁπότερον γὰρ ἂν τούτων πάσχῃ, ἐξαεροῦται, ἐξαερουμένου δὲ τοῦ ὕδατος ὁ ἀὴρ γινόμενος φέρεται, ὅ ἐστιν αὔρα. Τὸ μὲν οὖν ἀπὸ τῶν ψυχρῶν ψυχρὸν εἰκότως ἀποπνεῖ, τὰ δ' ἀπὸ τῶν σφόδρα θερμῶν ἀποπνέοντα ψύχεται καὶ γίνεται ψυχρά. Τοὺς μὲν οὖν ποταμοὺς ψυχροὺς ἅπαντας εὕροι τις ἄν, ἡ δὲ θάλαττα οὔτε ψυχρά, οὔτε θερμὴ σφόδρα ἐστίν. Οὔτ' οὖν τὸ ἀποπνέον ψυχρὸν ἀπ' αὐτῆς ἐστι, διὰ τὸ μὴ ψυχρὰν εἶναι σφόδρα, οὔτε ψύχεται ταχύ, διὰ τὸ μὴ θερμὴν εἶναι σφόδρα.

31. Διὰ τί ὁ ζέφυρος εὐδιεινὸς καὶ ἥδιστος δοκεῖ εἶναι τῶν ἀνέμων, καὶ οἷον καὶ Ὅμηρος ἐν τῷ Ἠλυσίῳ πεδίῳ (Ὀδ. δ, 567)·

ἀλλ' αἰεὶ ζεφύροιο διαπνείουσιν ἀῆται;

Ἢ πρῶτον μὲν ὅτι ἔχει τὴν τοῦ ἀέρος κρᾶσιν; οὔτε γὰρ θερμὸς ὥσπερ οἱ ἀπὸ μεσημβρίας καὶ ἕω, οὔτε ψυχρὸς ὥσπερ οἱ ἀπὸ τῆς ἄρκτου, ἀλλ' ἐν μεθορίῳ ἐπὶ τῶν ψυχρῶν καὶ θερμῶν πνευμάτων· γειτνιῶν δ' ἀμφοῖν τῆς δυνάμεως αὐτῶν κοινωνεῖ· διὸ καὶ εὔκρατός ἐστι καὶ πνεῖ ἔαρος μάλιστα. Ἔτι τὰ πνεύματα περιίσταται ἢ εἰς τἀναντία, ἢ εἰς τὰ δεξιά. Μετὰ οὖν τὸν βορέαν πνέων (ἐπὶ δεξιὰ γὰρ ὁ τόπος) εὐδοκιμεῖ, ὥσπερ παρὰ χαλεπὸν πρᾷος. Καὶ ἅμα ὅταν ἀποχειμάσῃ, εὐδία εἴωθε γίνεσθαι ὡς ἐπὶ τὸ πολύ· ὁ δὲ βορέας χειμέριος ἄνεμος. [Καὶ ὁ ἀπηλιώτης δ' ἐν τῷ μέσῳ ὢν τῶν θερμῶν καὶ τῶν ψυχρῶν πνευμάτων ἧττον αὐτοῖς κοινωνεῖ· ἀπηλιώτης μὲν γὰρ πνέων τὰ πρὸς νότου πνεύματα κινεῖ (ἐνταῦθα γὰρ ἡ μετάστασις αὐτοῦ ἐστιν), κινῶν δ' οὐ μίγνυται αὐτοῖς· ὁ δὲ ζέφυρος καὶ κινεῖται ὑπὸ τῶν νοτίων, καὶ πνέων κινεῖ τὰ βόρεια· τελευτᾷ γὰρ ἐνταῦθα ἡ περίοδος τῶν πνευμάτων· διὸ τῶν μὲν τὴν τελευτήν, τῶν δὲ τὴν ἀρχὴν ἔχων ἐν αὐτῷ δικαίως ἡδύς ἐστι καὶ δοκεῖ εἶναι.]

32. Διὰ τί ἐπὶ κυνὶ νότος πνεῖ; Ἢ ὅτι ἐπὶ πᾶσι μὲν σημαίνει τοῖς ἄστροις δυομένοις ἢ ἐπιτέλλουσιν, οὐχ ἥκιστα δ' ἐπὶ τούτῳ; Δῆλον οὖν ὅτι πνεύματα μάλιστα ἐπὶ τούτῳ καὶ μετ' αὐτόν. Ἐπεὶ δὲ πνίγει, καὶ πνεύματα εἰκότως ἐπ' αὐτῷ τὰ θερμότατα κινεῖται· ὁ δὲ νότος θερμός ἐστιν. Ἐπεὶ δ' εἴθισται μάλιστα ἐκ τῶν ἐναντίων εἰς τὰ ἐναντία μεταβάλλειν, πρὸ κυνὸς δ' οἱ πρόδρομοι πνέουσιν ὄντες βορέαι, εἰκότως μετὰ κύνα νότος πνεῖ, ἐπειδὴ ἐπισημαίνει μέν, ἐπιτέλλουσι δὲ τοῖς ἄστροις· τὸ δ' ἐπισημαίνειν ἐστὶ μεταβολὴν τοῦ ἀέρος ποιεῖν· μεταβάλλει δὲ πάντα εἰς τοὺς ἐναντίους, ἢ τοὺς ἐπὶ δεξιὰ ἀνέμους τὰ πνεύματα. Ἐπεὶ δὲ βορέας εἰς τοὺς ἐπιδεξίους μεταβάλλει, εἴη ἂν αὐτῷ λοιπὸν εἰς νότον μεταβάλλειν. Ἔστι δὲ καὶ ἡ μετὰ τὰς χειμερινὰς τροπὰς πεντεκαιδεκάτη νότιος, διὰ τὸ τὰς μὲν τροπὰς ἀρχήν τινα εἶναι, κινεῖν δὲ τὸν κατ' αὐτὴν μάλιστα ἀέρα τὸν ἥλιον, εἶναι δ' ἐν ταύταις ταῖς τροπαῖς πρὸς νότον. Καθάπερ οὖν καὶ τὰ ἀπ' ἀνατο-

ac exhalatio humoribus vel calescentibus, vel frigescentibus : utrum enim ex his passa fuerit aqua, in aerem convertitur : quod ubi fit, aer inde ortus fertur, idque aura est. Quodsi igitur a frigidis proficiscatur, frigida merito spirat; quæ vero a valde calidis flant, refrigerantur ac frigidæ fiunt. Fluvios igitur frigidos comperire omnes possumus; mare autem nec frigidum, neque calidum valde est. Itaque nec frigidum est quod ab eo spirat, quia mare valde frigidum non est, nec cito refrigeratur, quia valde calidum non est.

31. Cur favonius serenus ac jucundissimus ventorum omnium est, et qualem Homerus in campo Elysio cecinit :

Sed zephyri adsidue spirant auræque salubres?

contristemur, sed qua de causa, dicere non possimus; alias contra ut hilares simus, sed quamobrem, non constet. Adfectus igitur hujusmodi, itemque illi quos supra memoravimus, parva quadam proportione consistunt in omnibus omnes enim aliquid illius facultatis sibi admistum habent; sed quibuscumque ad fundum usque admistum est, ii jam morum qualitate quadam insignes sunt : ut enim specie varii fimus, non quod faciem habemus, sed quia faciem certa quadam qualitate præditam, alii quidem pulchram, alii vero turpem, et qui nihil eximii habent, ii media sunt natura, sic etiam qui leviter quidem hujusmodi temperamentum participant, ii medium tenent, magnæ vero copiæ participes jam dissimiles multitudini sunt : nam si perquam merus habitus sit, melancholici admodum sunt; sin autem quemdam in modum temperati sint, insignes. Hi tamen si parum sibi consulant, in morbos ab atra bile oriundos vergunt, alii parte alia sui corporis, atque apud alios quidem morbus comitialis signum sui dat, apud alios vero adtonitus, apud alios animæ dejectiones validæ, aut timores, apud alios tandem audacia permagna : quod etiam Archelao regi Macedoniæ usu eveniebat. Causa vero hujusmodi facultatis temperamentum est, prout refrigerationis et caliditatis ergo se habuerit : nam si ultra modum frigidum sit, animi dejectiones creat ratione carentes : quapropter et suspendia maxime quidem apud juvenes, interdum tamen et apud ætate provectiores obcurrunt. Multi etiam post ebrietatem sese interimunt. Nonnulli vero ex melancholicis post compotationes dejecto sunt animo : calor enim naturalis a calore vini exstinguitur. Calor autem, qui eam detinet sedem qua et sapimus et speramus, facit ut hilares simus, atque hac de causa omnes ut ad vinolentiam usque potent, prompto animo dispositi sunt, quia omnes spe bona vini copia adficit, quemadmodum juventus pueros : senectus enim desperare solet, juventus vero spe plena est. Sunt autem pauci quidam qui inter potandum animum dejiciant eadem de causa, cur etiam post potum nonnulli dejiciant. Quibuscumque igitur calore emarcescente fiunt animi dejectiones, ii sibi laqueo potius gulam frangunt : quare et juvenes, vel etiam senes, laqueo potius se interimunt : senectus enim calorem marcescere facit, illorum vero adfectus secundum naturam est, et ipsum quod marcescit, calidum est; quibus autem caloris exstinctione animus dejicitur, ii plerumque repente sibi manus inferunt, ita ut omnes mirentur, quoniam antea nullum signum dederant. Ubi igitur temperamentum ab atra bile oriundum frigidius fit, varias, ut dictum est, animi dejectiones gignit; ubi vero calidius, hilaritates : quocirca et pueri quidem lætiores, senes vero tristiores sunt : illi enim calidi, hi vero frigidi sunt, quippe quum refrigeratio quædam sit senectus. Adcidit vero ut calor subito causis quoque externis exstinguatur, quemadmodum et præter naturam rebus candentibus evenit, ceu carboni aqua superinfusa : unde fit etiam ut post ebrietatem nonnulli sibi ipsi manus inferant : calor enim ex vino proveniens adventitius est : quo exstincto supervenit adfectus. Et post coitum quoque animum plerique plus minusve dejiciunt : qui vero copiam excrementi cum semine projiciunt, ii hilariores evadunt, quippe quum excremento et flatu atque calore nimio levan-

λάκις· καταψύχονται γὰρ ἀφροδισιάσαντες διὰ τὸ τῶν ἱκανῶν τι ἀφαιρεθῆναι. Δηλοῖ δὲ τοῦτο τὸ μὴ πολλὴν τὴν ἀπορροὴν γεγονέναι. Ὡς οὖν ἐν κεφαλαίῳ εἰπεῖν, διὰ μὲν τὸ ἀνώμαλον εἶναι τὴν δύναμιν τῆς μελαίνης χολῆς ἀνώμαλοί εἰσιν οἱ μελαγχολικοί· καὶ γὰρ ψυχρὰ σφόδρα γίνεται καὶ θερμή· διὰ δὲ τὸ ἠθοποιὸς εἶναι (ἠθοποιὸν γὰρ τὸ θερμὸν καὶ ψυχρὸν μάλιστα τῶν ἐν ἡμῖν ἐστιν), ὥσπερ ὁ οἶνος πλείων καὶ ἐλάττων κεραννύμενος τῷ σώματι, ποιεῖ τὸ ἦθος ποιούς τινας ἡμᾶς· ἄμφω δὲ πνευματικά, καὶ ὁ οἶνος καὶ ἡ μέλαινα χολή. Ἐπεὶ δ' ἔστι καὶ εὔκρατον εἶναι τὴν ἀνωμαλίαν καὶ καλῶς πως ἔχειν, καὶ ὅπου δεῖ θερμοτέραν εἶναι τὴν διάθεσιν καὶ πάλιν ψυχράν, ἢ τοὐναντίον διὰ τὸ ὑπερβολὴν ἔχειν, περιττοὶ μέν εἰσι πάντες οἱ μελαγχολικοί, οὐ διὰ νόσον, ἀλλὰ διὰ φύσιν.

tur; illi vero tristiores sæpe redduntur : coitu enim refrigerantur, eo quod de elementis utilibus aliquid subtrahitur : id quod effluvii paucitate probatur. Ut igitur summam dictorum colligamus, melancholici inæquales propterea sunt, quia vis atræ bilis inæqualis est, quippe quæ vehementer tum frigida, tum calida redditur; quoniam autem obtinet vim morum instituendorum (mores enim calidum condit et frigidum omnium maxime quæ nostro corpore continentur), idcirco nos morum qualitate adficit quadam, ceu vinum, prout majori minorive copia corpori admiscetur; flatuosa autem sunt ambo, et vinum, et atra bilis. Quumque fieri etiam possit ut inæqualitas bene temperata sit et recte aliquatenus sese habeat, cum ubi calidior, tum ubi frigida requiritur rerum conditio, aut ubi contra, quia nimia jam habetur copia, melancholici omnes quidem insignes sunt, non propter morbum, sed propter naturam.

2. Διὰ τί κατ' ἐνίας μὲν τῶν ἐπιστημῶν ἕξιν ἔχειν λέγομεν, κατ' ἐνίας δ' οὔ; Ἢ καθ' ὅσας εὑρετικοί ἐσμεν, ἕξιν ἔχειν λεγόμεθα; τὸ γὰρ εὑρίσκειν ἀφ' ἕξεως.

2. Cur erga alias quidem scientias habitudinem habere nos dicimus, erga alias vero non? An erga eas tantum, in quibus inveniendi facultate pollemus? inventio enim ex habitu est.

3. Διὰ τί τῶν ζῴων ὁ ἄνθρωπος φρονιμώτατον; Πότερον ὅτι μικροκεφαλώτατον κατὰ λόγον τοῦ σώματος; Ἢ ὅτι ἀνωμάλως ἐλάχιστον; διὰ γὰρ τοῦτο καὶ μικροκέφαλον, καὶ αὐτῶν οἱ τοιοῦτοι μᾶλλον τῶν μεγαλοκεφάλων φρονιμώτεροι.

3. Cur omnium animantium homo prudentissimus est? Utrum quia capite minimo est sui corporis pro portione? An quia inæqualiter minimum est? ob id enim ipsum capite quoque parvo præditus est, et inter homines ipsos qui hujusmodi sunt, prudentiores sunt quam qui magno.

4. Διὰ τί δοκεῖ ἡμῖν πλείων εἶναι ἡ ὁδός, ὅταν μὴ εἰδότες πόση τίς ἐστι, βαδίζωμεν, μᾶλλον ἢ ὅταν εἰδότες, ἐὰν τὰ ἄλλα ὁμοίως τύχωμεν ἔχοντες; Ἢ ὅτι τὸ εἰδέναι πόση ἐστὶν εἰδέναι τὸν ἀριθμόν; τὸ γὰρ ἄπειρον καὶ ἀναρίθμητον ταὐτόν, καὶ πλέον ἀεὶ τὸ ἄπειρον τοῦ ὡρισμένου. Ὥσπερ οὖν εἰ ᾔδει ὅτι τοσήδε ἐστί, πεπερασμένην αὐτὴν ἀνάγκη εἶναι, οὕτως εἰ μὴ οἶδε πόση τίς ἐστιν, ὡς ἀντιστρέφοντος παραλογίζεται ἡ ψυχή, καὶ φαίνεται αὕτη εἶναι ἄπειρος, ἐπεὶ τὸ ποσὸν ὡρισμένον ἐστὶ καὶ τὸ ὡρισμένον ποσόν. Ὅταν τοίνυν μὴ φαίνηται ὡρισμένον, ὥσπερ ἄπειρον δόξει εἶναι, διὰ τὸ τὸ πεφυκὸς ὡρίσθαι, ἂν μὴ ᾖ ὡρισμένον, ἄπειρον εἶναι. Καὶ τὸ φαινόμενον μὴ ὡρίσθαι φαίνεσθαι ἀνάγκη πως ἀπέραντον.

4. Cur iter nobis longius tum esse videtur, ubi ignari quantum sit, ambulamus, quam ubi gnari, dummodo rebus ceteris eodem modo habeamus? An quod nosse quantum sit, nosse ejus numerum est? indeterminatum enim et innumerabile idem sunt, ac indeterminatum semper plus quam determinatum est. Ergo quemadmodum, si novisset aliquis tantum id esse, finitum id esse necesse esset, sic etiam si ignoret quantum sit, quasi reciprocetur, perperam ratiocinatur anima, infinitumque esse videtur iter, quia quantitas finitum est, et finitum quantitas. Ubi ergo terminatum non esse videtur, velut infinitum esse videbitur, quoniam quodcumque natura sua determinari potest, id, si determinatum non sit, infinitum est. Atque id quoque infinitum quodammodo videri necesse est quod terminatum esse non videtur.

5. Διὰ τί πρεσβύτεροι μὲν γινόμενοι μᾶλλον νοῦν ἔχομεν, νεώτεροι δ' ὄντες θᾶττον μανθάνομεν; Ἢ ὅτι ὁ θεὸς ὄργανα ἐν ἑαυτοῖς ἡμῖν δέδωκε δύο, ἐν οἷς χρησόμεθα τοῖς ἐκτὸς ὀργάνοις, σώματι μὲν χεῖρα, ψυχῇ δὲ νοῦν; ἔστι γὰρ καὶ ὁ νοῦς τῶν φύσει ἐν ἡμῖν ὥσπερ ὄργανον ὑπάρχων· αἱ δ' ἄλλαι ἐπιστῆμαι καὶ τέχναι τῶν ὑφ' ἡμῶν ποιητῶν εἰσιν, ὁ δὲ νοῦς τῶν φύσει. Καθάπερ οὖν τῇ χειρὶ οὐκ εὐθὺς γενόμενοι χρώμεθα βέλτιστα, ἀλλ' ὅταν ἡ φύσις αὐτὴν ἐπιτελέσῃ (προϊούσης γὰρ τῆς ἡλικίας ἡ χεὶρ μάλιστα δύναται ἀποτελεῖν τὸ ἑαυτῆς ἔργον), τὸν αὐτὸν τρόπον καὶ ὁ νοῦς τῶν φύσει οὐκ εὐθύς, ἀλλ' ἐπὶ γήρως ἡμῖν μάλιστα παραγίνεται καὶ τότε ἀποτελεῖται μάλιστα, ἂν μὴ ὑπό τινος πηρωθῇ, καθάπερ καὶ τὰ ἄλλα τὰ φύσει ὑπάρχοντα·

5. Cur senescentes quidem amplius mente valemus, juniores vero dum sumus, ocius discimus? An quia deus instrumenta nobis ipsis duo inseruit, quorum opera instrumentis externis uti valeremus, manum quidem corpori, animo vero mentem? est enim mens quoque rebus quæ natura nobis quasi instrumentum insunt, adnumeranda; at ceteræ scientiæ artesque nostra opera sunt; mens vero ad res naturales pertinet. Ut igitur manu non statim inde ab ortu optime utimur, sed ubi eam natura perfecit (procedente namque ætate manus suum opus maxime absolvere potest), ita etiam mens, quæ ad res naturales pertinet, non protinus, sed in senectute maxime nobis subvenit, atque tunc potissimum perficitur, nisi casu aliquo mutiletur, quemadmodum ceteræ

ὕστερον δὲ τῆς τῶν χειρῶν δυνάμεως ὁ νοῦς παραγίνεται ἡμῖν, ὅτι καὶ τὰ τοῦ νοῦ ὄργανά ἐστι τῶν τῆς χειρός· ἔστι γὰρ νοῦ μὲν ὄργανον ἐπιστήμη (τούτῳ γάρ ἐστι χρήσιμος, καθάπερ αὐλοὶ αὐλητῇ), χειρῶν δὲ πολλὰ τῶν φύσει ὄντων· ἡ δὲ φύσις αὐτή τ' ἐπιστήμης πρότερον, καὶ τὰ ὑπ' αὐτῆς γινόμενα. Ὧν δὲ τὰ ὄργανα πρότερα, καὶ τὰς δυνάμεις πρότερον εἰκὸς ἐγγίνεσθαι ἡμῖν· τούτοις γὰρ χρώμενοι ἕξιν λαμβάνομεν, καὶ ἔχει ὁμοίως τὸ ἑκάστου ὄργανον πρὸς αὐτό, καὶ ἀνάπαλιν, ὡς τὰ ὄργανα πρὸς ἄλληλα, οὕτω τὰ ὄργανα πρὸς αὐτά. Ὁ μὲν οὖν νοῦς διὰ ταύτην τὴν αἰτίαν πρεσβυτέροις οὖσιν ἡμῖν μᾶλλον ἐγγίνεται· μανθάνομεν δὲ θᾶττον νεώτεροι ὄντες διὰ τὸ μηδέν πω ἐπίστασθαι· ὅταν δ' ἐπιστώμεθα, οὐκέτι ὁμοίως δυνάμεθα, δυνάμεθα δ' ἔχεσθαι, καθάπερ καὶ μνημονεύομεν μᾶλλον οἷς ἂν ἕωθεν πρῶτον ἐντυγχάνωμεν, ἔπειτα προϊούσης τῆς ἡμέρας οὐκέτι ὁμοίως διὰ τὸ πολλοῖς ἐντετυχηκέναι.

quoque res quæ natura nobis insunt; mens vero posterior quam manuum facultas nobis adcedit, quoniam instrumenta etiam mentis posteriora sunt quam manuum instrumenta: est enim mentis instrumentum scientia (menti namque utilis scientia est, ut tibicini tibia), manuum vero instrumenta res multæ earum quæ natura exstant; atqui tum natura ipsa, tum res omnes quas facit, scientia anteriores sunt. Quarum autem rerum instrumenta anteriora sunt, harum facultates quoque prius nobis supervenire congruum est: his enim utentes habitum adquirimus, atque eadem est ratio uniuscujusque rei instrumenti ad rem ipsam, itemque ratione inversa, quæ ratio intercedit inter instrumenta sibi invicem comparata, eadem etiam inter instrumenta et res ipsas. Mens igitur ea de causa nobis senioribus potius supervenit, discimus autem ocius juniores dum sumus, quia nihil adhuc scimus; ubi vero scimus, non æque bene amplius discere possumus, verum rebus insistere valemus, quomodo etiam meminisse melius ea valemus quibuscumque mane primum incidimus, deinde procedente die non amplius æque bene, quoniam multis rebus obcucurrimus.

6. Διὰ τί ἀνθρώπῳ πειστέον μᾶλλον ἢ ἄλλῳ ζῴῳ; Πότερον ὥσπερ Πλάτων Νεοκλεῖ ἀπεκρίνατο, ὅτι ἀριθμεῖν μόνον ἐπίσταται τῶν ἄλλων ζῴων; Ἢ ὅτι θεοὺς νομίζει μόνον; Ἢ ὅτι μιμητικώτατον; μανθάνειν γὰρ δύναται διὰ τοῦτο.

6. Cur homini potius quam cuiquam ex ceteris animantibus credendum est? Utrum, ut Plato Neocli respondit, quia solus inter reliquas animantes novit numerare? An quia solus deos exstare putat? An quia omnium maxime vim obtinet imitandi? hinc enim discere potest.

7. Διὰ τί οὐ χαίρομεν θεώμενοι, οὐδ' ἐλπίζοντες ὅτι τὸ τρίγωνον δύο ὀρθαῖς ἴσας ἔχει τὰς ἐντὸς γωνίας, οὐδὲ τῶν ἄλλων τῶν τοιούτων οὐθέν, εἰ μὴ τῇ θεωρίᾳ, αὕτη δ' ὁμοίως ἐστὶν ἡδεῖα κἂν εἰ τρισὶν ὀρθαῖς, ἢ πλείοσιν ἴσας ἔσχεν, ἀλλ' ὅτι Ὀλυμπίᾳ ἐνικῶμεν, καὶ περὶ τῆς ναυμαχίας τῆς ἐν Σαλαμῖνι χαίρομεν, καὶ μεμνημένοι καὶ ἐλπίζοντες τοιαῦτα, ἀλλ' οὐ τἀναντία τοῖς τοιούτοις; Ἢ ὅτι ἐπὶ μὲν τοῖς τοιούτοις χαίρομεν ὡς γενομένοις, ἢ οὖσιν, ἐπὶ δὲ τοῖς κατὰ φύσιν ὡς κατὰ ἀλήθειαν θεωρίας ἡδονήν, ὡς ἔχει, μόνην ἡμῖν ποιεῖν, τὰς δὲ πράξεις τὴν ἀπὸ τῶν συμβαινόντων ἀπ' αὐτῶν; Ἀνομοίων οὖν οὐσῶν τῶν πράξεων, καὶ τὰ ἀποβαίνοντα ἀπ' αὐτῶν γίνεται τὰ μὲν λυπηρά, τὰ δ' ἡδέα· φεύγομεν δὲ καὶ διώκομεν καθ' ἡδονὴν καὶ λύπην ἅπαντα.

7. Cur non delectamur videntes, vel sperantes triangulum duobus rectis pares angulos internos vel habere, vel habiturum esse, neque ulla alia re generis ejusdem, nisi contemplationis ergo; hæc tamen æque jucunda est, etiamsi tribus rectis, aut etiam pluribus pares angulos haberet; sed tunc delectamur, quum aut ludis Olympiæ nos vicisse, aut pugnam navalem apud Salamina meminimus, aut tale quid futurum speramus, non vero ubi his contraria? An quoniam hisce rebus quidem delectamur, quod vel fuerunt, vel sunt, res vero naturales, utpote res veræ, contemplationis tantummodo gaudium, quod ita sese habent, nobis præstant; sed res gestæ gaudium ab eventis eorum proveniens? Quum igitur res gestæ dissimiles sint, eventa quoque earum modo quidem tristia, modo vero læta veniunt; omnia autem lætitiæ tristitiæve ratione aut vitamus, aut persequimur.

8. Διὰ τί μέχρι ὑγείας πραγματεύονται οἱ ἰατροί; ἰσχναίνει γάρ, εἶτα ἐκ τούτου ξηραίνει, εἶτα ὑγείαν ἐποίησεν, εἶτα ἐνταῦθα ἔστη. Πότερον οὐκ ἔστι δυνατὸν ἐκ τούτου γενέσθαι ἄλλο; Ἢ εἰ δυνατόν, ἄλλης ἐπιστήμης, καὶ ἔσται ὅ τις ἐξ ὑγείας ποιήσει ἄλλο τι; Εἰ δὴ γίνεται ἐκ τῶν ἐναντίων καὶ τῶν μεταξύ, δῆλον ὅτι ἀρρωστεῖ, ἢ ξηρότερος, ἢ ὑγρότερος, ἤ τι τοιοῦτον. Ποιεῖ δὴ ἐκ ψύχους ἧττον σφόδρα, καὶ τέλεον ὡδὶ θερμὸν καὶ ὡδὶ ξηρόν, ἢ ὑγρὸν μεταβαῖνον ἐκ τῶν ἐναντίων, ἢ μεταξύ, ἕως ἂν ἔλθῃ εἰς τὸ οὕτως ἔχειν, ὃ ἦν τοῦ ὑγιαίνειν, ἔκ τε τούτου οὐ πέφυκεν ἄλλο τι ὂν ἢ τὸ μεταξύ. Δύναται μὲν οὖν ποιῆσαι ὁ ἔχων· ὡς γὰρ ἦλθεν, ἀναλῦσαι δύναται καὶ ἀπελθεῖν· οὐ μὴν ἥ γε τέχνη τούτου ἐστίν· ἀεὶ γὰρ βέλτιον· ὥστε οὐδ' ἄλλη, οὔτ' αὐτὴ ποιήσει ἐξ ὑγείας ἄλλο τι· οὐθὲν γὰρ ἐγίνετο ἢ τὸ ἐναντίον τού-

8. Cur medici ad sanitatem usque tantummodo suam operam præstant? emaciat enim, deinde posthac siccat, tum sanitatem præstat, posthac ibi sistitur? Utrum fieri non potest ut ex sanitate aliud quidquam fiat? An si quid fieri possit, id aliam spectat scientiam, exstabitque aliquid aliud quod ex sanitate facere aliquis possit? Quodsi igitur vel ex contrariis, vel ex mediis fiant (si quæ fiant), manifesto ægrotat, vel quod siccior est, vel quod humidior, vel aliud quid hujuscemodi. Igitur ex frigore facit multo minus frigidum, et postremo huc usque calidam, vel huc usque siccam, vel humidam rem transeuntem e contrariis aut mediis, dum ad eum deveniat habitum, qui sanitati proprius erat: ex quo quidem suapte natura nihil aliud provenire potest nisi quid medium. Ergo qui ita sese habet, facere quidem potest: ut enim venit, sic discedere et abire potest; sed hæc non tractat ars: semper enim melius persequitur: hinc nec ulla alia, nec eadem ipsa de sanitate quidquam aliud

του, εἴπερ ἡ αὐτὴ ἐπιστήμη. Οὕτω καὶ ἐπὶ οἰκίας οὐδὲν ποιήσειεν ἂν τοὐναντίον. Οὐκ ἔστιν ἐν ἄλλῃ τέχνῃ ἐκ τούτου ποιήσουσα, πλὴν ὡς μέρους, οἷον ἡ σκυτικὴ ὑπόδημα ἐκ προσχίσματος· ἐξ ἑκατέρου γὰρ γίνεται διττῶς, ἢ συντιθεμένου, ἢ φθειρομένου.

9. Διὰ τί τὸν φιλόσοφον τοῦ ῥήτορος οἴονται διαφέρειν; Ἢ ὅτι ὁ μὲν φιλόσοφος περὶ αὐτὰ τὰ εἴδη τῶν πραγμάτων διατρίβει, ὁ δὲ περὶ τὰ μετέχοντα, οἷον ὁ μὲν τί ἐστιν ἀδικία, ὁ δὲ ὡς ἄδικος ὁ δεῖνα, καὶ ὁ μὲν τί ἡ τυραννίς, ὁ δὲ οἷόν τι ὁ τύραννος;

10. Διὰ τί οἱ Διονυσιακοὶ τεχνῖται ὡς ἐπὶ τὸ πολὺ πονηροί εἰσιν; Ἢ ὅτι ἥκιστα λόγου σοφίας κοινωνοῦσι διὰ τὸ περὶ τὰς ἀναγκαίας τέχνας τὸ πολὺ μέρος τοῦ βίου εἶναι, καὶ ὅτι ἐν ἀκρασίαις τὸ πολὺ τοῦ βίου εἰσί, τὰ δὲ καὶ ἐν ἀπορίαις; ἀμφότερα δὲ φαυλότητος παρασκευαστικά.

11. Διὰ τί οἱ ἐξ ἀρχῆς τῆς μὲν κατὰ τὸ σῶμα ἀγωνίας ἆθλόν τι προὔταξαν, σοφίας δ' οὐθὲν ἔθηκαν; Ἢ ὅτι ἐπιεικῶς δεῖ τοὺς κριτάς, ἃ παρὰ διάνοιάν ἐστιν, ἢ μηθὲν χείρους τῶν ἀγωνιστῶν εἶναι, ἢ κρείττους, εἰ δ' ἔδει σοφίᾳ τοὺς πρωτεύοντας ἀγωνίζεσθαι καὶ ἆθλον προὐτέτακτο, κριτῶν ἂν ἠπόρουν αὐτοῖς· ἐπὶ δὲ τῶν γυμνικῶν ἀγώνων ἅπαντός ἐστι κρῖναι τῇ ὄψει μόνῃ θεασάμενον; Ἔτι δ' ὁ ἐξ ἀρχῆς κατασκευάζων οὐκ ἐβούλετο τοιαύτην ἀγωνίαν προθεῖναι τοῖς Ἕλλησιν, ἐξ ὧν ἔμελλον στάσεις καὶ ἔχθραι μεγάλαι ἔσεσθαι, οἷον οἱ ἄνθρωποι, ὅταν τις ἢ ἐκκριθῇ, ἢ προσδεχθῇ εἴς τι τῶν κατὰ τὸ σῶμα ἀθλημάτων, οὐ πάντῃ χαλεπῶς φέρουσιν, οὐδ' εἰς ἔχθραν καθίστανται τοῖς κρίνουσιν, ὑπὲρ δὲ τοῦ φρονιμωτέρους ἢ μοχθηροτέρους εἶναι τοῖς κρίνουσι μάλιστα ὀργίζονται καὶ ἀγανακτοῦσιν· στασιῶδες δὲ καὶ μοχθηρὸν τὸ τοιοῦτόν ἐστιν. Ἔτι δὲ δεῖ τῆς ἀγωνίας τὸ ἆθλον κρεῖττον εἶναι· ἐπὶ μὲν γὰρ τῶν γυμνικῶν ἀθλημάτων τὸ ἆθλον αἱρετώτερον καὶ βέλτιον τῆς ἀγωνίας· σοφίας δὲ τί ἂν ἆθλον βέλτιον γένοιτο;

12. Διὰ τί ἄλλο νοεῖ καὶ ποιεῖ ἄνθρωπος μάλιστα; Ἢ ὅτι τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη; Ἢ ὅτι ὁ μὲν νοῦς πολλῶν ἐστιν, ἡ δ' ὄρεξις ἑνός; Ὁ μὲν οὖν ἄνθρωπος τῷ νῷ τὰ πλεῖστα ζῇ, τὰ δὲ θηρία ὀρέξει καὶ θυμῷ καὶ ἐπιθυμίᾳ.

13. Διὰ τί φρόνιμοί τινες κτώμενοι, οὐ χρώμενοι διατελοῦσιν; Πότερον ὅτι τῷ ἔθει χρῶνται; Ἢ διὰ τὸ ἐν ἐλπίδι ἡδύ;

14. [Διὰ τί οἱ βαθέως καὶ ἥδιστα καθεύδοντες οὐδὲν ἐνύπνιον ὁρῶσιν; Ἢ] ὅτι ἡ αἴσθησις καὶ ἡ διάνοια τῷ ἠρεμεῖν τὴν ψυχὴν ἐνεργεῖ· ὃ καὶ ἡ ἐπιστήμη δοκεῖ εἶναι, ὅτι τὴν ψυχὴν ἵστησιν· κινουμένης γὰρ καὶ φερομένης οὔτ' αἰσθέσθαι, οὔτε διανοηθῆναι δυνατόν· διὸ καὶ τὰ παιδία καὶ οἱ μεθύοντες καὶ οἱ μαινόμενοι ἀνόητοι· διὰ γὰρ

faciet: nihil enim fieret, nisi ejus contrarium, quandoquidem eadem est scientia. Sic quoque, ubi de domo agitur, nihil contrarium faciet ars. Nulla igitur ars alia est quæ ex hoc quidquam faciat, nisi veluti ex parte, quemadmodum ars sutoria e calceamento discisso alium calceum facit: ex utroque enim fit, sed bifariam, vel componendo, vel destruendo.

9. Cur philosophum differre ab oratore putant? An quia philosophus quidem ipsis rerum formis occupatus est, orator vero rebus formarum participibus, verbi causa ille quidem quid injustitia sit, spectat, hic vero hunc illumve injustum esse probat, et ille quidem quid tyrannis sit, hic vero quale quid sit tyrannus?

10. Cur artifices Bacchici improbi sunt magna ex parte? An quia minime sese studio sapientiæ dedunt, eo quod in artibus necessariis majorem ætatis suæ partem consumunt, vitæque plurimam partem traducunt in incontinentia, partem etiam in inopia? hæc enim ambo improbitatem gignere valent.

11. Cur veteres corporis quidem certaminibus præmium posuerunt, sapientiæ vero nullum instituerunt? An quia judices rerum quæ rationem spectant, ad minimum vel nihilo deteriores, vel præstantiores certantibus esse debent; quodsi autem homines sapientia excellentes certare deberent iisque propositum esset præmium, arbitris eorum carerent; at vero in certaminibus gymnicis quisque suo tantum adspectu intuens judicare potest? Præterea qui olim præmia instituit, tale hominibus Græcis certamen proponere nolebat, ut ex eo seditiones inimicitiæque magnæ exorirentur, quo modo homines, ubi certamine corporis aliquo excluditur quis, aut in id admittitur, non moleste omnino ferunt, neque cum judicibus inimicitiam ineunt; at eo quod sapientiores, aut praviores judicati sunt, sententiam ferentibus admodum subcensent, ægreque judicium ferunt: quæ quidem res seditiosa et prava est. Ad hæc præmium præstantius esse certamine debet: certaminum enim gymnicorum præmium optatius et præstantius quam corcertatio est; sapientia vero quodnam præmium præstantius esse possit?

12. Cur homo maxime aliud cogitat, aliud facit? An quia contrariorum eadem scientia est? An quia mens quidem ad plures res pertinet, adpetitus vero ad unam tantummodo? Atqui homo mente maxima ex parte vivit, bestiæ vero adpetitu, ira cupiditateque.

13. Cur nonnulli prudentes perpetuo rem adquirunt, non impendunt? Utrum quod consuetudinem servant? An propter oblectamentum quod in spe positum est?

14. [Quam ob causam qui altum et suavissime dormiunt, nullum insomnium vident? An] quia et sensus et intelligentia eo agunt quod animus requiescit: qua quidem requie vel ipsa scientia (gr. ἐπιστήμη) constare videtur, quippe quæ animum sistit (græce ἵστησιν): ubi enim animus movetur ac fertur, fieri non potest ut aliquid vel sentiatur, vel intelligatur: ex quo fit etiam ut amentes sint et

τὸ πλῆθος τοῦ θερμοῦ τοῦ ἐνυπάρχοντος πλείστη κίνησις αὐτοῖς καὶ σφοδροτάτη συμβαίνει, ληγούσης δὲ ταύτης ἐμφρονέστεροι γίνονται· ἀταράχου γὰρ οὔσης τῆς διανοίας μᾶλλον ἐφιστάναι δύνανται αὐτήν. Οἵ τ' ἐν τῷ καθεύδειν ἐνυπνιαζόμενοι ἱσταμένης τῆς διανοίας, καὶ καθ' ὅσον ἠρεμεῖ, ὀνειρώττουσιν· μάλιστα γὰρ ἐν τοῖς ὕπνοις ἡ ψυχὴ κινεῖται· περιισταμένου γὰρ τοῦ θερμοῦ ἐκ τοῦ ἄλλου σώματος εἰς τὸν ἐντὸς τόπον, τότε πλείστη καὶ σφοδροτάτη κίνησις ὑπάρχει, οὐχ ὥσπερ οἱ πολλοὶ ὑπολαμβάνουσι τότε ἠρεμεῖν καὶ καθ' αὑτὴν εἶναι, καὶ μάλιστα ὅταν μηδὲν ἴδωσιν ἐνύπνιον· συμβαίνει δὲ τοὐναντίον· διὰ γὰρ τὸ ἐν πλείστῃ κινήσει εἶναι καὶ μηδὲ κατὰ μικρὸν ἠρεμεῖν, οὐδὲ διανοεῖσθαι δύναται· ἐν πλείστῃ δὲ κινήσει, ὅταν ἥδιστα καθεύδῃ, εἰκότως ἐστίν, ὅτι τότε μάλιστα καὶ πλεῖστον θερμὸν ἀθροίζεται εἰς τὸν εἴσω τόπον. Ὅτι δ' ἐν τῇ κινήσει οὖσα ἡ ψυχὴ οὐ μόνον ὕπαρ, ἀλλ' οὐδ' ἐν τοῖς ὕπνοις δύναται διανοεῖσθαι, κἀκεῖνο σημεῖον· ἐν γὰρ τοῖς μετὰ τὴν πρόσεσιν τῶν σιτίων ὕπνοις ἥκιστα ἔστιν ἐνύπνια ὁρᾶν, τότε δὲ μάλιστα συμβαίνει κινεῖσθαι αὐτὴν διὰ τὴν ἐπεισενεχθεῖσαν τροφήν, τό τ' ἐνύπνιόν ἐστιν, ὅταν διανοουμένοις καὶ πρὸ ὀμμάτων τιθεμένοις ὕπνος ἐπέλθῃ· διὸ καὶ ταῦτα μάλιστα ὁρῶμεν ἃ πράττομεν, ἢ μέλλομεν, ἢ βουλόμεθα· περὶ γὰρ τούτων μάλιστα πλειστάκις λογισμοὶ καὶ φαντασίαι ἐπιγίνονται. Καὶ οἱ βελτίους βελτίω τὰ ἐνύπνια ὁρῶσι διὰ ταῦτα, ὅτι καὶ ἐγρηγορότες περὶ βελτιόνων διανοοῦνται, οἱ δὲ χεῖρον ἢ τὴν διάνοιαν, ἢ τὸ σῶμα διακείμενοι χείρω· καὶ γὰρ ἡ τοῦ σώματος διάθεσις πρὸς τὴν τῶν ἐνυπνίων φαντασίαν συμβλητικόν· τοῦ γὰρ νοσοῦντος καὶ αἱ τῆς διανοίας προθέσεις φαῦλαι, καὶ ἔτι διὰ τὴν ἐν τῷ σώματι ταραχὴν ἐνοῦσαν ἡ ψυχὴ οὐ δύναται ἠρεμεῖν. Οἱ δὲ μελαγχολικοὶ διὰ τοῦτο ἐξάττουσιν ἐν τοῖς ὕπνοις, ὅτι πλείονος τῆς θερμασίας οὔσης μᾶλλον τοῦ μετρίου ἡ ψυχὴ ἐν κινήσει, σφοδροτέρας δὲ τῆς κινήσεως οὔσης οὐ δύνανται καθεύδειν.

infantes et ebrii et insani : propter copiam enim caloris qui inest, motus plurimus vehementissimusque iis evenit : quo desistente prudentiores fiunt : ubi enim mens turbæ expers est, facilius eam sistere possunt. Et quidem qui inter dormiendum somniant, dum sistitur mens, et quatenus quiescit, insomnia vident : jactatur enim animus maxime in somnis : nam quum calor reliquo e corpore ad regionem circumobsistitur interiorem, tunc motus plurimus vehementissimusque subest, non quemadmodum vulgus existimat, animum nempe tunc quiescere et secum esse, atque inprimis ubi nullum somnium vident; sed contra adcidit : quia enim in motu plurimo est ac ne paulisper quidem quiescit, ne cogitare quidem potest; rationi autem congruit in plurimo motu eum tunc esse ubi suavissime quis dormit, propterea quia tunc maxime et larga caloris copia in regionem adcumulatur interiorem. Animum vero concitatum non solum inter vigilandum, sed vel in somnis cogitare non posse, argumentum illud etiam est, quod in somnis, quos cibo ingesto agimus, minime insomnia videre licet; tunc autem maxime adcidit ut animus propter cibum superingestum concitetur, somniumque ipsum obcurrit, ubi cogitantibus nobis et ante oculos res ponentibus somnus supervenit : quapropter et ea maxime videmus, quæ agimus, aut acturi sumus, aut volumus : de his enim inprimis sæpissime ratiocinationes imaginationesque nobis obveniunt. Meliores quoque meliora insomnia vident, quod etiam vigilantes meliora cogitant; qui vero deterius vel mente, vel corpore sunt adfecti, deteriora, quippe quum etiam adfectio corporis aliquid ad insomniorum imaginationem conferre valet : nam apud ægrotum propositiones quoque mentis vitiosæ sunt, atque præterea propter perturbationem in corpore obviam animus quiescere nequit. Melancholici autem idcirco in somnis exsiliunt, quod quum calor amplior subest, animus moveri ultra modum cogitur; quum vero motus vehementior sit, dormire non possunt.

ΤΜΗΜΑ ΛΑ.

ΟΣΑ ΠΕΡΙ ΟΦΘΑΛΜΟΥΣ.

1. Διὰ τί τρίψαντες τὸν ὀφθαλμὸν παυόμεθα τῶν πταρμῶν; Ἢ ὅτι ἀναπνοὴ ταύτῃ γίνεται τῷ ὑγρῷ; δακρύει γὰρ ὁ ὀφθαλμὸς μετὰ τὴν τρῖψιν· ὁ δὲ πταρμὸς διὰ πλῆθος ὑγροῦ. Ἢ ὅτι τὸ ἔλαττον θερμὸν φθείρεται ὑπὸ τοῦ πλείονος; ὁ δ' ὀφθαλμὸς τριφθεὶς πλείω λαμβάνει θερμότητα τῆς ἐν τῇ ῥινί. Διὰ τοῦτο δὲ κἂν τις αὐτὴν τὴν ῥῖνα τρίψῃ, παύεται ὁ πταρμός.

2. Διὰ τί τῷ ἑνὶ ὀφθαλμῷ ἀκριβέστερον ὁρῶσιν ἢ τοῖν δυοῖν; Ἢ ὅτι πλείους οὖσαι κινήσεις τοῖν δυοῖν γίνονται, οἷον τοῖς διεστραμμένοις; Οὔκουν μία ἡ κίνησις· τοῦ δ' ἑνὸς ἁπλῆ. Ἧττον οὖν ὁρῶσιν ἀκριβέστερον.

SECTIO XXXI.

QUÆ AD OCULOS PERTINENT.

1. Cur oculo perfricato sternutare cessamus? An quia hac humoris respiratio fit? lacrymam enim oculus perfricatus emittit; sternutamentum autem humoris copia excitatur. An quia minor calor a copiosiore destruitur? oculus enim perfricatus plus caloris sibi adsciscit quam nares continent. Hanc ob causam etiam, si quis nasum perfricuerit ipsum, sternutamentum desinit.

2. Cur uno oculo exquisitius cernitur quam duobus? An quia plures motus duobus excitantur, quemadmodum oculis distortis? Ergo unicus motus non est; unius vero simplex est. Itaque minus exquisite cernitur.

3. Διὰ τί ὀργιζόμενοι μὲν τοὺς ὀφθαλμοὺς μᾶλλον ἐπιδιδόασι πρὸς τὸ ἐρυθριᾶν, αἰσχυνόμενοι δὲ τὰ ὦτα; Ἢ διότι οἱ μὲν καταψύχονται ἐν τῇ αἰδοῖ (ἐν ὀφθαλμοῖς γὰρ αἰδώς), ἀντιβλέπειν οὐ δύνανται, καὶ ἡ δειλία κατάψυξίς τίς ἐστιν ἐνταῦθα· μεθίσταται δ' εἰς τοὐναντίον τῷ ἔμπροσθεν τὸ ὄπισθεν, τὰ δ' ὦτα ἀντίκειται; διὸ καὶ μάλιστα ἐρυθριῶσιν αἰσχυνόμενοι. Ἐν δὲ τῷ κνήθεσθαι ἐπὶ τὸ αἰσθητικώτερον καὶ κινητικώτερον ἡ βοήθεια ὡς ἀδικουμένου· φοβουμένοις γὰρ ἐνταῦθα ἐκλείπει μάλιστα.

4. Διὰ τί θατέρου καταληφθέντος ὀφθαλμοῦ ὁ ἕτερος ἀτενίζει μᾶλλον; Ἢ διότι ἐκ ταὐτοῦ ἤρτηνται αἱ ἀρχαὶ τῶν ὀφθαλμῶν; Θατέρου οὖν κινουμένου καὶ ἡ κοινὴ ἀρχὴ κινεῖται, ἐκείνης δὲ κινουμένης καὶ ὁ ἕτερος. Ληφθέντος οὖν θατέρου ἡ κίνησις κινήσει αὐτόν, ὥστε δύναται ἀτενίζειν μᾶλλον.

5. Διὰ τί οἱ ἐκ γενετῆς τυφλοὶ οὐ γίνονται φαλακροί; Ἢ ὅτι πημαίνει τὰ ὄμματα ὑγρότης οὖσα πολλὴ ἐν τῷ περὶ τὴν κεφαλὴν τόπῳ; διὸ τῶν ῥευματικῶν εἰς τοὺς ὀφθαλμοὺς τάς τε περὶ τοὺς κροτάφους φλέβας κάουσι, πυκνοῦντες τοὺς τῶν ὑγρῶν πόρους, καὶ ξύουσι τὴν κεφαλήν, διατέμνοντες τὸ ἐν αὐτῇ δέρμα. Ἐπεὶ οὖν πημαίνει τοὺς ὀφθαλμοὺς τὸ ἐν αὐτῇ περίττωμα γινόμενον, κωλύοι ἂν αὐτοὺς ταὐτὸ τοῦτο ἐξ ἀρχῆς γίνεσθαι, πλέον συνιστάμενον ἐν αὐτῇ· ἐπεὶ δ' ἐκ περιττωμάτων θρὶξ φύεται, τοῦτο δ' ἐν τῇ τῶν τυφλῶν κεφαλῇ ἐκ γενετῆς ἐστι πολύ, εἰκότως οὐκ εἰσὶ φαλακροί.

6. Διὰ τί οἱ ἐξόφθαλμοι καπνίζονται μᾶλλον; Ἢ ὅτι τάχιστα προσπίπτει πρὸς τὰ προέχοντα;

7. Διὰ τί εἰς μὲν τὰ δεξιὰ ἀμφοτέρας τὰς ὄψεις ἅμα διαστρέφειν δυνάμεθα, καὶ εἰς τὰ ἀριστερά, καὶ πρὸς τὴν ῥῖνα, καὶ εἰς τὸ ἀριστερὸν δέ, ἢ τὸ δεξιὸν τὴν ἑτέραν, ἅμα δ' εἰς τὸ δεξιὸν καὶ ἀριστερὸν ἀδυνατοῦμεν· ὁμοίως δὲ καὶ εἰς τὸ κάτω καὶ εἰς τὸ ἄνω; ἅμα μὲν γὰρ ἐπὶ ταὐτὸ δυνάμεθα, χωρὶς δ' οὔ. Ἢ ὅτι αἱ ὄψεις δύο οὖσαι ὁμοίως ἐξ ἑνὸς συνήρτηνται, ὅσα δὲ τοιαῦτα, ἄκρου θατέρου κινουμένου ἀνάγκη θάτερον ἀκολουθεῖν ἐπὶ ταὐτό; τῷ γὰρ ἑτέρῳ ἄκρῳ ἡ ἀρχὴ θάτερον ἄκρον. Εἰ οὖν τὸ ἓν ἀδύνατον ἅμα εἰς τἀναντία κινεῖσθαι, ἀδύνατον καὶ τὰς ὄψεις· τὰ μὲν γὰρ ἄκρα εἰς τἀναντία ἂν κινοῖτο, εἰ τὸ μὲν ἄνω, τὸ δὲ κάτω κινοῖτο, ἡ δ' ἀρχὴ ἀμφοῖν ἂν ἀκολουθοίη· ὅπερ ἀδύνατον. Ἡ δὲ διαστροφή ἐστι τῶν ὀμμάτων διὰ τὸ ἀρχὴν ἔχειν τὰς σφαίρας, καὶ μέχρι τοῦ στρέφεσθαι εἰς τὰ ἄνω καὶ κάτω καὶ εἰς πλάγιον. Ὅταν οὖν ἔχουσαι ὡς ἂν ὁμοίως ἔχοιεν τῇ θέσει ἀλλήλαις καὶ ἐν μέσῳ τοῦ ἐπὶ τὸ ἄνω καὶ κάτω κινεῖσθαι καὶ εἰς πλάγιον, ἐπὶ τοῦ αὐτοῦ σημείου ἑαυτῶν λάβωσι τὴν ὄψιν, αὗται μὲν ἀδιάστροφοί τε καὶ μάλιστα ἀκίνητοι τῇ θέσει· ὅσαι δ' ἐπὶ ταὐτοῦ σημείου λάβωσι τὰς ὄψεις, ἀδιά-

3. Cur iratis quidem oculorum potius rubor augetur, pudefactis vero aurium? An quoniam oculi quidem refrigerantur per pudorem (pudor enim in oculis est), respicere nequeunt, ignaviaque hujus loci refrigeratio est; pars posterior autem contrario modo immutatur ac anterior, aures vero ex adverso positæ sunt? quapropter et maxime [hac parte] erubescunt pudibundi. In scalpendo vero præsidium ad eam partem, tamquam violatam, adhibetur, quæ et sensu et motu promptior est: nam metuentibus hic inprimis deficit.

4. Cur altero oculo adprehenso alter intentius tuetur? An quia oculorum origines ex eodem dependent? Ubi igitur alter movetur, communis quoque movetur origo: quo moto alter etiam oculus movetur. Altero itaque adprehenso, motio ipsum movebit, ita ut intentius tueri possit.

5. Quam ob causam qui cœci inde ab ortu sunt, calvi non fiunt? An quia humor, ubi redundat in capitis regione, oculos lædit? qua de causa quibus fluxiones oculos urgent, venas temporum deurunt, quo humoris meatus arctentur, et caput quoque, dissecta in eo cute, radunt. Quum igitur residua quæ in capite gignuntur, oculos lædunt, eadem hæc prohibebunt quominus oculi inde a principio gignantur, dummodo major copia in ipso consistat; at quum e residuis capillus proveniat, eaque in capite cœcorum inde ab ortu redundent, merito non calvi sunt.

6. Cur qui prominentibus sunt oculis, magis a fumo infestantur? An quia fumus citissime rebus prominentibus incidit?

7. Quam ob causam dextrorsum quidem utrumque oculum simul retorquere possumus, itemque sinistrorsum, et ad nares, atque etiam alterum dextrorsum sinistrorsumve; simul vero dextrorsum ac sinistrorsum non possumus; eodem modo et deorsum sursumque? simul enim in eamdem partem possumus; seorsum vero non. An propterea quod, etiamsi dupli exstent oculi, ex eadem tamen origine æqualiter dependent; quæcumque autem hujusmodi sunt, eorum quoties alterum extremum movetur, reliquum sequatur eodem necesse est? alterius enim extremi principium extremum alterum est. Quodsi igitur una eademque res simul in partes adversas moveri nequeat, nec oculi ita moveri poterunt, quippe quum extrema in partes moverentur adversas, si alter quidem sursum, alter vero deorsum moveretur: origo namque utrumque sequi debebit: id quod fieri nequit. Oculorum vero distortio evenit, quia globi principio præditi sunt ac aliquo usque sursum et deorsum et latera versus convertuntur. Ubi igitur ita positi ut situ sibi invicem simili respondeant atque medium teneant movendi sese sursum deorsumque ac latera versus, eodem sui puncto intuitus recipiant, tunc quidem distorsione carent et situ maxime immobiles sunt; at quicumque eodem in puncto intuitus recipiunt, etiamsi discre-

στροφοι μέν εἰσι, διαφέρουσι δ' ἀλλήλων, καίτοι κρύπτεται τοῦ μέλανός τι καὶ τοῖς ἄνω βάλλουσι τὰ λευκά, οἷον μελλέπταρμοι· ἕτεροι δ' εἰς τὸ πλάγιον, ὥσπερ οἱ μανικοί· οἱ δ' εἰς τοὺς μυκτῆρας, ὥσπερ τὰ τραγικὰ πρόσωπα καὶ οἱ στρυφνοί· σύννουν γὰρ τὸ βλέμμα. Ὅσοι δὲ μήθ' ὁμοίως κειμένων τῶν σφαιρῶν ἐπὶ ταὐτῷ σημείῳ ἔχουσι τὰς ὄψεις, ἢ ὁμοίως μὲν κειμένων μὴ ἐπὶ τῷ αὐτῷ δέ, οὗτοι διεστραμμένοι εἰσίν· διὸ ὑποβλέπουσι καὶ συνάγουσι τὰ ὄμματα· πειρῶνται γὰρ ἐπὶ ταὐτὸν καταστῆσαι σχῆμα τὴν σφαῖραν, ὥστε τὸν μὲν ἐῶσι, τὸν δὲ σχηματίζουσι τῶν ὀφθαλμῶν· ἐὰν γὰρ μὴ κατ' αὐτὸ σημεῖον τεθῶσιν αἱ ὄψεις, ἀνάγκη διεστράφθαι· ὥσπερ γὰρ τοῖς ὑποβάλλουσιν ὑπὸ τὸν ὀφθαλμὸν [τὸ ἓν] δύο φαίνεται (καὶ γὰρ ἐκείνοις κεκίνηται ἡ ἀρχή), καὶ τούτοις ὁμοίως. Ἐὰν μὲν οὖν ἄνω κινηθῇ ὁ ὀφθαλμός, τὸ πέρας κάτω τῆς ὄψεως γίνεται, ἐὰν δὲ κάτω, ἄνω τὸ πέρας· ἑνὶ δ' ὀφθαλμῷ μεθισταμένῳ κινεῖσθαι μὲν τὸ ὁρώμενον δοκεῖ διὰ ταὐτὸ ἄνω, ἢ κάτω, ὅτι καὶ ἡ ὄψις, δύο δ' οὐ φαίνεται, ἂν μὴ δύο αἱ ὄψεις ὦσι, καὶ διαστρέφει. Τοιαύτη μὲν τῷ ἑτεροφθάλμῳ γίνεται, ὥστε δύο φαίνεσθαι· κατὰ τὴν θέσιν δὲ γίνεται τῷ μὴ κατὰ μέσον τοῦ ὄμματος κεῖσθαι.

pent inter se, distorsione quidem carent, licet etiam par aliqua nigredinis obculatur iis qui albuginem sursum retrahunt, verbi gratia qui sternutaturi sunt; alii vero ad latera retrahunt, ut furiosi; alii tandem nares versus, ut tragicæ larvæ hominesque torvi : sic enim cogitabundus fit adspectus. Quicumque vero intuitus puncto eodem collocatos habent, globis tamen non eundem situm servantibus, aut quibus his eumdem situm servantibus intuitus non idem punctum obcupant, hi distorti sunt : quapropter et suspiciunt et oculos contrahunt : globum namque eumdem in habitum collocare conantur, ita ut alterum quidem oculum loco relinquant, alterius vero situm immutent : nisi enim idem punctum obcupent intuitus, necessario distorquentur, quippe quum perinde ac illis qui [digitum] oculo subjiciunt, res una geminari videtur (nam apud istos quoque principium dimotum est), sic et his. Ergo si oculus sursum dimotus est, intuitus extremum inferiora petit; sin vero deorsum, superiora; oculo autem uno de situ suo dimoto, moveri quidem sursum deorsumve eamdem ob causam res adspecta videtur, quia nempe intuitus quoque ita se movet, sed duæ res non adparent, nisi duplex intuitus adsit, atque hoc etiam distorquet. Talis sane strabonum fit intuitus, ita ut res duæ adpareant; pendet autem a situ, eo quod non medio oculo collocatus est.

8. Διὰ τί οἱ μύωπες μικρὰ γράμματα γράφουσιν; ἄτοπον γὰρ τὸ μὴ ὀξὺ ὁρῶντας ποιεῖν ἔργον ὀξὺ ὁρώντων. Πότερον ὅτι μεγάλα φαίνεται τὰ μικρά, ἐὰν ᾖ ἐγγύς, οἱ δὲ προσάγοντες γράφουσιν; Ἢ διὰ τὸ συνάγοντας τὰ βλέφαρα γράφειν; δι' ἀσθένειαν γὰρ τῆς ὄψεως, ἂν μὲν ἀναπεπταμένοις γράφωσι τοῖς ὄμμασι, διασπωμένη ἡ ὄψις ἀμβλὺ ὁρᾷ, οὕτω δὲ ἀθρόως προσπίπτει· γωνίαν δὲ μικρὰν ποιοῦσα ἐξ ἀνάγκης ποιεῖ μικρὰ γράφειν.

8. Quamobrem lusciosi literas minutas scribunt? mirum enim est, qui acute non cernunt, rem facere acute cernentibus propriam. Utrum quia parva prope posita magna esse videntur, illi autem re oculis admota scribunt? An quia contractis palpebris scribunt? propter visus enim imbecillitatem, si diductis quidem oculis scribant, intuitus distractus obtuse cernit; sic vero confertim incidit, angulumque exiguum faciens, necessario exiguas literas scribere cogit.

9. Διὰ τί ὀφθαλμιάσαντες ἔνιοι ὀξύτερον ὁρῶσιν; Ἢ διὰ τὸ ἀποκεκαθάρθαι τὰ ὄμματα; πολλάκις γὰρ ἡ ἔξω πυκνότης ἀποστέγει τὴν ὄψιν, ἀποδακρύσαντι δὲ λύεται· διὸ καὶ τὸ ἀποδάκνεσθαι συμφέρει, οἷον κρόμμυον· θάτερον δὲ πολέμιον, οἷον ὀρίγανον.

9. Cur nonnulli post lippitudinem acutius vident? An quia purificati oculi sunt? sæpe enim exterior densitas intuitum obtegit, quæ lacryma emissa solvitur : quamobrem et prodest, si rebus mordentibus oculi deterguntur, ut cepe; alterum vero noxium est, ut origanum.

10. Διὰ τί τῇ μιᾷ ὄψει ἀπαθέστεροι; Ἢ διότι ἔλαττον ἡ ψυχὴ πάσχει, ὥστ' ἔλαττον τὸ πάθος;

10. Cur uno oculo intuentes minus adficimur? An quia minus animus adficitur, ita ut minor sit adfectus?

11. Διὰ τί τοῖς διισταμένοις δύο φαίνεται; Ἢ διότι οὐχ ἀφικνεῖται ἐπὶ τὸ αὐτὸ σημεῖον ἑκατέρου τῶν ὀμμάτων ἡ κίνησις; Ὥσπερ οὖν δύο ὁρᾷν τὸ δὶς ὁρᾷν οἴεται ἡ ψυχή. Ὅμοιον καὶ ἐπὶ τῶν δακτύλων τῆς ἐπαλλάξεως· δύο γὰρ τὸ ἓν δοκεῖ, ὡς δὶς ἁπτομένῃ ἑνί.

11. Cur distractis oculis res duplices adparent? An propterea quod oculi utriusque motus non ad punctum idem devenit? Ubi ergo bis videt animus, perinde ac si geminum vidisset existimat. Simile quid evenit etiam, ubi digitos intricamus : unica namque res animo gemina esse videtur, quippe qui bis tangit, etiamsi unicus sit.

12. Διὰ τί οὐ διαφέρουσιν αἱ αἰσθήσεις αἱ ἐν τοῖς δεξιοῖς τῶν ἀριστερῶν, ἐν δὲ τοῖς ἄλλοις πᾶσι κρείττω τὰ δεξιά; Πότερον διὰ τὸ ἔθος, ὅτι εὐθὺς ὁμοίως ἀμφοῖν ἐθιζόμεθα αἰσθάνεσθαι; τὰ δὲ δεξιὰ τῷ ἔθει δοκεῖ διαφέρειν, ἐπεὶ ἐθισθεῖσιν ἀμφιδέξιοι γίνονται. Ἢ ὅτι τὸ μὲν αἰσθάνεσθαι πάσχειν τί ἐστι, τὰ δὲ δεξιὰ

12. Cur sensus dextri lateris sinistri non præstantiores sunt, quum in ceteris omnibus dextra præstent? Utrum ex consuetudine, quia statim utrisque pariter sentire consuescimus? pars enim dextra consuetudine præstare videtur, quippe ambidextri per consuetudinem fiunt. An quia sensus quidem adfectio quædam est, latus autem dextrum

διαφέρει τῷ ποιητικώτερα εἶναι καὶ ἀπαθέστερα τῶν ἀριστερῶν;

sinistro præstat quod sinistro magis activum est et adfectibus minus obnoxium?

13. Διὰ τί ἐν μὲν τοῖς ἄλλοις κρείττω τὰ δεξιά, ἐν δὲ ταῖς αἰσθήσεσιν ὅμοια; Ἢ διότι ταῦτα μὲν ὁμοίως ἐθιζόμεθα κατ' ἀμφότερα τῷ ἔθει; Ἔτι τὸ μὲν αἰσθάνεσθαι πάσχειν τί ἐστιν, ἡ δὲ τῶν δεξιῶν διαφορὰ τῷ εἰς τὸ ποιεῖν, καὶ οὐκ εἰς τὸ πάσχειν.

13. Cur in ceteris quidem dextra præstantiora sunt, in sensibus vero paria? An quia hæc quidem pariter ab utroque latere consuetudine adsuescimus? Adde tamen quod sensus quidem adfectio quædam est; dextrarum autem partium excellentia in agendo, non in patiendo consistit.

14. Διὰ τί τὸ γυμνάζεσθαι ἀσύμφορον πρὸς ὀξυωπίαν; Ἢ ὅτι ξηρὸν ποιεῖ τὸ ὄμμα ἡ γυμνασία, ὥσπερ καὶ τὸ ἄλλο σῶμα, ἡ δὲ ξηρότης σκληρύνει τὸ δέρμα πᾶν, ὥστε καὶ τὸ ἐπὶ τῇ κόρῃ; διὸ καὶ οἱ πρεσβῦται οὐκ ὀξὺ ὁρῶσιν· καὶ γὰρ τῶν γερόντων σκληρόδερμα, ἅμα δὲ καὶ ῥυσά, ὥστ' ἐπικαλύπτεται ἡ ὄψις.

14. Cur exercitatio oculorum acumini non prodest? An quia exercitatio oculum siccum reddit, sicut etiam reliquum corpus, siccitas autem totam cutem indurat, atque hinc et eam qua pupilla tegitur? quapropter et seniores non acute cernunt: senum enim oculi tunica dura simul et rugosa teguntur, ita ut visus obveletur.

15. Διὰ τί οἱ μύωπες βλέπουσι μὲν οὐκ ὀξύ, γράφουσι δὲ μικρά, καίτοι τὸ μικρὸν ὀξὺ βλέποντος καθορᾶν ἐστιν; Ἢ διότι ἀσθενῆ ἔχοντες τὴν ὄψιν συνάγουσι τὰ βλεφαρὰ εἰς μικρόν; ἀθρόα γὰρ ἐξιοῦσα ἡ ὄψις μᾶλλον ὁρᾷ, ἀναπεπταμένου δὲ τοῦ ὄμματος διασπᾶται. Διὰ μὲν οὖν τὴν ἀσθένειαν συνάγουσι τὸ βλέφαρον, διὰ δὲ τὸ ἐκ μικροῦ ὁρᾶν μικρὸν μέγεθος ὁρῶσιν· ὅσον δ' ὁρῶσι μέγεθος, τοσοῦτον καὶ γράφουσιν.

15. Cur lusciosi quidem acute non cernunt, literas tamen scribunt minutas, etiamsi rem minutam perspicere illi proprium sit qui acute cernit? An quia, quum visionem habent imbecillem, palpebras contrahunt in angustum? ubi enim confertim excidit intuitus, melius videt; contra diducto oculo dispergitur. Propter imbecillitatem igitur palpebras contrahunt; quia vero per angustum spatium transspiciunt, exiguam molem cernunt, quantamque cernunt, tantam et scribunt.

16. Διὰ τί οἱ μύωπες συνάγοντες τὰ βλέφαρα ὁρῶσιν; Ἢ δι' ἀσθένειαν τῆς ὄψεως, ὥσπερ καὶ οἱ πρὸς τὰ πόρρω τὴν χεῖρα προσάγοντες, οὕτω καὶ τὰ βλέφαρα πρὸς τὰ ἐγγὺς προστίθενται ὥσπερ χεῖρα; τοῦτο δὲ ποιοῦσιν, ἵνα ἀθροωτέρα ἡ ὄψις ἐξίῃ, δι' ἐλάττονος ἐξιοῦσα, καὶ μὴ εὐθὺς ἐξ ἀναπεπταμένου ἐξιοῦσα διασπασθῇ· ὁρᾷ δ' ἡ πλείων μεῖζον.

16. Cur lusciosi contractis palpebris cernunt? An propter visus imbecillitatem, quo modo qui res remotas intuentes manum oculis admovent, sic et hi res propinquas intuentes palpebras, quasi manum, admovent? quod faciunt, ut intuitus per spatium exiens minus magis confertus exeat, nec protinus ex patulo proficiscens distrahatur; videt autem majus, qui copiosior est.

17. Διὰ τί εἰς τὸ πλάγιον κινοῦσι τὸν ὀφθαλμὸν οὐ φαίνεται δύο τὸ ἕν; Ἢ ὅτι ἐπὶ τῆς αὐτῆς γίνεται γραμμῆς ἡ ἀρχή; δύο δὲ φαίνεται ταύτης μεταβαλλούσης ἄνω, ἢ κάτω· εἰς δὲ πλάγιον οὐδὲν διαφέρει, ἐὰν μὴ ἅμα καὶ ἄνω. Τί δὴ ἐπὶ μὲν τῆς ὄψεως ἔστιν ὥστε φαίνεσθαι τὸ ἓν δύο, ἄν πως τεθῶσιν οἱ ὀφθαλμοὶ πρὸς ἀλλήλους, ἐπὶ δὲ τῶν ἄλλων αἰσθήσεων οὐκ ἔστιν; Ἢ καὶ ἐπὶ τῆς ἁφῆς γίνεται τῇ ἐπαλλάξει τῶν δακτύλων τὸ ἓν δύο, ἐπὶ δὲ τῶν ἄλλων οὐ γίνεται, ὅτι οὔτ' ἔξω ἀποτεινομένων αἰσθάνεται, οὐδὲ δύο; Γίνεται δὲ διὰ τοῦτο διόπερ καὶ ἐπὶ τῶν δακτύλων· μιμεῖται γὰρ τὴν ὄψιν.

17. Cur non res una geminari videtur, ubi in latus oculum vertimus? An quia principium eamdem occupat lineam? tunc enim res geminari videtur, ubi illud sursum deorsumve transfertur; in latus vero transferre nil refert, nisi una etiam sursum. Cur igitur in videndo quidem aliquo modo fieri potest ut res una geminari videatur, si certo quodam modo ad se invicem oculi collocentur; in ceteris vero sensibus idem fieri non licet? An etiam circa tactum fit, ubi digitos intricamus, ut res una duæ esse videantur; in ceteris vero hoc non fit, quia ceteri nec res remotas foris percipiunt, neque binas? Fit autem eadem de causa cur et circa digitos: tactus enim visum imitatur.

18. Διὰ τί τοῦ μὲν ἄλλου σώματος τὰ ἀριστερὰ ἀσθενέστερα, τῶν δ' ὀφθαλμῶν οὔ, ἀλλ' ὁμοίως ὀξύ; Ἢ ὅτι τὰ μὲν δεξιὰ τῷ ποιητικὰ εἶναι διαφέρουσι, τῷ δὲ παθητικὰ οὐ διαφέρουσιν, αἱ δ' ὄψεις παθητικαί;

18. Cur reliquæ quidem corporis partes sinistræ invalidiores, oculorum vero non, sed eodem acumine præditæ sunt? An quia partes dextræ quidem, eo quod activi sunt, excellunt, non vero quod patibiles; oculi autem patibiles sunt?

19. Διὰ τί τῇ ὄψει πρὸς μὲν τὰ ἄλλα ἀτενίζοντες χεῖρον διατιθέμεθα, πρὸς δὲ τὰ χλωρὰ καὶ ποώδη, οἷον λάχανα καὶ τὰ τούτοις ὅμοια, βέλτιον; Ἢ ὅτι πρὸς μὲν τὸ λευκὸν καὶ μέλαν ἥκιστα δυνάμεθα ἀτενίζειν (ἄμφω γὰρ λυμαίνεται τὴν ὄψιν), τὰ δὲ τοιαῦτα τῶν χρωμάτων μέσον ἔχει τούτων; διὸ μετρίως τῆς ὄψεως διατι-

19. Quam ob causam, ubi ceteras quidem res intente intuemur, visu pejus disponimur, ubi vero res virides et herbidas, ut olera ceteraque his similia, melius? An quia album quidem nigrumque colorem minime intente possumus intueri (ambo enim visui nocent), colores autem hujusmodi medium inter hos tenent? quapropter quum me-

θεμένης οὐδ' ἐξαδυνατοῦμεν αὐτῇ, βέλτιον δὲ διατιθέμεθα. Τάχα δ' ἴσως καθάπερ ἐπὶ τῶν σωμάτων σφοδρότερον πονοῦντες χεῖρον ἔχομεν, τὸ μέσον δὲ βέλτιστα διατίθησι, τὸν αὐτὸν τρόπον καὶ τὴν ὄψιν· πρὸς μὲν γὰρ στερεὰ ἀτενίζοντες πονοῦμεν αὐτήν, πρὸς δὲ τὰ ὑγρὰ μηδενὸς ἀντιφράττοντος οὐ διαπονοῦμεν· τὰ δὲ χλωρὰ στερεά τε μετρίως, καὶ ὑγρὸν ἐν αὐτοῖς ἱκανόν· διὸ βλάπτει τ' οὐθέν, καὶ διαναγκάζει τὴν ὄψιν πρὸς τούτοις εἶναι διὰ τὸ τὴν τοῦ χρώματος κρᾶσιν σύμμετρον ἔχειν πρὸς τὴν ὄψιν.

diocri modo visus adficiatur, eo nihil debilitamur, imo vero melius disponimur. Et forsan, quemadmodum circa corpora nostra, ubi vehementius laboramus, deterius habemus, dum mediocris labor optimam adfert dispositionem, ita etiam oculis : ubi enim in res solidas visum intendimus, eo laboramus; ubi vero in humidas, nihilo intersepiente, non laboramus; virides autem res solidæ mediocriter sunt, itemque satis humoris intra sese continent : quapropter cum nullo detrimento adficiunt, tum visum sibi immorari cogunt, eo quod inter coloris hujusmodi temperamentum et visum mediocris intercedit proportio.

20. Διὰ τί τὰ μὲν ἄλλα ἀμφοτέροις τοῖς ὀφθαλμοῖς μᾶλλον ὁρῶμεν, τὸ δ' εὐθὺ τὸ ἐπὶ τῶν στίχων τῷ ἑνὶ προσάγοντες πρὸς τὰ γράμματα μᾶλλον καθορῶμεν; Ἢ ἀμφότεραι μὲν αἱ ὄψεις συμπίπτουσαι, καθάπερ λέγουσιν οἱ περὶ τὰ ὀπτικά, ταραχὴν παρέχουσιν, ἐπειδὰν δὲ τῇ μιᾷ θεωρῶμεν, πρὸς εὐθεῖαν τὴν ὄψιν, ὥσπερ πρὸς κανόνα, μᾶλλον φαίνεται τὸ εὐθύ;

20. Cur cetera quidem melius ambobus oculis cernimus, versuum vero rectitudinem uno literis admoventes perspicimus melius? An quia intuitus ambo ubi concidunt, ut auctores de rebus ad visionem pertinentibus loquuntur, perturbationem adferunt; ubi vero uno inspicimus, ad rectum intuitum, tamquam ad regulam, melius adparet quod rectum est?

21. Διὰ τί ὁ καπνὸς τοὺς ὀφθαλμοὺς μᾶλλον δάκνει; Ἢ ὅτι μόνοι ἀσθενέστατοι; ἀεὶ γὰρ τὰ ἔσω τοῦ σώματος ἀσθενέστατα. Σημεῖον δ' ὅτι καὶ τὸ ὄξος καὶ ἕκαστον τῶν δριμέων τὴν μὲν ἔξω σάρκα οὐ δάκνει, τὴν δ' ἐντός, ὅτι ἀραιοτάτη τοῦ σώματος καὶ μάλιστ' ἔχει πόρους· αἱ γὰρ ὄψεις διά τινων πόρων ἐκπίπτουσιν, ὥστε τὸ ἔσω δηκτικώτατον ἀπὸ τῆς σαρκὸς ἀποπίπτει· ὁμοίως δὲ καὶ τὸ κρόμμυον, καὶ ὅσα ἄλλα δάκνει τοὺς ὀφθαλμούς· τὸ δ' ἔλαιον μάλιστα τῶν ὑγρῶν, ὅτι λεπτομερέστατον, τοιοῦτον δ' ὂν εἰσδύνει διὰ τῶν πόρων· τὸ δ' ὄξος ἐν φαρμάκῳ τῇ ἄλλῃ σαρκί.

21. Cur fumus oculos inprimis infestat? An quia soli infirmissimi sunt? infirmissimæ namque semper sunt corporis partes interiores. Indicium autem est, quod acetum et quodque acre carnem exteriorem quidem non mordent, sed interiorem, quia rarissima pars corporis est, maximeque referta meatibus : intuitus enim per quosdam meatus excidunt, ita ut quod intus maxime mordet, de carne decidat; eodem modo cepe quoque et quæcumque alia oculos mordent : oleum vero omnium maxime humorum id facit, quia tenuissimum est; hujusmodi autem quum sit, per meatus se insinuat; acetum tandem reliquæ carni pro medicamento est.

22. Διὰ τί ὁ ὀφθαλμὸς μόνον τοῦ σώματος, ἀσθενέστατος ὤν, οὐ ῥιγοῖ; Ἢ ὅτι πίων ἐστὶν ὁ ὀφθαλμός, σαρκὸς δ' οὐθέν, τὰ δὲ τοιαῦτα ἄριγά ἐστιν; οὐ γὰρ δὴ ὅτι γε πῦρ ἐστιν ἡ ὄψις, διὰ τοῦτο οὐ ῥιγοῖ· οὐ γὰρ τοιοῦτόν γ' ἐστὶ τὸ πῦρ ὥστε θερμαίνειν.

22. Cur oculus solus totius corporis non riget, etiamsi infirmissimus sit? An quia pinguis est, nec carnis quidquam in se continet, quæ autem talia sunt, frigus non sentiunt : haud enim revera quia oculus ignis est, ideo non riget : nam talis certe ignis non est ut calfacere valeat.

23. Διὰ τί δάκρυα, ἐὰν μὲν κλαίοντες ἀφιῶμεν, θερμά ἐστιν, ἐὰν δὲ πονοῦντες τοὺς ὀφθαλμοὺς δακρύωμεν, ψυχρά; Ἢ ὅτι τὸ μὲν ἄπεπτον ψυχρόν, τὸ δὲ πεπεμμένον θερμόν; ἡ δὲ μαλακία ὅλως πᾶσά ἐστιν ἐξ ἀπεψίας, καὶ τῶν τοὺς ὀφθαλμοὺς πονούντων ἄπεπτόν ἐστι τὸ δάκρυον· διὸ ψυχρόν. Διὰ τοῦτο καὶ οἱ ἰατροὶ οἴονται σημεῖον εἶναι μεγάλης νόσου τοὺς ψυχροὺς ἱδρῶτας, τοὺς δὲ θερμοὺς τοὐναντίον ἀπαλλακτικούς· ὅταν μὲν γὰρ ᾖ τὸ περίττωμα πολύ, οὐ δύναται τὸ ἐντὸς θερμὸν πέττειν, ὥστ' ἀνάγκη ψυχρὸν εἶναι· ὅταν δ' ὀλίγον, κρατεῖ· γίνονται δ' ἐκ τῶν περιττωμάτων αἱ ἀρρωστίαι.

23. Cur lacrymæ, quas flentes quidem emittimus, calidæ sunt, quas vero oculis laborantes, frigidæ? An quia crudum quidem frigidum est, quod vero concoctum, calidum? languor enim omnis omnino ex cruditate proficiscitur, et lacryma eorum qui valetudine oculorum laborant, cruda, ac propterea frigida est. Hinc et medici sudores frigidos signum gravis esse morbi existimant, calidos contra salutares : ubi enim residua adsunt multa, a calore interiori concoqui non possunt, ita ut frigida necessario sint; ubi vero pauca, vincit calor; morbi autem e residuis gignuntur.

24. Διὰ τί ποτε εὐκινήτων ὄντων τῶν δεξιῶν μερῶν ὁ ὀφθαλμὸς ὁ ἀριστερὸς μᾶλλον τοῦ δεξιοῦ συνάγεται; Ἢ ὅτι τὰ ἀριστερὰ πάντα ὑγρότερα τῶν δεξιῶν ἐστι, τὰ δ' ὑγρότερα μᾶλλον συνάγεσθαι πέφυκεν; Εἶτα εἰς τὸ

24. Quare tandem, quum partes dextræ facile moventur, oculus sinister magis quam dexter contrahitur? An propterea quod omnia sinistra dextris humidiora sunt, humidiora autem suapte natura contrahi plenius possunt? Præ-

δεξιὸν μᾶλλον ἀποτελεῖν δύναται, τοῦ ἀριστεροῦ δυναμένου καὶ καθ' αὑτό.

terea in dextrum magis agi potest, dum sinister vel ex se moveri potest.

25. Διὰ τί ἀμφότεροι κατ' ἀσθένειάν τινα τῶν ὀφθαλμῶν διακείμενοι, ὅ τε μύωψ καὶ ὁ πρεσβύτης, ὁ μὲν ἐγγὺς προσάγει, ἄν τι βούληται ἰδεῖν, ὁ δὲ πόῤῥω ἀπάγει; Ἢ ὅτι οὐχ ὁμοία ἡ ἀσθένεια παρέπεται αὐτοῖς; ὁ μὲν γὰρ πρεσβύτης αὐτὸ ἰδεῖν ἀδύνατός ἐστιν· οὗ δὴ συμπίπτει ἡ ὄψις αὐτῷ, ἀπάγει τὸ θεώμενον, ἅτε καὶ μάλιστα μέλλων ὄψεσθαι· πόῤῥω δὲ συμπίπτει· ὁ δ' αὐτὸ μὲν ὁρᾷ, ποῖα δὲ κοῖλα καὶ ποῖα ἐξέχοντα τοῦ ὁρωμένου, οὐκέτι δύναται κρίνειν, ἀλλὰ περὶ ταῦτα ἀπατᾶται. Τὰ δὲ κοῖλα καὶ τὰ ἐξέχοντα μάλιστα τῇ αὐγῇ κρίνεται. Πόῤῥωθεν μὲν οὖν οὐ δύναται τῇ αὐγῇ καταμαθεῖν πῶς ἐπιβάλλει ἐπὶ τὸ ὁρατόν· ἐγγύθεν δὲ μᾶλλον καταφανής ἐστιν.

25. Quam ob causam et lusciosus et senex qui ambo adfectum suum imbecillitati cuidam oculorum debent, alter quidem prope admovet, si quid inspicere velit, alter vero procul abducit? An quia dissimilis imbecillitas eos infestat? senex enim rem ipsam videre non potest: quo loco enim ejus intuitus concidunt, eo rem videndam abducit, quippe sic etiam visurus maxime; procul autem concidunt; ille vero ipsam quidem rem videt, sed quænam habeat res conspecta cava, quasve prominentias, discernere non amplius valet, sed in his fallitur. Atqui cava et prominentiæ splendore discernuntur maxime. Procul igitur splendore percipere nequit, quomodo incidat in rem videndam; prope autem magis manifestus est.

26. Διὰ τί τῶν ζῴων ἄνθρωπος ἢ μόνον, ἢ μάλιστα διαστρέφεται; Ἢ ὅτι ἢ μόνον ἢ μάλιστα ἐπίληπτον ἐν τῇ νεότητι γίνεται, ὅτε καὶ διαστρέφεσθαι συμβαίνει πᾶσιν;

26. Cur homo aut solus, aut maxime animantium [oculis] distorquetur? An quia vel solus, vel maxime comitiali morbo in juventute laborat, quando et distortio omnibus adcidit?

27. Διὰ τί οἱ ἄνθρωποι μόνοι τῶν ἄλλων ζῴων τὰ ὄμματα διαστρέφονται; Πότερον διὰ τὸ ἐλάχιστον διάστημα εἶναι τῶν ὀμμάτων, καὶ ἐπ' εὐθείας, ὥστ' εὔδηλον σφόδρα γίνεται τὸ μὴ κατωρθωμένον; Ἢ διότι τῶν ἄλλων μονόχροα τὰ ὄμματά ἐστι μᾶλλον; εἰ δ' ἦν ἓν χρῶμά τι τοῦ ὄμματος, οὐχ ἦν διαστροφή. Ἢ διότι μόνοι ἐν τῷ γένει ἐπίληπτοι γίνονται τῶν ζῴων, ἡ δ' ἐπίληψις διαστροφὴν ποιεῖ, ὅταν γένηται, ὥσπερ καὶ τῶν ἄλλων μορίων; Ἀλλ' ἐνίοις ὀψὲ παντελῶς γίνεται ἡ διαστροφή, ὅσοις τὸ ἀῤῥώστημα.

27. Cur uni inter reliquas animantes homini oculi distorquentur? Utrum quod oculos minimo interstitio discretos atque in linea recta positos homo habet, ita ut mendum quodque perquam evidens fiat? An quia celerorum animantium oculi magis unicolores sunt? quodsi enim unicus quidam oculorum color esset, distortio non fieret. An quia soli ex omnium animantium genere morbo comitiali adfliguntur, comitialis autem morbus ubi incidit, distortionem facit, quemadmodum et in ceteris membris? Nonnullis tamen perquam sero fit distortio, quibus nempe et morbus.

28. Διὰ τί πρὸς τὸν λύχνον καὶ πρὸς τὸν ἥλιον προστησάμενοι τὴν χεῖρα πρὸ τοῦ φωτὸς μᾶλλον ὁρῶμεν; Ἢ ὅτι τὸ ἀπὸ τοῦ ἡλίου καὶ λύχνου φῶς προσπῖπτον μὲν ἡμῶν πρὸς τὴν ὄψιν ἀσθενεστέραν ποιεῖ δι' ὑπερβολήν; φθείρει γὰρ αὐτὰ καὶ τὰ συγγενῆ τῇ ὑπερβολῇ· εἰρχθέντα δ' ὑπὸ τῆς χειρὸς τὴν μὲν ὄψιν οὐ πημαίνει, τὸ δ' ὁρώμενον ὁμοίως ἐστὶν ἐν φωτί· διὸ ἡ μὲν μᾶλλον ὁρᾷ, τὸ δ' ὁρώμενον οὐδὲν ἧττον ὁρᾶται.

28. Quam ob causam manu præ lucerna, aut sole ante lumen objecta melius cernimus? An quia solis lucernæve lux nostris incidens oculis visionem reddit ob nimietatem infirmiorem? pervertunt enim vel res cognatæ ipsæ præ exsuperantia; at vero manu ita cohibitæ et visionem non lædunt, et res videnda æque in luce posita est: unde visio quidem plenius agit, res vero videnda nihilo minus cernitur.

29. Διὰ τί χεὶρ μὲν καὶ ποὺς διαφορὰν ἔχει πρὸς τὰ δεξιὰ τὰ ἀριστερά, ὄμμα δὲ καὶ ἀκοὴ οὔ; Ἢ ὅτι τὰ στοιχεῖα τὰ εἰλικρινῆ ἀδιάφορα, ἐν δὲ τοῖς ἐκ τῶν στοιχείων ἡ διαφορά, αὗται δ' αἱ αἰσθήσεις εἰσὶν ἐξ εἰλικρινῶν, ἡ μὲν ὄψις πυρός, ἡ δ' ἀκοὴ ἀέρος.

29. Cur manus quidem et pes dexter differentiam exhibent, si cum sinistris conferantur, oculus vero et auditus non? An quia sincera elementa discrimine carent; differentia vero iis inest quæ ex elementis conflantur, sunt autem sensus isti e sinceris elementis compositi, visus quidem ex igne, auditus vero ex aere?

ΤΜΗΜΑ ΛΒ.

SECTIO XXXII.

ΟΣΑ ΠΕΡΙ ΩΤΑ.

QUÆ AD AURES PERTINENT.

1. Διὰ τί τὰ ὦτα ὄντα ἀναιμότατα τοῦ προσώπου, ὅταν αἰσχύνωνται, ἐρυθριᾷ μάλιστα; Πότερον ὅτι εἰς τὸ κενὸν μάλιστα πορεύεσθαι πέφυκε τὸ ἀλλότριον

1. Cur aures, quæ omnium maxime partium faciei exsangues sunt, erubescunt maxime apud pudibundos? Utrum quod alienus humor inane suapte natura maxime

4. Διὰ τί ψυχθέντες ἀπὸ τῆς αὐτῆς θερμασίας καιόμεθα μᾶλλον καὶ ἀλγοῦμεν; Πότερον διὰ τὴν πυκνότητα στέγει ἡ σὰρξ τὸ προσπῖπτον θερμόν; διὸ μόλιβδος ἐρίου θερμότερος. Ἢ βίαιος γίνεται τοῦ θερμοῦ ἡ δίοδος διὰ τὸ πεπηγέναι ὑπὸ ψυχροῦ τὸ σῶμα;

5. Διὰ τί αἱ ξηροτριβίαι στερεὰν τὴν σάρκα παρασκευάζουσιν; Ἢ ὅτι διὰ τὴν τρῖψιν τῆς θερμασίας ἐπιγινομένης τὸ ὑγρὸν καταναλίσκεται; Πρὸς δὲ τούτοις ἡ σὰρξ τριβομένη πυκνοῦται· ἅπαντα δ' ὅσα πλείονος τρίψεως τυγχάνει, πυκνοῦται καὶ στερεὰ γίνεται. Θεωρῆσαι δὲ τὸ τοιοῦτον ἔστιν ἐπὶ πολλῶν· τὸ γὰρ σταίς, ἢ πηλός, ἢ ἄλλο τι τῶν τοιούτων, ἐὰν μὲν ὕδωρ ἐπιχέας ἕλκῃς, ὑγρὰ καὶ κλυδῶντα διαμένει, ἐὰν δὲ πλείω τρῖψιν προσάγῃς, πυκνοῦταί τε καὶ στερεοῦται ταχέως καὶ γλίσχρα γίνεται.

per frictionem fieri solet; deficiente vero calore, tabescit ac diminuitur corpus. An quia turgescit caro ad alimentum recipiendum propter calorem (calidum enim omne humorem adtrahere valet; alimentum autem quod in carnem digeritur, humidum est), atque alimentum amplius recipit propter raritatem? rarescens enim instar spongiæ magis recipere valet; frictio autem spiritui perviam ac raram reddit carnem atque impedit quominus concrementa in corpore fiant. Quod ubi non obtinet, colliquamenta etiam non gignuntur : alimoniæ enim defectus et colliquationes e materia congesta fieri solent : quæ ubi spiritui magis pervia, rarior et æquabilior fit, magis turgescere consentaneum est : nam et alimenti capacior redditur et excrementa melius projicere valebit. [An] quia ad secundam valetudinem conciliandam caro non densa, sed rara reddenda est? ut enim urbs locusque salubris est, prouti flatui pervius (quapropter et mare salubre est), ita etiam corpus flatui pervium salubrius est quam quod contrario modo sese habet : aut enim nullum adesse debet [excrementum], aut corpus ab eo quam primum liberandum est, atque corpus ita regendum est, ut simulac excrementum admiserit, confestim illud excernat, sitque semper motui deditum, nec umquam quiescat : quod enim manet, putrescit, sicut et aqua quæ non movetur, putrescens autem morbum contrahit : quod vero excernitur, antequam corrumpatur, secluditur. Hoc itaque, si caro densatur quidem, non evenit (meatus enim quasi obcluduntur); sin vero rarefit, adcidit : quamobrem et in sole nudo corpore ambulandum non est (spissatur namque caro et valenter obcluditur : quod enim intus est, humidum manet, quod vero in superficie, emisso vapore discedit : qua ratione et in carnibus assis magis quam in elixis humidæ sunt partes internæ); nec pectore nudo in sole ambulandum est (sol enim corporis partibus optime conditis adimit quæ nullo modo egent ademptione); sed interiora potius siccanda sunt. Inde igitur, ut e remoto, nonnisi cum labore, sudor elici potest; ab istis vero, quia in promptu sunt, facile exhauriri potest humor.

4. Quamobrem, ubi perfriximus, ab eodem calore magis urimur atque dolemus? Utrum caro propter densitatem magis coercet calorem incidentem? quare plumbum calidius quam lana est. An violentus fit caloris transitus, quia corpus frigore congelatum est?

5. Cur siccæ frictiones carnis soliditatem moliuntur? An quia propter frictionem, superveniente calore, consumitur humor? Adde quod caro perfricata densatur : quæcumque enim pleniorem experiuntur frictionem, densantur atque solidescunt omnia. Hujusmodi quid autem multis in rebus animadvertere licet : massam farinæ enim, vel lutum, vel aliam hujus generis rem, infusa quidem aqua si trahas, humida et fluctuantia manent; sin vero pleniorem admoveas frictionem, densantur ac solidescunt celeriter lentaque redduntur.

6. Διὰ τί αἱ τρίψεις μᾶλλον σαρκοῦσι τῶν δρόμων; Ἢ ὅτι οἱ μὲν δρόμοι περιψύχουσι τὴν σάρκα καὶ οὐ δεκτικὴν τροφῆς παρασκευάζουσιν, ἀλλὰ τὰ μὲν συσσείεται κάτω, τὰ δ' ἐπὶ πολλοῦ τοῦ φυσικοῦ θερμοῦ ἐπιτελουμένου παντελῶς λεπτυνόμενα εἰς πνεῦμα διακρίνεται, ἡ δὲ παλάμη τῇ τρίψει τὴν σάρκα ἀραιὰν καὶ δεκτικὴν αὐτῆς παρασκευάζει; Καὶ ἡ ἔξωθεν δ' ἀφὴ ἐναντιουμένη διὰ τῆς πιλήσεως τῇ φορᾷ αὐτὸν συνέχει μᾶλλον, καὶ ἀνάκλασιν τῆς σαρκὸς ποιεῖται.

6. Cur frictiones magis quam cursus carnem implent? An quia cursus quidem carnem admodum refrigerant, nec alimenti capacem reddunt, sed partim quidem deorsum conquassantur, partim vero adaucto calore naturali, penitus adtenuata in spiritum discernuntur; palma autem fricando carnem raram alimentique capacem reddit? Tum pertractatio quæ extrinsecus admovetur, propter spissationem resistens motu suo ipsum continet potius ac carnis efficit repercussionem.

ΤΜΗΜΑ ΛΗ.

ΟΣΑ ΠΕΡΙ ΧΡΟΑΝ.

SECTIO XXXVIII.

QUÆ AD COLOREM PERTINENT.

1. Διὰ τί τὸν μὲν κηρὸν καὶ τοὔλαιον λευκαίνει ὁ ἥλιος, τὴν δὲ σάρκα μελαίνει; Ἢ ὅτι τὰ μὲν λευκαίνει ἀπάγων τὸ ὕδωρ (φύσει γὰρ τὸ ὑγρὸν μέλαν διὰ τὴν μῖξιν τοῦ γεώδους), τὴν δὲ σάρκα ἐπικαίει;

1. Cur cera quidem et oleum sole albescunt, caro vero nigrescit? An quia illa quidem candefacit sol educta aqua (suapte enim natura humor niger est propter terreni admistionem); carnem vero adurit?

2. Διὰ τί οἱ ἁλιεῖς καὶ πορφυρεῖς καὶ ἁπλῶς οἱ τὴν θάλατταν ἐργαζόμενοι πυρροί εἰσιν; Πότερον ὅτι ἡ θάλαττα θερμὴ καὶ αὐχμώδης ἐστὶ διὰ τὴν ἅλμην, τὸ δὲ τοιοῦτον πυρρὰς ποιεῖ τὰς τρίχας, καθάπερ ἥ τε κονία καὶ τὸ ἀρσενικόν; Ἢ τὰ μὲν ἐκτὸς γίνονται θερμότεροι, τὰ δ' ἐντὸς περιψύχονται διὰ τὸ βρεχομένων αὐτῶν ἀεὶ ξηραίνεσθαι ὑπὸ τοῦ ἡλίου τὰ πέριξ; τούτων δὲ τοῦτο πασχόντων αἱ τρίχες ξηραινόμεναι λεπτύνονται καὶ πυρροῦνται. Καὶ πάντες δ' οἱ πρὸς ἄρκτον πυρρότριχες καὶ λεπτότριχές εἰσιν.

2. Quam ob causam piscatores et purpurarii, ac in universum qui rem exercent marinam, rufi sunt? Utrum quod mare calidum ac aridum est propter salsedinem; tales autem res rufos reddunt capillos, ut lixivia et auripigmentum? An parte quidem exteriori calidiores fiunt, interiori vero refrigerantur, quia, madentibus illis, semper a sole exsiccantur partes circumdantes? ita enim ubi adficiuntur istæ, capilli siccescentes adtenuantur ac rufescunt. Præterea omnes plagæ septemtrionalis incolæ rufis et tenuibus sunt capillis.

3. Διὰ τί οἱ μὲν ἐν ἱματίῳ δρόμοι καὶ ἡ τοῦ ἐλαίου εἰς ἱμάτιον χρῖσις ἀχρους ποιεῖ; Ἢ ὅτι ἡ μὲν εὔπνοια εὔχροιαν ποιεῖ, ἡ δὲ κατάπνιξις τοὐναντίον; Διὰ δὴ τὸ συνθερμαινόμενον τὸ ἐπιπολῆς ὑγρὸν μὴ διαψύχεσθαι ἄχροιαν ποιεῖ· ἄμφω δὲ ταὐτὸν ποιεῖ, ἡ ἐν τῷ ἱματίῳ ἴδισις καὶ ἡ εἰς τὸ ἱμάτιον ἄλειψις· ἐγκατακλείεται γὰρ ἡ θερμότης. Οἱ δὲ γυμνοὶ δρόμοι ἄχρουν ποιοῦσι διὰ τοὐναντίον, ὅτι καταψύχει ὁ ἀὴρ τὰς συνισταμένας ἐκκρίσεις καὶ διαπνεῖ τὸ σῶμα. Ἔτι τὸ ἔλαιον ὑγρὸν ὂν καὶ λεπτόν, ὑπαλειφθὲν καὶ τοὺς πόρους ἐμφράττον, οὔτε τὸ ἐκ τοῦ σώματος ὑγρὸν καὶ πνεῦμα ἔξω ῥεῖν ἐᾷ, οὔτε τὸ ἐκτὸς πνεῦμα ἐντός· διὸ καταπνιγόμενα ἐν τῷ σώματι ὑγρὰ περιττώματα σηπόμενα ἄχροιαν ποιεῖ.

3. Qua de causa cursus quos induti quidem agimus, et olei quæ sub vestem fit, peruncitio decolores reddit? An quia spiritus facilis quidem adcessus bonum conciliat colorem, subfocatio vero contrarium efficit? Quia itaque humor superficiei proximus una incalescens non perflatur, coloris defectum creat: idem enim efficiunt ambæ, sudatio quæ sub veste fit, et olei sub vestem peruncitio: calor namque intus includitur. At vero cursus quos nudi peragimus, coloris defectum creant propter contrariam causam, quia aer consistentia refrigerat excrementa ac corpus perflat. Ad hæc oleum, quum humidum et tenue sit perunctumque meatus obstruat, nec humorem spiritumque e corpore provenientes foras fluere, nec externum spiritum intrare sinit: quapropter excrementa humida, dum in corpore subfocantur, putrescendo coloris defectum creant.

4. Διὰ τί ἡ εὔπνοια εὔχρους ποιεῖ; Ἢ ὅτι ἄχροια ἔοικεν εἶναι οἷον σῆψίς τις χρωτός; Ὅταν οὖν τὸ ἐπιπολῆς ὑγρὸν καὶ θερμὸν ᾖ, τοῦτο συμβαίνει χλωρὸν γίνεσθαι, ἐὰν μὴ ψυχθῇ καὶ ἀποπνεύσῃ τὸ θερμόν.

4. Qua de causa spiritus facilis adcessus bonam conciliat colorem? An quod decoloratio quasi quædam superficiei putredo esse videtur? Ubi igitur superficies humida et calida est, evenit ut pallescat, nisi refrigerata fuerit ac calorem exhalarit.

5. Διὰ τί οἱ μὲν ἱδρώσαντες ἐκ τῶν γυμνασίων εὔχροοί εἰσιν εὐθύς, οἱ δ' ἀθληταὶ ἄχροοι; Ἢ διότι ὑπὸ μὲν τοῦ μετρίου πόνου τὸ θερμὸν ἐκκάεται καὶ ἐπιπολάζει, ὑπὸ δὲ τῶν πολλῶν ἐξηθεῖται μετὰ τοῦ ἱδρῶτος καὶ τοῦ

5. Cur qui sudarunt quidem post exercitia, confestim colorati sunt, athletæ vero decolores? An quia modico quidem labore exuritur calor superficiemque petit, multo vero una cum sudore et spiritu colatur, rarescente inter laborandum

πνεύματος, ἀραιουμένου τοῦ σώματος ἐν τῷ πονεῖν; Ὅταν μὲν οὖν ἐπιπολάσῃ τὸ θερμόν, εὔχροοι γίνονται καθάπερ οἵ τε θερμαινόμενοι καὶ αἰσχυνόμενοι· ὅταν δ' ἐκλίπῃ, ἄχροοι. Οἱ μὲν οὖν ἰδιῶται μέτρια γυμνάζονται, οἱ δ' ἀθληταὶ πολλά.

6. Διὰ τί μᾶλλον καίονται ὑπὸ τοῦ ἡλίου οἱ καθεζόμενοι τῶν γυμναζομένων; Ἢ ὅτι οἱ ἐν κινήσει ὄντες ὥσπερ ῥιπίζονται ὑπὸ τοῦ πνεύματος διὰ τὸ κινεῖν τὸν ἀέρα, οἱ δὲ καθήμενοι οὐ πάσχουσι τοῦτο;

7. Διὰ τί ὁ μὲν ἥλιος ἐπικάει, τὸ δὲ πῦρ οὔ; Ἢ διότι λεπτότερός ἐστιν ὁ ἥλιος καὶ μᾶλλον δύναται διαδύεσθαι εἰς τὴν σάρκα· τὸ δὲ πῦρ, ἐὰν καὶ ἐπικαύσῃ, ἄνω μόνον ποιεῖ τὸ χρῶμα, τὰς φοΐδας καλουμένας, εἴσω δ' οὐχ εἰσδύεται;

8. Διὰ τί τὸ πῦρ οὐ ποιεῖ μέλανας, ὁ δ' ἥλιος ποιεῖ· τὸν δὲ κέραμον ποιεῖ, ὁ δ' ἥλιος οὔ; Ἢ οὐχ ὁμοίως ἑκάτερον ποιεῖ, ἀλλ' ὁ μὲν ἐπικάων τὴν χρόαν μελαίνει, τὸ δὲ πῦρ τὸν κέραμον ἀναπιμπλᾷ ἢ ἀναφέρει ἀσβόλῳ, τοῦτο δ' ἐστὶ λεπτὴ σμαρίλη, ἀποθραυομένων ἅμα καὶ καομένων τῶν ἀνθράκων· τοὺς δ' ἀνθρώπους ὁ μὲν ἥλιος μελαίνει, τὸ δὲ πῦρ οὔ, ὅτι τοῦ μὲν μαλθακὴ ἡ θερμότης καὶ διὰ μικρομέρειαν δύναται τὸ δέρμα αὐτὸ κάειν, ὥστε διὰ τὸ τῆς σαρκὸς μὴ ἅπτεσθαι οὐχ ἀλγεινόν, διὰ δὲ τὸ κάειν μέλαν ποιεῖ· τὸ δὲ πῦρ ἢ οὐχ ἅπτεται, ἢ εἴσω διέρχεται, ἐπεὶ μέλανα καὶ τὰ πυρίκαυτα γίνεται, ἀλλ' οὐ μόνον ἐκεῖνον τὸν τόπον κάει οὗ ἡ χροιά;.

9. Διὰ τί οἱ γηράσκοντες μελάντεροι γίνονται; Ἢ ὅτι πᾶν σηπόμενον μελάντερον γίνεται πλὴν εὐρῶτος, τοῦτο δ' ἐστὶ γῆρας καὶ σαπρότης; Ἔτι ἐπειδὴ τὸ αἷμα ξηραινόμενον μελάντερον γίνεται, εἰκότως ἂν μελάντεροι εἶεν οἱ πρεσβύτεροι· τοῦτο γάρ ἐστι τὸ χρῷζον ἡμῶν τὰ σώματα φυσικῶς.

10. Διὰ τί περὶ τὴν πρὸς τῶν σίτων ἐργασίαν οἱ μὲν περὶ τὰς κριθὰς ἄχροοι γίνονται καὶ καταρροϊκοί, οἱ δὲ περὶ τοὺς πυροὺς εὐεκτικοί; Ἢ διότι εὐπεπτότερος ὁ πυρὸς τῆς κριθῆς, ὥστε καὶ αἱ ἀπόρροιαι;

11. Διὰ τί ὁ μὲν ἥλιος τὸ μὲν ἔλαιον λευκαίνει, τὴν δὲ σάρκα μελαίνει; Ἢ ὅτι τοῦ μὲν ἐλαίου ἀπάγει τὸ γεῶδες, τοῦτο δ' ἦν τὸ μέλαν, ὥσπερ τὸ γεῶδες τοῦ οἴνου, τὴν δὲ σάρκα μελαίνει ὅτι κάει; τὸ γὰρ γεῶδες καόμενον ἅπαν γίνεται μέλαν.

corpore? Ubi igitur superficiem petiit calor, colorati evadunt, quemadmodum incalescentes pudibundique; ubi vero defecit, decolores. Atqui privati mediocriter se exercent, athletæ vero multum.

6. Quam ob causam magis sole uruntur sedentes quam qui sese exercent? An quia qui in motu sunt, spiritu quasi flabello ventilantur, quoniam aerem movent; sedentibus vero idem non evenit?

7. Cur sol quidem adurit, ignis vero non? An quia sol tenuior est carnemque amplius subire potest; ignis vero, etiamsi adurat, superne tantummodo colorem efficit, id quod phœdas vocant, introrsum vero non subit?

8. Cur ignis quidem nigros non reddit, sol vero reddit, etiamsi fictile nigro tingat colore, sol vero non? An non eadem ratione uterque agit, sed alter quidem adurendo colorem nigrat, ignis vero fictile implet fuligine quam evehit; hæc autem tenuis favilla est, comminutis simul et ustis carbonibus; homines contra sol quidem nigros reddit, ignis vero non, quia illius quidem calor lenis est ac propter subtilitatem cutem ipsam urere potest, ita ut, quum carnem non tangat, dolorem non infligat, urendo vero nigrorem invehat; ignis contra vel non tangit, vel intro penetrat, quippe quum igni ambusta etiam nigrescunt; verum non tantum illum locum urit a quo color pendet?

9. Cur senescentes nigrescunt? An quia omne putrescens nigrior evadit, excepto situ, senectus autem id ipsum putrorque est? Ad hæc quum sanguis siccescens nigrior evadit, merito nigriores erunt seniores : sanguis etenim id est quod naturaliter nostra corpora inficit.

10. Cur eorum qui rem frumentariam tractant, qui hordeum quidem, decolores redduntur ac in destillationes proclives, qui vero triticum bene habiti? An quia concoctu facilius est triticum quam hordeum, atque hinc etiam effluvia?

11. Cur oleum quidem candefacit sol, carnem vero nigrat? An quia ex oleo quidem partem terrenam educit, hæc autem nigror erat, quemadmodum vini pars terrena, carnem vero nigram reddit, quoniam urit? omne enim terrenum, ubi uritur, nigrescit.

ΠΡΟΒΛΗΜΑΤΑ ΑΝΕΚΔΟΤΑ

PROBLEMATA INEDITA.

ΤΜΗΜΑ Α.

SECTIO I.

α'. Διὰ τί τῶν [ἐν] τῷ γάλακτι τρεφομένων ἀλεκτρυόνων οἱ ὄρχεις εὐμεγέθεις καὶ εὔπεπτοι γίνονται; Ὅτι τὸ αἷμα ἔχει ἐν αὐτῷ ὀῤῥόν, ὅνπερ ἕλκει ὁ νεφρὸς κατ' ἔλλειψιν τοῦ οὔρου, ἔχει δὲ καὶ θορόν, ὅνπερ οἱ ὄρχεις ἕλκοντες τρέφονται, ὃς παχύτερός ἐστιν οὔρου, λεπτότερος δ' αἵματος, ὃ καὶ σχῆμά ἐστιν αὐτοῦ, ἀλλ' ἕως μὲν ἡ φύσις πολλῆς δεῖται τροφῆς, ὡς ἐπὶ παιδίων, καὶ τὸν θορὸν εἰς τὸ πᾶν ἀναλίσκει σῶμα· ὅταν δ' οὐ χρείαν ἔχῃ πολλῆς, τοῦτον περὶ τὸ ἡβάσκειν περὶ τοὺς ὄρχεις συνάγει τῶν τε θηλειῶν καὶ τῶν ἀῤῥένων, ὡς ἔστιν ἰδεῖν τότε τοὺς ὄρχεις εὐρυνομένους καὶ τρίχας φυομένας περὶ τὴν ἥβην. Ἐπειδὴ δὲ μετὰ τὴν σύλληψιν τοῦ θήλεος ἡ φύσις χρείαν ἔχουσα πολλοῦ αἵματος πρός τε τροφὴν τῷ βρέφει καὶ πρὸς γάλακτος γένεσιν, τοῦτον τὸν θορὸν ἀπὸ τῶν ὄρχεων λαμβάνουσα ἀναμίγνυσι τῷ αἵματι καὶ οὕτως ἀπεργάζεται τὸ γάλα. Οἱ οὖν ὄρχεις τῶν ἀλεκτρυόνων πλέον ἕλκουσιν ἐκ τοῦ γάλακτος τοῦ βρωθέντος ὑπὸ τοῦ ἀλεκτρυόνος διὰ τὴν ὁμοιότητα καὶ ὅτι τὸ οἰκεῖον ἑαυτῶν, τὸν θορὸν λέγω, πάλιν εὑρίσκουσιν ἐν τῷ γάλακτι, καὶ οὕτω γίνονται εὐτραφεῖς οἱ ὄρχεις καὶ εὔπεπτοι καὶ τρόφιμοι.

1. Cur testes gallorum gallinaceorum quos lacte saginant, amplissimi et coctu faciles efficiuntur? Quoniam sanguis non modo serum in se continet, quod ren trahit deficiente urina, sed etiam genituram, qua adtracta nutriuntur testes, eaque crassior est urina tenuiorque sanguine : id quod ejus speciem constituit; sed quamdiu natura multo indiget alimento, ut apud infantes, genituram quoque in universum impendit corpus; ubi autem multo opus non habet, hanc pubertatis tempore circa testes colligit cum feminarum, tum marium, quemadmodum tunc videre licet testes amplificari pilosque circa pubem pullulare. Ubi vero post conceptionem feminæ natura multo sanguine indiget ut fœtum nutriat et lac moliatur, hanc genituram a testibus revocatam sanguini remiscet atque ita lac efficit. Testes itaque gallorum plus adtrahunt e lacte quam e gallorum cibo, cum propter similitudinem, tum quia rursus rem sibi familiarem, genituram nimirum, in lacte reperiunt, atque hoc modo turgidi, concoctu faciles et alibiles redduntur.

β'. Διὰ τί, εἰ τὸ δριμὺ γεννᾶται ἀπὸ πολλῆς θερμότητος, τὸ δὲ δριμείας ποιότητος μετέχον μέλι ἐπαινοῦσιν, εἰ γε καὶ μετρίως αὐτὸ βούλονται εἶναι θερμόν; Φημὶ ὅτι οὐκ ἀφ' ἑαυτοῦ ἐστι δριμύ, ἀλλ' εὔκρατον, ἡ δὲ γλῶττα τῇ οἰκείᾳ θερμότητι θερμαίνουσα αὐτὸ πλέον ἐπὶ τὸ δριμὺ μετάγει· πᾶν γὰρ γλυκὺ θερμαινόμενον πρῶτον μὲν δριμὺ γίνεται, ὕστερον δ' ὑπερθερμαινόμενον ἄγαν πικρὸν ἀποτελεῖται. Τὸ δὲ σάκχαρ παρὰ τοῖς Ἰνδοῖς οὕτω λεγόμενον μέλιτός ἐστι πῆξις, τοῦ ἡλίου τὴν ἐν τῷ ἀέρι δρόσον πηγνύοντος ἐπὶ τὸ γλυκύ, ὥσπερ καὶ ἐν τῷ ὄρει τῷ Λιβάνῳ καλουμένῳ γίνεται τοιοῦτον· ἔστι δ' ὅμοιον χόνδρῳ ἅλατος, λευκόν, εὔθρυπτον, γλυκύ. Ἔστι δὲ ῥυπτικῆς καὶ αὐτὸ δυνάμεως [ὡσαύτως] τῷ μέλιτι τῷ μετέχειν ἰχωροειδοῦς τινος ῥύψεως, ὅθεν καὶ ἑψόμενον καὶ τοῦτο μεταβάλλον οὐκέτι μὲν σμήχει ὡς τὸ ἄνεφθον, τρέφει δὲ μᾶλλον ἐσθιόμενον, ἢ ἔξωθεν ἐπιτιθέμενον. Ἔστι δὲ καὶ ἑτέρα διαφορὰ μέλιτος χαλβανόριον λεγόμενον, τῶν μελισσῶν βοσκομένων ἐν ἐκείνῳ τῷ ὄρει τὰ ἄνθη, ἐν ᾧ καὶ χαλβάνη γίνεται, καὶ τοῦ μέλιτος λαμβάνοντος τῆς ποιότητος, ὅπερ δύναται πρὸς ἀμβλυωπίαν ἐγχριόμενον ποιεῖν, θερμῆς μᾶλλον δυνάμεως ὄν. Ὁμοίως καὶ τὸ θύμων ὄζον ποιεῖ πρὸς ψυχρὰν γαστέρα, καὶ τὸ Ποντικὸν [ἀψίνθιον] πικρὸν ὄν, καὶ πρὸς τὴν διαφορὰν τῆς ποιότητος ἡ δύναμις αὐτοῦ. Τὸ δ' Αἰγύπτιόν ἐστιν ὑγρὸν καὶ ὑδατῶδες τῷ πολλῆς μετέχειν ὑγρότητος τὰ ἄνθη ἐπὶ πολὺ ποτιζόμενα τῷ ποταμῷ. Τὸ δὲ πάντων ἄριστον τὸ νησιωτικὸν καὶ τῶν παραθαλαττίων ὀρῶν καὶ τόπων, ὡς ἀπέριττον καὶ ξηρότερον, καὶ τὸ Ὑμήττιον ἐν τῷ Ὑμηττίῳ ὄρει τῆς Ἀττικῆς μάλιστα ἔχοντι ἄνθη βοτανῶν καὶ δένδρων εὐώδη καὶ καθαρὰ καὶ εὔχροα καὶ λεπτομερῆ.

2. Quamobrem, si acrimonia a caloris copia producitur, mel commendant acris qualitatis particeps, etiamsi illud modice quoque calidum esse velint? Censeo id non per sese esse acre, sed temperatum, verum lingua proprio suo calore illud amplius calefaciens ad acrimoniam deflectit : omne enim dulce, ubi calefit, primum quidem acre redditur, post vero nimium incalescens admodum amarum efficitur. Quod autem saccharum appellant Indi, mellis coagulum est, sole rorem qui aeri inest, ad dulcedinem cogente, quemadmodum et in monte Libano dicto simile quid generatur; est autem salis glebulæ simile, candidum, fragile, dulce. Vim id quoque detergendi habet ad modum mellis, quoniam serosæ cujusdam detersionis particeps est : unde et coctum, hoc mutato, non amplius detergit uti incoctum, sed nutrit potius, sive comeditur, sive foris adplicatur. Exstat et alia species mellis galbanorium dicta, apibus nempe flores depascentibus in monte illo, in quo et galbanum oritur, melleque hanc qualitatem adtrahente, idque adversus oculorum hebetudinem illitum facere potest, utpote viribus calidioribus præditum. Quin etiam quod thymum redolet, adversus ventris frigus facit, uti et Ponticum, quod amarum est, atque pro qualitatis discrimine ejus vires differunt. Ægyptium vero humidum est et aquosum, quoniam flores multi humoris participes sunt, quippe qui largiter flumine rigantur. Omnium vero optimum est insulare quodque e montibus et locis maritimis provenit, utpote excrementorum expers et siccius, itemque Hymettium, in Hymettio Atticæ monte genitum, inprimis plantarum arborumque flores suaveolentes, puros, bene coloratos et subtiles continente.

γ'. Διὰ τί τὸ γάλα ψυχρόν ἐστι καὶ τοιοῦτον ὂν εὐαλλοίωτον καὶ τρόφιμον ὑπάρχει; Ὅτι καθ' ὃ ἐξ αἵματος μετεβλήθη, κατὰ τοῦτο ῥᾷον μετέρχεται εἰς αἷμα καὶ σχεδὸν

3. Cur lac frigidum est, atque etiamsi ejusmodi sit, facile subigitur probeque nutrit? Quoniam, quatenus e sanguine immutato provenit, eatenus facilius in sanguinem transit et

αἷμά ἐστι λευκαινόμενον ὑπὸ φύσεως, ὁμιλοῦν δὲ τῷ ἀέρι πλέον ψύχεται. Βδαλλόμενον δ' ἔτι ποσῶς θερμόν ἐστι, μὴ ὁμιλοῦν τῷ ἀέρι, καὶ σώζει τὴν οἰκείαν δύναμιν, ὡς καὶ τὸ σπέρμα· λευκὸν δὲ καὶ ψυχρὸν ποσῶς ἐστιν, ὅτι ὑπ' ἀδένων λευκῶν καὶ ἀναίμων καὶ ἧττον θερμῶν ὄντων ἐν τοῖς μαστοῖς μεταβάλλεται. Οὐ δεῖ δ' αὐτὸ πυτίᾳ πηγνύειν· κακοστόμαχος γὰρ καὶ δυσανάδοτος· ἀλλὰ μᾶλλον ὀπῷ συκῆς, ἢ ἐχίνῳ ὄρνιθος πλύνας, ἢ κνήκῳ. Ἡ μέντοι πτισάνη εὐαλλοίωτος μέν, ἀλλ' ἧττον τρόφιμος· ὁ δὲ χόνδρος τοῦ ἄλικος τρόφιμος μέν, δυσαλλοίωτος δέ, ὅθεν καὶ ὀξυμέλιτι ἐσθίεται τριβείς.

δ'. Διὰ τί τὰ ἐν τῷ πνεύμονι ἕλκη ἀνίατα; Πρῶτον μὲν ὅτι πᾶν τὸ δεόμενον ἰάσεως ἠρεμίας δεῖται, ὡς καὶ τό· ποδὸς ἄκος ἀκινησίη· ἡ γὰρ κίνησις σύρροιαν ποιεῖ χυμῶν περιττῶν, οὗτοι δὲ φλεγμονάς· ὁ δὲ πνεύμων ἀεικίνητος διὰ τὴν ἀνάγκην τῆς ἀναπνοῆς. Ἄλλως τε τὸ ἕλκος ἀεὶ ἐπίπαγον ποιοῦν οὐ δεῖται ἀνακαθάρσεως· οὐ δύναται δέ, εἰ μὴ βηχί, ἀνακαθαίρεσθαι, ἡ δὲ βὴξ σύντονος οὖσα κίνησις σπαράσσει τὸ ἕλκος καὶ ἀνευρύνει. Ἄλλως τε ὑγρὸν καὶ θερμὸν τὸ μόριον καὶ εὔσηπτον, καὶ [τὸ] βρόγχιον τοῦ πνεύμονος ἀναβρωθὲν οὐ δύναται γενέσθαι, εἰ μὴ ὑπὸ μόνης φύσεως πάλιν ἐκ σπέρματος.

ε'. Διὰ τί οἱ φρενιτικοὶ ἐν μὲν τῷ πάθει ἰσχυροί, ἀπαλλαγέντες δὲ ἀσθενεῖς; Ὅτι ξηρὰ δυσκρασία κατέχει τὸν ἐγκέφαλον καὶ τὰ νεῦρα, αὕτη δὲ τόνον δίδωσι τοῖς νεύροις πρὸς ἐνέργειαν· ὕστερον μέντοι ἀπαλλαγέντες αἰσθάνονται λοιπὸν τοῦ κόπου, τῆς διακριτικῆς διανοίας καθαρᾶς ἐπιστοιχούσης τοῖς πάθεσιν. Καὶ ἐνυγρανθέντα δὲ τὰ νεῦρα μαλακὰ γίνεται καὶ ἀσθενῆ.

ς'. Διὰ τί οἱ πετραῖοι ἰχθύες εὔπεπτοι; Ἐπειδὴ πᾶν τὸ πρὸς ταῖς πέτραις ὕδωρ καὶ γαλήνης οὔσης κινεῖται· σκληρὸν γὰρ καὶ μαλακὸν ἐναντιότητα ἔχοντα οὐ δύναται ἡσυχάζειν ἀλλήλοις ὁμιλοῦντα, τὸ δὲ κινούμενον λεπτότερον γίνεται τοῦ ἠρεμοῦντος. Καὶ οἱ ἰχθύες οὖν τῷ ὕδατι συγκινούμενοι ἀπέριττοι γίνονται. Τῷ αὐτῷ τρόπῳ καὶ αἱ πτέρυγες συνεχῶς κινούμεναι εὔπεπτοί εἰσιν.

ζ'. Διὰ τί ἐπὶ τῶν συνεχῶν πυρετῶν ἐν ταῖς παρακμαῖς οὐ λούομεν αὐτούς; Ὅτι οἱ παρὰ φύσιν χυμοὶ ἄπεπτοί εἰσιν ἔτι καὶ παχεῖς καὶ ἀντέχονται τῶν σωμάτων, οἱ δὲ κατὰ φύσιν λεπτοὶ καὶ εὐδιάρρυτοι. Τὸ θερμὸν οὖν τοῦ λουτροῦ ἑλκύσει τῇ βίᾳ προτέρους ὡς λεπτοὺς τοὺς κατὰ φύσιν ἐν ἀρχῇ τοῦ νοσήματος, ἐὰν καὶ ἐν ἀπεψίᾳ λούσωμεν.

η'. Διὰ τί ἐπὶ τῶν ἑκτικῶν ὕδωρ παρέχουσιν οἱ ἰατροὶ πρὸ τῆς τροφῆς βραχύ; Ἵνα τὰ κατεξηραμμένα στερεὰ μόρια προϋγράνωσι καὶ ἐπιτήδεια γένωνται πρὸς φύσιν στερεᾶς τροφῆς· οὕτω γὰρ καὶ οἱ κονιαταὶ προσραίνουσι τὸν τοῖχον ὕδατι καὶ οὕτω χρίουσι τὴν κονίαν.

θ'. Διὰ τί τὰ γλυκέα αὔξει σπλῆνα καὶ ἧπαρ; Ὅτι τὸ μὲν ἧπαρ τῇ ὁμοιότητι τῆς κράσεως ἕλκει ῥᾷον τὰ γλυκέα· θερμὰ γὰρ καὶ ὑγρὰ ἀμφότερα· ὁ δὲ σπλὴν ἕλκων τὸ τρυγῶδες τοῦ αἵματος ἐκ τοῦ ἥπατος συνεφέλκεται καὶ αἷμα πλεῖον τῷ εἶναι πλῆθος, τοῦτο δὲ γίνεται μᾶλλον, ὅταν ἐρρωμένην ἔχῃ τὴν ἑλκτικήν· ἀπὸ γὰρ τοῦ ἐπισπᾶν καὶ σπλὴν εἴρηται.

ι'. Διὰ τί οἱ τὸν κρόταφον πληγέντες σφοδρῶς ἀπόλλυνται; Ὅτι ὁ μῦς οὗτος ἐξ αὐτοῦ τοῦ ἐγκεφάλου ἐκπέφυκεν, ὅθεν καὶ πλησίον αὐτοῦ ὑπάρχει. Συμπάσχων οὖν ὁ ἐγκέφαλος καὶ

propemodum sanguis est naturæ vi albescens; aerem vero tangens impensius refrigeratur. Ubi mulgetur vero, quadantenus adhuc calidum est, utpote aerem non tangens, servatque propriam virtutem, uti et semen; album vero et aliquatenus frigidum est, quia a glandulis albis exsanguibusque et minus calidis in mammis immutatur. Non autem coagulo cogendum est: ventris enim orificio nocet et difficulter distribuitur, sed potius succo ficulno, aut echino gallinæ loto, aut cnico. Ptisana vero subigitur quidem facile, sed nutrit minus, dum alicæ granum nutrit quidem, sed difficulter subigitur: unde et aceto mulso tritum comeditur.

4. Cur pulmonis ulcera curari nequeunt? Primum quidem quia omne quod sanari debet, quiete indiget, uti testatur effatum illud: « pedis cura immobilitas »: motus enim confluvio humorum superfluorum ansam dat, hi vero inflammationibus; at pulmo semper movetur propter respirationis necessitatem. Præterea ulcus semper concrementum generat quod repurgari debet; nonnisi tussi autem, repurgari nequit; at tussis, utpote motus validus, ulcus vellicat ac dilatat. Quin etiam humidum et calidum putredinique obnoxium est membrum, et fistula pulmonis corrosa nequit generari, nisi iterum a sola natura e semine.

5. Quamobrem phrenitici per ipsum quidem morbum validi sunt, liberati vero debiles? Quia sicca intemperies cerebrum obcupat et nerva, hæc autem nervis vigorem impertit ad agendum; postea vero liberati jam sentiunt lassitudinem, intellectu discernente puro ad adfectus adcedente. Nervi quoque madefacti molles et debiles redduntur.

6. Quamobrem pisces saxatiles facile concoquuntur? Quia omnis aqua saxa adluens vel per tranquillitatem movetur: res enim dura et res mollis, quippe inter se obpositæ, quiescere nequeunt, ubi se invicem tangunt, et res quæ movetur, tenuior redditur quiescente. Pisces itaque, quippe qui una cum aqua moventur, excrementorum quoque expertes efficiuntur. Eodem modo alæ etiam, quum continuo motu agitantur, concoctu faciles sunt.

7. Cur in febribus continuis per decrementa non lavamus ægrotos? Quia humores præter naturam adhuc concoctu difficiles et crassi sunt, partibusque firmiter adhærent; humores vero secundum naturam tenues sunt et facile diffluunt. Balnei itaque calor morbi initio primum vi sua adtrahet humores secundum naturam, utpote tenues, si et per cruditatem lavemus.

8. Quamobrem in febribus hecticis paululum aquæ ante cibum propinant medici? Ut partes solidas desiccatas antea humectent, eæque aptæ fiant ad alimentum solidum adglutinandum: nam sic quoque artifices tectorii parietem aqua rigant atque tum demum calcem illinunt.

9. Quamobrem dulcia augent lienem et jecur? Quia jecur quidem temperamenti similitudine facilius adtrahit dulcia: calida enim et humida sunt ambo; lien vero, quum partem fæculentam sanguinis e jecore adtrahit, una trahit plus sanguinis, quia magna copia adest; hoc autem magis evenit, quando validam obtinet facultatem tractoriam: ab adtrahendo enim splen adpellatus est.

10. Quamobrem gravi temporum vulnere icti pereunt? Quia iste musculus ex ipso cerebro provenit: unde et ei vicinus est. Cerebrum igitur adfectus et doloris particeps factum atque

συναλγῶν καὶ συνακολαύων τῆς πληγῆς συστέλλεται, σὺν αὐτῷ δὲ καὶ τὸ ψυχικὸν πνεῦμα πιλοῦται καὶ πλατύνεται, καὶ οὕτως ἡ ψυχὴ μὴ εὐποροῦσα τοῦ ἐπιτηδείου ὀργάνου ἀφίπταται ἐκ τοῦ σώματος· δεσμοῦ γὰρ φθορὰ λύσιν τῶν συμπλακέντων ἀποτελεῖ.

ια'. Διὰ τί οἱ ἐμβρόντητοι ἀπόλλυνται, ἢ νωδοῦνται καὶ ἀνόητοι γίνονται; Τῷ αὐτῷ πάλιν λόγῳ· ὁ γὰρ ἄμετρος κτύπος τῆς βροντῆς διὰ τῆς ἀκοῆς εἰσιὼν εἰς ἐγκέφαλον πλήττει πάλιν σφοδρῶς τὸν ἐγκέφαλον καὶ τὸ ψυχικὸν πνεῦμα, καὶ τοῦτο πάλιν συστέλλεται καὶ παχύνεται καὶ ἀνόμοιον ψυχῇ γίνεται πρὸς ἐνέργειαν. Εἰ δ' ἀμέτρως παχυνθείη, καὶ χωρισμὸν ποιεῖται τῆς ψυχῆς καὶ τοῦ σώματος, καὶ διὰ τοῦτο θάνατον.

ιβ'. Διὰ τί τοῦ ᾠοῦ τὸ μὲν λεκιθῶδες εὔπεπτόν ἐστι, τὸ δὲ λευκὸν δύσπεπτον; Ὅτι τὸ μὲν χρυσοειδὲς θερμόν ἐστι, τὸ δὲ λευκὸν ὑγρὸν καὶ ψυχρόν. Ἴσθι οὖν ὅτι ἐκ τεσσάρων στοιχείων ἐστίν· τὸ μὲν γὰρ ὀστρακῶδες ἔοικε τῇ γῇ, ψυχρὸν καὶ ξηρὸν ὑπάρχον, τὸ δ' ὑγρὸν τῷ ὕδατι, ὑγρὸν καὶ ψυχρὸν τυγχάνον, τὸ δ' ἐν αὐτῷ πνεῦμα τῷ ἀέρι, ὑγρὸν καὶ θερμόν, τὸ δὲ λεκιθῶδες τῷ πυρί, θερμὸν καὶ μετρίως ξηρὸν ὄν· μετέχει δὲ καὶ τῆς χροιᾶς τοῦ πυρός, καὶ εἴ μοι συγχωροίης εἰπεῖν, ἔοικεν εἶναι μίμημα κόσμου· καὶ αὐτὸ γὰρ σφαιροειδές, ἐκ στοιχείων τεσσάρων, μετέχον καὶ δυνάμεως ζωτικῆς.

ιγ'. Διὰ τί τῶν κωλικῶν ἡ κόπρος βολβιτώδης; Διότι ὡς ἐπὶ τὸ πλεῖστον ἐκ φλέγματος ἔχει τὴν γένεσιν τὸ πάθος, τοῦτο δὲ τῷ πλήθει σηπόμενον πνεύματα τίκτει, ἅ τινα τὴν κόπρον προσυπενδυόμενα, καὶ διογκοῦντα ταύτην, καὶ φυσῶντα ὡς τὴν τῶν βοῶν ποιεῖ, ὅθεν πολλάκις καὶ ἐπινήχεται ὕδατι διὰ τὴν κουφότητα τοῦ πνεύματος. Καὶ ἡ τῶν βοῶν δὲ διαπνευματοῦται κόπρος διὰ τὸ πολλῇ τροφῇ κεχρῆσθαι ἀχυρώδει καὶ τῷ πλήθει πνεύματα πλεῖστα τίκτειν.

ιδ'. Διὰ τί ἐπὶ τῶν τὴν μήνιγγα τὴν παχεῖαν τοῦ ἐγκεφάλου τετρωμένων μύκητες ἐξίασι διὰ τῆς διαιρέσεως; Ὅτι ἀεὶ τοῦ ἐγκεφάλου ἀτμοὺς γεννῶντος καὶ διαφοροῦντος αὐτοὺς διὰ τῶν ῥαφῶν τοῦ κρανίου, νῦν εὑρίσκοντες ἀναπέτειαν πλείστην τῆς διαιρέσεως, δι' αὐτῆς ἐξίασιν ἀθρόως, καὶ ὁμιλοῦντες ψυχρῷ τῷ ὀστέῳ πήγνυνται καὶ τῇ ἁπλότητι ἐξαπλοῦνται καὶ λαμβάνουσι σχῆμα μυκήτων, ἄνωθεν μὲν ὄντες πλατεῖς, κάτωθεν δὲ στενοί· οὕτω γὰρ καὶ καπνὸς εὑρίσκων πολλὰς ὀπὰς καὶ θυρίδα μίαν, ῥᾷον καὶ ἀθρόως διὰ τῆς θυρίδος ἔξεισιν ἤπερ διὰ τῶν ὀπῶν.

ιε'. Διὰ τί τὸ φλέγμα παχὺ ὄν, καὶ διὰ τοῦτο κατωφερές, πολλάκις τῶν ποδῶν ἄνεισιν ἐπὶ τὴν κεφαλήν, ἢ ἐπὶ τοὺς ὀφθαλμούς; Φημὶ ὅτι οὐ τὸ φλέγμα καθ' ἑαυτὸ ἄνεισιν, ἀλλ' ἡ ἀποκριτικὴ δύναμίς ἐστιν ἡ ἑνὸς ἑκάστου μορίου ἀποδιώκουσα ἐπὶ τὸ ἄνω, ἄχρις ἂν εἰς τὸ ἀσθενέστερον πάντων τῶν μορίων ἀποδιωχθὲν ἔλθῃ, κἀκεῖνο δι' ἀσθένειαν μὴ δυνηθῇ ἀποσείσασθαι, ἀλλὰ μείνῃ ὑπ' αὐτοῦ βαρούμενον καὶ ῥευματιζόμενον· οὕτω γὰρ ἐάν τις ἄνθρακα πυρὸς πολλῶν παρόντων ῥίψῃ τινί, κἀκεῖνος ἑτέρῳ, καὶ ἄλλος ἄλλῳ, τῇ ἰσχύϊ αὐτὸν ἀπορρίψουσιν, ἄχρις ἂν εἰς τὸν ἀσθενέστατον ἐλθὼν ἀπομείνῃ.

ις'. Διὰ τί ἐν λοιμικῇ καταστάσει πολλοὶ ἀπόλλυνται κατὰ πάθος ἓν ὡς ἐπὶ τὸ πλεῖστον κατὰ τὴν αὐτὴν ἡλικίαν, καὶ δοκεῖ ὥσπερ ἀνατρέπειν τὴν ἀπὸ τῶν ἀστέρων εἱμαρμένην; Φημὶ ὅτι ὅσοι ἐκληρώθησαν ἀπὸ τῆς ἀστρῴας κινήσεως κατὰ τὴν αὐτῶν ἀπότεξιν ὀλιγοχρόνιοι, οὗτοι θᾶττον ἐλέγχονται καὶ ἁλίσκονται ὑπὸ τοῦ λοιμοῦ κινούμενοι· οὕτω

simul vulnere perfruens contrahitur; una cum eo vero et spiritus animalis stipatur et complanatur, atque sic anima instrumento idoneo destituta evolat e corpore: vinculi enim pernicies rerum colligatarum solutionem efficit.

11. Cur tonitru perculsi pereunt, aut voce et mente privantur? Eadem rursus ratione: immanis enim tonitrus strepitus per auditum intrans cerebrum, rursus violenter ferit cerebrum et spiritum animalem, atque hic rursus contrahitur ac spissatur dissimilisque fit animæ ad agendum. Quodsi vero ultra modum spissatur, separationem quoque animæ et corporis, atque hinc mortem, efficit.

12. Quamobrem vitellus quidem ovi facile concoquitur, albumen vero difficulter? Quia res aureæ quidem calidæ sunt, albæ vero humidæ et frigidæ. Scito igitur ovum e quatuor elementis compositum esse: pars enim testacea terræ similis est, quippe frigida et sicca; liquida vero aquæ, utpote humida et frigida; spiritus porro qui eo continetur, aeri, utpote humidus et calidus; vitellus tandem igni, quum calidus et modice siccus sit; ignis quoque coloris particeps est, atque si mihi veniam dicendi concedas, mundi imago esse videtur: nam ipsum quoque globum refert, e quatuor elementis conflatum, facultatis vitalis insuper particeps.

13. Quamobrem colicorum stercus fimum refert bubulum? Quia morbus plerumque e pituita originem petit, hæc autem propter copiam putrescens flatus gignit, qui stercus subeuntes et tumefacientes inflantesque bubulo simile efficiunt: unde sæpe et aquæ innatat propter flatus levitatem. Boum stercus item flatibus penetratur, quoniam multo utuntur alimento paleæ simili, atque propter hanc copiam plurimos gignunt flatus.

14. Cur apud crassæ cerebri membranæ vulnera passos fungi per incisuram prodeunt? Quia cerebro semper vapores generante ac per calvarii suturas dissipante, hi vapores nunc, reperta amplissima incisuræ apertura, per eam confertim exeunt et, contactu osse frigido, coagulantur et simplicitate sua explicantur ac figuram fungorum induunt, quum superne quidem lati, inferne vero angusti sint: sic enim et fumus, inveniens multa foramina et fenestram unicam, facilius ac confertim per fenestram exit quam per foramina.

15. Quamobrem pituita, etiamsi crassa sit, atque propterea inferiora petat, sæpe a pedibus ad caput, vel ad oculos adscendit? Censeo pituitam non per se adscendere, sed facultatem secernentem eam esse quæ ab unaquaque parte sursum abspellit, donec ad omnium partium debilissimam abspulsa veniat, eaque propter debilitatem non possit excutere, sed perstet pituita gravata et fluxione laborans: sic enim si quis carbonem igneum, multis præsentibus, ad aliquem rejiciat, hic vero ad alium, aliusque ad alium, vi eum rejicient, donec ad debilissimum perveniens loco manserit.

16. Cur in constitutione pestilenti moriuntur multi uno adfectu, idque plerumque eadem ætate, videturque quasi subvertere fatum a sideribus profectum? Censeo quicumque ipsorum ortu a siderum motu brevem ætatem sortiti sunt, hos citius redargui et capi peste motos: sic enim et domus

γὰρ καὶ οἰκία παλαιὰ καὶ σαθρὰ θᾶττον ὑπ' ἀνέμου σφοδροῦ καταπίπτει ἤπερ ἡ ἰσχυρὰ καὶ νέα διά τινα τοιαύτην ἀστρῴαν ἀπόρροιαν λοιμικήν.

ιζ'. Διὰ τί ὁ πολὺς δῆμος ἐπὶ τῶν κραιπαλῶν φησιν οἶνον οἴνῳ διαλύεσθαι, τὴν ἐξ αὐτοῦ κεφαλαλγίαν; Φημὶ τοῦτο ἰδιωτικὸν μέν, ἀληθὲς δὲ τυγχάνειν· τὴν γὰρ ἀπὸ τῆς πολλῆς θερμότητος γενομένην ἔκλυσιν ἕτερος οἶνος εἰσιὼν καὶ ἀποδιώκων αὐτήν, ῥώννυσι ταῦτα καὶ παρασκευάζει διώκειν καὶ ἀποκρούεσθαι τὰ συναχθέντα ὑπ' αὐτοῦ πνεύματα βαροῦντα τὴν κεφαλὴν καὶ τὸ σῶμα, καὶ μάλιστα ὁ κεκραμένος ἐκλύει τὴν τοῦ προτέρου θερμότητα δι' ἣν καὶ ἡ ἔκλυσις· ὀλίγος μὲν γὰρ οἶνος πινόμενος ὑγείαν ποιεῖ, σύμμετρος δ' εὐφρασίαν, ἄμετρος δὲ μέθην καὶ παραφροσύνην, καθὼς καὶ Θέογνις ὁ ποιητὴς εἶπεν περὶ τοῦ συμμέτρου οἴνου φάσκων (210-11 ed. Schneid.)·

οἶνος πινόμενος πουλὺς κακός· ἢν δέ τις αὐτὸν
πίνῃ ἐπισταμένως, οὐ κακός, ἀλλ' ἀγαθός·

ὅθεν οὐκ ἀσκόπως μυθεύουσι τῷ Διονύσῳ βάκχην ἕπεσθαι διὰ τὴν ἐκ τοῦ οἴνου χορείαν· σατύρους δὲ διὰ τὴν εὐκινησίαν· Λύζην δὲ διὰ τό τινας ἐκλύεσθαι ἐξ αὐτοῦ· πάρδον δὲ διὰ τὴν ποικίλην φαντασίαν τῶν οἰνωμένων· διάφορον γὰρ ἕκαστος καὶ ποικίλον ἀναδέχεται λογισμὸν ὑπὸ τοῦ οἴνου κινούμενος· πολύστικτος γὰρ καὶ ἡ δορὰ τοῦ ζῴου· μίαν δὲ βάκχην μανεῖσαν καὶ δράσασαν φόνον, τὴν Ἀγαυὴν μητέρα τοῦ Πενθέως· πολλοὶ γὰρ ὑπερμεθυσθέντες ἐτράπησαν εἰς φόνον· γυμνὸν δὲ τὸν Διόνυσον διὰ τὴν ἀπὸ τοῦ οἴνου γινομένην φανέρωσιν τῶν πινόντων τοῦ λογισμοῦ· ποθῆσαι δ' Ἀφροδίτην καὶ Ἀριάδνην· τοῖς γὰρ οἰνωθεῖσι παρέπεται πλείστη γυναικῶν ἐπιθυμία· ἔχειν δὲ καὶ φαλακρόν τι διὰ τὸ μάλιστα τὸν ἐγκέφαλον ἐρημοῦν καὶ βλάπτειν καὶ μωραίνειν τὸν πολὺν οἶνον· ὅθεν καὶ Μάρωνα προσηγόρευσαν· ἔχειν δὲ καὶ Πᾶνα, τουτέστιν αὐτὸ τὸ πᾶν εἶναι τοῦ οἴνου τὴν δύναμιν, ἢ πάλιν διὰ τὴν διάφορον χροιὰν καὶ δύναμιν τοῦ οἴνου· καὶ γὰρ οὗτος πολυσχημάτιστός ἐστι καὶ πολυχρώματος· ὑπὸ πυρὸς δὲ κεραυνωθέντα καὶ ἐν τῷ μηρῷ βληθέντα, διότι πολλάκις ὁ οἶνος ἡλιαζόμενος τελειοῦται τῇ κράσει καὶ τῇ δυνάμει τοῖς κεράμοις κρυπτόμενος· τέσσαρας δὲ γυναῖκας εἶναι ἀδελφὰς διὰ τὸ τέσσαρας τροπὰς ἔχειν τὸν οἶνον. Ἄκουε δὲ καὶ περὶ τοῦ Πανός, ὅτι βούλονται αὐτὸν εἶναι τὸ πᾶν τοῦ κόσμου· δύο μὲν γὰρ κέρατα περιτιθέασι τῇ κεφαλῇ διὰ τὴν διπλὴν φύσιν τοῦ παντός· τὸ γὰρ πᾶν ἄρρεν καὶ θῆλυ τὸ κατὰ μέρος κατέστηκεν, ὥσπερ καὶ ἥλιος καὶ σελήνη· ὁ μὲν γάρ ἐστι παρεκτικὸς ἀντὶ σπέρματος τῶν ἰδίων φωτῶν πρὸς τὴν σελήνην, ἡ δὲ δεκτικὴ ὑπάρχει καθάπερ καὶ τὸ θῆλυ γένος· ἔτι γε μὴν ζωὴ καὶ θάνατος, γένεσις καὶ φθορά, ὡς δηλοῖ σελήνης τὰ φῶτα αὐξανόμενα καὶ μειούμενα καὶ ἡ σφαῖρα κινουμένη καθ' ἑκάστην ἀπ' ἀνατολῶν ἐπὶ δυσμάς, οἱ δ' ἑπτὰ ἀστέρες ἐναντίαν ὁδὸν ἀπὸ δυσμῶν ἐπ' ἀνατολάς, ὡς δείκνυσι τοῦτο πλέον πάντων τῇ ὄψει τῶν κινουμένων ἀστέρων. Ἔχει δὲ καὶ τὸ σῶμα διφυές, τὸ μὲν ἄνω ἀνθρωποειδές, τὸ δὲ κάτω προβατοειδές, διότι καὶ τοῦ παντὸς τὸ μὲν ἄνω μέρος περιέχει λογικοὺς δυνάμεις, τὸ δὲ κάτω καὶ ἀλόγους· μὴ ἠρεμεῖν δὲ τῇ στάσει διὰ τὴν ἀεικινησίαν τῆς φορᾶς καὶ τὴν ῥευστὴν φύσιν τῆς ὕλης· πεφιληκέναι δὲ τὴν Ἠχώ· ποθεῖ γὰρ ἡ οὐρανία σφαῖρα τὴν ἐναρμόνιον κίνησιν καὶ τῇ ταύτης ἐφέσει κυκλοφορικῶς ἀεὶ φέρεσθαι. Ἀναλογεῖ δὲ τῷ οἴνῳ τὸ αἷμα κατὰ κρᾶσιν καὶ οὐσίαν· ὥσπερ γὰρ ἐξεθέ-

vetusta et vieta citius a vento vehementi dejicitur quam valida et nova propter aliquod ejusmodi siderum effluvium pestilens.

17. Cur vulgus de crapulis dicit, vinum vino solvi, capitis nempe dolorem ab eo profectum? Censeo hoc vulgare quidem, sed verum esse: debilitatem enim a caloris copia profectum aliud vinum intrando depellens, corroborat hæc, et molitur depulsionem ac discussionem flatuum ab eo collectorum, qui caput et corpus gravant, atque inprimis vinum temperatum dissolvit prioris vini calorem, a quo pendet etiam debilitas: parum enim vini si bibitur, sanitatem facit, modica vero copia hilaritatem, immodicaque ebrietatem et delirium, ut Theognis quoque poeta refert, de modico vino inquiens:

Multum vinum si bibitur, malum est; si quis vero id
bibat perite, non malum est, sed bonum:

unde haud inepte fabulantur, Baccham insequi baccham propter vini choream; item satyros propter agilitatem, Lydamque, quia nonnulli resolvuntur a vino, pardumque propter variam vinolentorum imaginationem: diversum enim ac varium recipit ratiocinium unusquisque qui a vino agitatur: multis namque maculis distincta est pellis animalis; bacchamque unam furore perculsam homicidium perpetrasse, Agavem nempe matrem Penthei: multi enim ultra modum inebriati ad homicidium se converterunt; nudum vero fingunt Bacchum propter consilii patefactionem quem bibentibus parit vinum; cupivisse autem Venerem ac Ariadnen: vinolentos enim comitatur plurima mulierum cupido; exhibere et calvitiem quamdam, quia inprimis cerebrum vastat pervertitque ac infatuat copia vini: unde et Maroni cognomen ei indiderunt; adesse ei et Panem, id est ipsum universum esse vini facultatem, aut rursus propter varium vini colorem et facultatem: nam illud quoque versicolor est et diversissimas induit species; fulminis igne ictum ac femore receptum, quia solis ardori expositum vinum sæpe, quod ad temperamentum et facultatem, perficitur, intra fictilia latens; quatuor tandem sorores uxores esse Baccho, quia quatuor mutationes subit vinum. Audi et de Pane, quod eum mundi universitatem esse censent: duo enim cornua circumponunt capiti propter duplicem universi naturam: nam universum pro singulis partibus masculum est ac femininum, quemadmodum et sol lunaque: ille enim seminis loco propriam lucem præbet lunæ, hæc vero recipit, uti et sexus femineus; quin etiam vita et mors, ortus ac interitus, ut docet lunæ jubar augmento et decremento sphæræque motus quotidianus ab ortu ad obcasum, septemque siderum contrario itinere meantium ab obcasu ad ortum, ut omni alia re melius demonstrat siderum quæ moventur, inspectato cursu. Habet et corpus geminum, superne quidem humanum, inferne vero ovillum, quia universi item pars superior rationales continet facultates, inferior vero et ratione carentes; numquam autem stando quiescere fingunt Panem propter sempiternum motus tenorem et caducam materiæ naturam; amasse autem Echo: cupit enim cœlestis sphæra motum modulatum ac hujus adpetitu itinere orbiculari perpetuo ferri. Respondet autem vino sanguis, cum temperie, tum substantia: quemadmodum enim exposuimus vinum esse quadripartitum,

μεθα τὸν οἶνον τετραμερῆ, τὸν αὐτὸν τρόπον καὶ τὸ αἷμα· ἔχει γὰρ τὸ ὑδατωδέστατον μέρος ὅπερ ἕλκουσιν οἱ νεφροί· ὁμοίως δὲ καὶ τὸ ἀναλογοῦν ὡς ἄνθος, ὅπερ ἕλκει ἡ χολοδόχος κύστις, καὶ τὸ παχὺ καὶ τρυγῶδες, ὅπερ ὁ σπλὴν ἕλκει, καὶ αὐτὸ τὸ οἰνῶδες καὶ καθαρὸν τοῦ αἵματος, ὅπερ ἀναδιδόμενον, καθάπερ καὶ οἶνος, ἐν τῷ σώματι τρέφει τὰ μόρια.

ιη'. Διὰ τί τρωθεῖσα βάλανος καὶ γνάθου τὰ λεπτὰ οὐ κολλᾶται; Καθὰ ὅσα ἀπὸ σπέρματος γέγονεν ἀπὸ φύσεως, ταῦτα παλιγγενεσίαν οὐχ ὑπομένει τὴν αὐτήν, ὡς νεῦρον, φλέψ, ὑμένες καὶ τὰ παραπλήσια. Εἰκότως οὖν καὶ ταῦτα νευροειδῆ ὄντα τελείαν οὐχ ὑπομένει τὴν γένεσιν· τὰ μέντοι ἐξ ἀρχῆς ἐξ αἵματος διαπλασθέντα πάλιν γεννᾶται· τῷ δὲ παντὸς βίον κεκτῆσθαι σπέρμα * δὲ ὄν.

ιθ' Διὰ τί τὰ γίγαρτα καὶ τὰ σήσαμα καὶ κεγχραμίδες ὑγιῆ καταπινόμενα πάλιν ὠμὰ διὰ γαστρὸς ἐκκρίνεται; Ἢ διὰ τὴν πολλὴν σμικρότητα καὶ ξηρότητα οὐ πέττεται; Ἢ ὅτι τὸ τέλειον περιέχουσι τῆς γεννητικῆς σπορᾶς; διὸ καὶ σφαιροειδῆ, ὡς ἐπὶ τὸ πλεῖστον σῶα παραμένουσιν· τοῦτο γὰρ τὸ σχῆμα τελειότερόν ἐστι παρὰ τῷ θεῷ παρὰ πάντα τὰ σχήματα, λέγω δὲ τὰ τετράγωνα, κυβοειδῆ, πυραμοειδῆ, κυλινδροειδῆ, ᾠοειδῆ, φακοειδῆ καὶ τὰ ὅμοια.

κ'. Διὰ τί ἐπὶ τῆς ἐμφράξεως τῶν κυρτῶν τοῦ ἥπατος ἡ κατακλεὶς κατασπᾶται; Ὅτι ἡ ἀπὸ τῶν κυρτῶν τοῦ ἥπατος στελεχιαία φλὲψ ἀνιοῦσα πρὸς τὴν κατακλεῖν ἀπὸ τῆς ἐμφράξεως καὶ πληρώσεως εὐρυνομένη τὸ μῆκος μειοῖ καὶ σπᾷ ἐπὶ τὸ κάτω, καθάπερ τὸ ἔντερον πληρούμενον σαρκῶν, ἢ ἄλλων σωμάτων τινῶν, αὕτη δ' ἑλκομένη συγκατασπᾷ καὶ τὴν κατακλεῖν καὶ οὕτω τὴν ὀδύνην ἐπιφέρει. Ἔχουσι δὲ ξηροβήχιον· ἡ γὰρ δυσκρασία τοῦ ἥπατος ἀνιοῦσα πρὸς τὰ ἀναπνευστικὰ ἐπεγείρει ταῦτα πρὸς ἀπόκρισιν, καὶ ποιεῖ ἐπ' αὐτὰ βῆχα.

κα'. Διὰ τί ἡ μήτρα παρὰ πάντα τὰ μόρια ἔνδοθεν τραχεῖα γέγονεν, ἐξοχὰς ἔχουσα ἃς καλοῦσι κοτυληδόνας; Διὰ τὴν ἀντοχὴν τῶν σπερμάτων· πᾶν γὰρ ὑγρὸν εὐόλισθόν ἐστιν ἐν λείῳ σώματι· οὕτω γὰρ καὶ οἱ κονιῶντες τοὺς τοίχους προσκολάπτουσιν αὐτοὺς πρὸς τὸ τὰ κοιλώματα γίνεσθαι τῆς διαμονῆς τῶν κονιῶν ἀσφαλίσματα· τούτου γὰρ χάριν καὶ αὐτὸ τὸ σπέρμα κολλῶδες κατεσκεύασεν ἡ φύσις πρὸς ἀντοχὴν τῆς διαμονῆς.

κβ'. Διὰ τί ἐν ἀρίστῳ πολλοὶ ὑπερεμπλησθέντες οὔρου καὶ αἰδεσθέντες ἐξουρῆσαι παρελύθησαν, καὶ ἰσχουρίαν ὑπέμειναν; Ὅτι τῇ ὑπερπληρώσει σφόδρα διαταθεῖσα ἡ οὐροδόχος κύστις καὶ ἄγαν ἐξογκωθεῖσα τὴν ἐν τῷ χιτῶνι κατὰ φύσιν ὑγρότητα ἐξέθλιψε καὶ διὰ τοῦτο κατεξήρανε ταύτην καὶ εἰς ξηρὰν δυσκρασίαν μετερρύθμισε, καὶ οὐκέτι ἠδυνήθη συσταλῆναι, καθάπερ καὶ βύρσα ὑπερξηρανθεῖσα οὐκέτι ἐκταθῆναι ἠδυνήθη, εἰ μὴ ἐν ὑδρελαίῳ ἐνυγρανθῇ. Ἡ δὲ στραγγουρία τὸ ἐναντίον, ἥ τις γίνεται διὰ παράλυσιν τοῦ μυὸς τοῦ κλείοντος τὸν τράχηλον τῆς οὐροδόχου κύστεως, ἢ δι' ἕλκωσιν αὐτῆς, ἢ διὰ λίθου παρουσίαν, δακνομένης, ἢ βαρουμένης καὶ ἐρεθιζομένης ἐκκρίνειν αὐτὸ τὸ πρὸς ὀλίγον συναγόμενον οὖρον ἐν αὐτῷ. Δυσουρία δὲ κοινόν ἐστιν ὄνομα, τουτέστι τὸ δυσχερῶς οὐρεῖν, ὡς δυσπεψία καὶ δυσηκοΐα καὶ δύσπνοια.

eodem modo et sanguis: habet namque partem aquæ persimilem, quam trahunt renes: eodem modo et partem flori respondentem, quam trahit vesicula fellea; item partem crassam et fæculentam, quam trahit lien; habet quoque ipsam partem vinosam ac puram sanguinis, quæ adscendens ad modum vini, in corpore nutrit membra.

18. Quamobrem glans vulnerata ac pars tenuis genarum non conglutinantur? Quatenus omnia quæ e semine construxit natura, hæc non iterum eamdem admittunt generationem, ut nervus, vena, membranæ et similia. Merito igitur et hæc, utpote nervosa, perfectam non admittunt generationem; quæ vero primitus e sanguine constructa sunt, iterum generantur; semine autem indigent, quia universi vitam participant.

19. Quamobrem vinacea, sesama, et grana ficulna, si integra devorantur, rursus cruda per ventrem excernuntur? An propter insignem exiguitatem ac siccitatem non concoquuntur? An quia perfectionem continent sationis generatricis? idcirco et, globosa quum sint, plerumque incolumia manent: hæc enim figura perfectior est apud deum præter omnes alias, quadratum inquam, cubum, pyramidem, cylindrum, ovum, lenticulam et similia.

20. Quamobrem obstructa jocinoris superficie convexa, jugulum detrahitur? Quia vena caudicalis a convexa jocinoris superficie orta, indeque ad jugulum adscendens, dum ab obstructione et repletione dilatatur, longitudinem minuit ac deorsum trahit, quemadmodum intestinum carnibus, aut aliis quibusdam corporibus, repletum; hæc autem vena, dum trahitur, una detrahit quoque jugulum, atque sic dolorem infert. Habent autem tussiculam siccam: jocinoris enim intemperies ad respirationis instrumenta adscendens, excitat hæc ad excernendum, iisque tussim infert.

21. Quamobrem matrix præter omnes alias partes intus aspera est eminentiis instructa quas acetabula adpellant? Ad semen retinendum: omnis enim humor facile delabitur a corpore lævi: nam sic et qui parietes calce oblinunt, hos tundunt, ut foveæ tutamenta fiant adhærendæ calcis: hujus enim gratia ipsum quoque semen glutinosum paravit natura, ut adhærendo perstaret.

22. Quamobrem multi post immodicam urinæ per prandium repletionem mingere veriti resolutionem ac urinæ retentionem passi sunt? Quia immodica repletione admodum distensa valdeque tumefacta vesica urinaria humorem naturaliter tunicæ inditum expressit, atque ideo eam desiccavit ac ad siccam intemperiem migrare jussit, nec amplius contrahi potuit, quemadmodum et corium ultra modum desiccatum non amplius extendi potest, nisi aqua et oleo humectetur. Urinæ autem stillicidium contrarium est, fitque ob resolutionem musculi cervicem vesicæ urinariæ claudentis, aut propter ipsius ulcerationem, aut quia calculus in ea adest, quum mordeatur, aut gravetur, atque ad excernendam excitetur urinam ipsam quæ pedetentim in ea colligitur. Urinæ vero difficultas commune nomen est significatque quod ægre mingunt, quemadmodum coquendi, audiendi et respirandi difficultas.

ΤΜΗΜΑ Β.

α'. Διὰ τί οἱ τὴν κάτω κοιλίαν ῥευματιζόμενοι κατάδιψοι γίνονται; Ὅτι τῶν ὑγρῶν κάτω φερομένων, ἀναξηραίνεται τὰ πρὸς τῷ στομάχῳ· κατὰ ξηρότητα δὲ τὸ δίψος.

β'. Διὰ τί δακρύουσιν οἱ λυπούμενοι; Πνεύματος πάθος ἐστὶν ἡ λύπη· ἀνατρέχει οὖν ἐπὶ τὴν μήνιγγα, καὶ ἀθρόως ἐκθλίβει τὸ παρακείμενον ὑγρόν. Τὸ δ' αὐτὸ καὶ τοῖς χαίρουσι γίνεται.

γ' Τίνι διαφέρει σπάδων εὐνούχου; Ὅτι ὁ μὲν εὐνοῦχος μειράκιον ὤν, τῶν διδύμων ἐστέρηται, ὁ δὲ σπάδων προκόψας ἤδη τὴν ἡλικίαν.

δ'. Διὰ τί οἱ σπάδοντες οὐ φέρουσι γένεια; Ὅτι ὑστερεῖ ἐπ' αὐτῶν τὸ θερμόν· ὑπὸ θερμασίας γὰρ αὔξονται τρίχες.

ε'. Διὰ τί οἱ μὲν εὐνοῦχοι ὀξύφωνοι, οἱ δὲ γάλλοι οὔ; Ὅτι οἱ μὲν στενοὺς ἔχοντες τοὺς πόρους ἐκτέμνονται, οἱ δὲ ἤδη εὐρυτέρους ἀποκόπτονται· διὰ στενοῦ δὲ πνεῦμα φερόμενον λεπτὸν ἠχεῖ, δι' εὐρυτέρου δὲ βαρύτερον.

ϛ'. Διὰ τί μετὰ τὴν ξηρὰν καὶ ὑγρὰν τροφὴν ἐρευγόμεθα; Ὅτι κτᾶται τούτοις πνεῦμα. Τῆς οὖν ἀσθενεστέρας τροφῆς κάτω χωριζομένης, λεπτομερὲς ὂν τὸ πνεῦμα ἐπὶ τοὺς ἄνω τόπους ἑαυτὸ κουφίζει.

ζ'. Διὰ τί πλέον τινὲς τινων συνουσιάζουσιν; Ὅτι μᾶλλόν τινές τινων θερμότεροι.

η'. Διὰ τί οἱ ἀπὸ φωτὸς εἰς συνηρεφεῖς οἴκους εἰσελθόντες οὐχ ὁρῶσιν εὐθέως; Ὅτι τὸ μέλαν παχὺ ὄν, ἀποκρύπτει τὴν βλεπτικὴν οὐσίαν ταύτην ἐπιμείνασα. *

θ'. Διὰ τί αἱ γυναῖκες τὴν ὑστέραν παθοῦσαι παρακόπτουσιν; Ὅτι νευρώδης οὐσία ἐστίν· ἔχει δὲ τὰς ἀρχὰς ἀπὸ στομάχου καὶ μηνίγγων, ὅθεν καταπέπλεκται.

ι'. Διὰ τί ἔμμηνα γίνεται; Ὅτι ταῖς θηλείαις ἀργότερον βίον ζώσαις τὸ περίττωμα πολὺ πλέον, πολὺ δὲ τὸ αἷμα πανταχοῦ. Τὸ περισσὸν οὖν ἐκκρίνεται κουφισμοῦ χάριν.

ια'. Διὰ τί ἐπὶ τοῖς λοιμοῖς, ὡς ἐπὶ τὸ πλεῖστον, ὀφθαλμίαι προκατάρχονται; Ὅτι τοῦ πνεύματος πεῖσίς ἐστιν ὁ λοιμός. Τροπῆς οὖν περὶ αὐτὸ γινομένης, ἄνω φερόμενον τὸ πνεῦμα τὴν ὅρασιν ταράσσει· ἐκεῖ γὰρ μᾶλλόν ἐστι λεπτὸν καὶ εὐρούστερον.

ιβ'. Διὰ τί οἱ τρομικοὶ πίνοντες παραφέρονται; Ὅτι πολύθερμος ὁ οἶνος. Πολὺς οὖν γενόμενος τοῖς νευρώδεσιν ὑπεισέρχεται καὶ ταράσσει τὸ πνεῦμα τὸ ἐν αὐτοῖς, τοῦτο δ' ἐπὶ μήνιγγας φέρεται.

ιγ'. Διὰ τί τὰ μὲν ἄλογα ζῷα τεχθέντα περιπατεῖ εὐθέως, οἱ δ' ἄνθρωποι οὔ; Ὅτι ἐπὶ μὲν τῶν ἀλόγων ἴσον ἐν παντὶ μέρει τὸ θερμόν, ἐπὶ δὲ τῶν βρεφῶν πλεῖον περὶ τὴν κεφαλήν. Ὅταν οὖν ὁμαλισθῇ πανταχοῦ τὸ θερμόν, ἀνίσταται.

ιδ'. Διὰ τί οἱ σπώμενοι πυρέξαντες ἀπαλλάσσονται τοῦ σπᾶσθαι; Ὅτι θλιβομένου τοῦ ἐν τοῖς νεύροις πνεύματος καὶ ψυχομένου ὁ σπασμὸς γίνεται, ὑπὸ θερμασίας δὲ λύεται, θερμὸς δ' ὁ πυρετός.

SECTIO II.

1. Cur admodum siticulosi redduntur qui ventris inferioris fluxione laborant? Quia humoribus inferiora petentibus, desiccantur partes ori ventriculi vicinæ; a siccitate autem pendet sitis.

2. Cur lacrymantur mœrentes? Spiritus adfectus est mœror: recurrit igitur ad cerebri membranam et confertim exprimit humorem illic obvium. Idem et gaudentibus evenit.

3. Qua re differt spado ab eunucho? Quod eunuchum quidem adolescentuli ætate testibus privarunt, spadonem vero provecta jam ætate.

4. Cur spadones barbam non gignunt? Quia calor eorum tardat: a calore enim augentur pili.

5. Cur eunuchi quidem acutam habent vocem, galli vero non? Quia illi quidem, dum tenues habent meatus, exsecantur, hi vero, ubi jam latiores, castrantur; spiritus autem per angustum iter means, tenue sonat; per latius vero gravius.

6. Cur eructamus post alimentum, cum siccum, tum humidum? Quia una cum his spiritum sibi comparat. Dum igitur alimentum debilius deorsum secernitur, spiritus, utpote subtilis, ad superiora elevatur.

7. Quamobrem frequentius alii aliis coeunt? Quia alii aliis calidiores potius.

8. Quamobrem qui e luce profecti opaca intrant cœnacula, non confestim vident? Quia nigrum, utpote crassum, obculit substantiam visus, ei insidens.

9. Quamobrem mulieres utero laborantes delirant? Quia nervosa substantia est, originemque petit a ventriculi orificio et cerebri membranis: unde implicatus est.

10. Cur fit menstrua purgatio? Quia feminæ vitam degentes otiosiorem multo majorem excrementi copiam colligunt, multusque sanguis ubique adest. Superfluus igitur excernitur levandi gratia.

11. Cur in pestibus plerumque auspicantur lippitudines? Quia spiritus adfectus est pestis. Mutatio igitur circa illum ubi obtinet, spiritus superiora petens visum turbat: illic e. im tenuis potius et liquidior est.

12. Quamobrem tremebundi delirant bibentes? Quia calidissimum est vinum. Aucta igitur ejus copia, nervosas partes subit et spiritum turbat in iis obvium, hicce autem ad cerebri membranas fertur.

13. Quamobrem animalia ratione quidem carentia statim post partum obambulantur, homines vero non? Quia apud animalia ratione quidem carentia in omni parte æqualis adest calor, apud infantes vero major caput occupat. Ubi igitur ad æquabilitatem ubique redactus est calor, surgunt.

14. Cur nervorum distentione adfecti febre correpti convulsione liberantur? Quia convulsio fit compresso ac refrigerato spiritu qui nervis continetur; a calore autem solvitur, febrisque calida est.

ιε'. Διὰ τί ἐπὶ ταῖς χολαῖς οἱ μέλαιναν χολὴν ἐμέσαντες κινδυνώδεις; Ὅτι μηκέτι τῆς χολώδους ὑποστάσεως οὔσης, τὸ ἀπὸ τοῦ ἥπατος αἷμα ἕλκεται.

15. Cur inter varias bilis species qui atram bilem evomuerunt, periculo patent? Quia ubi non amplius adest biliosum sedimentum, sanguis a jecore trahitur.

ις'. Διὰ τί ἀπουρήσαντες ἀναπνέομεν; Ὅτι πληρωθεῖσα ἡ κύστις ὑποκείμενον τὸ ἀπευθυσμένον ἔντερον θλίβει. Ἐνεθείσης οὖν αὐτῆς, τὸ ἐπισχεθὲν ἐν τῷ ἐντέρῳ πνεῦμα ὀλισθαίνει.

16. Quamobrem post mictionem flatum emittimus? Quia vesica repleta comprimit intestinum rectum subjectum. Relaxata igitur ea, flatus in intestino retentus elabitur.

ιζ'. Διὰ τί χασμησάμενοι, ἢ πολὺ οὐρήσαντες, ὑποφρίττομεν; Ὅτι τοῦ θερμοῦ πνεύματος μέρος τι συντρέχει. Ἀκολούθως οὖν ἐκ παραδρομῆς ὑποψύγομεν.

17. Quamobrem oscitati, vel multa urina emissa, inhorrescimus? Quoniam calidi spiritus pars aliqua concurrit. Consequenter igitur e transitu leviter refrigeramur.

ιη'. Διὰ τί ἐπὶ τῶν λευκῶν, ἢ ἀλφῶν αἷμα οὐχ ὑπακούει κεντούμενον; Ὅτι ἐκ τῶν κατὰ τὴν ἐπιφάνειαν πόρων τὸ θερμὸν ὑποκεχώρηκεν, ἢ διέπνευσεν.

18. Cur in vitiligine alba, aut alpho, sanguis punctus non obedit? Quia e superficiei meatibus recessit, vel difflatus est calor.

ιθ'. Διὰ τί αἱ συλλαβοῦσαι κισσῶσιν; Ὅτι τῶν παρὰ φύσιν ἐστὶν ἡ σύλληψις, νευρῶδες δὲ τὸ σπλάγχνον, στομάχου δὲ πάθος ἡ κίσσα, ὥσπερ ὄρεξις καὶ ἀνορεξία.

19. Quamobrem mulieres post conceptum pica laborant? Quia ad res præter naturam pertinet conceptio, nervosumque est viscus; oris autem ventriculi adfectus est pica, quemadmodum ciborum adpetitus ac fastidium.

κ'. Διὰ τί οἱ τεταρταῖοι χρονιώτεροι τῶν ἄλλων τύπων; Ὅτι περὶ τὸ γεῶδες τοῦ σώματος σύγκριμα γίνεται, βαρὺ δὲ τὸ γεῶδες, ὅθεν βραδεῖς οἱ τεταρταῖοι.

20. Quamobrem quartanæ diuturniores sunt quam reliquæ febrium species? Quia terrenum corporis concrementum occupat, grave autem est terrenum: unde tardæ sunt quartanæ.

κα'. Διὰ τί τῶν περὶ τὰ ἄρθρα ἀποπρησθέντων οὐ κατουλοῦται τὰ ἕλκη, ἐπί τινων τε τηρεῖται τοῦτο; Ὅτι πλείων ἐν τοῖς ἄρθροις ἡ ὕλη. Φερομένη οὖν ἡ ὕλη ἐκεῖσε δριμύτερον γίνεται καὶ ἀναξηραίνει. Ἢ ὅτι τῶν ἄρθρων τὸ πέρας χόνδρος ἐστίν; Ἀπολισθαίνουσα οὖν ἡ κατούλωσις οὐ κρατεῖ.

21. Quamobrem ambustis partibus articulis vicinis, cicatrix ulceribus non obducitur, idque apud nonnullos observatur? Quia abundat materia in articulis. Dum igitur huc defertur materies, acre quid oritur ac desiccat. An quia articulorum extremum cartilago est? Delabens igitur cicatrix non hæret.

κβ'. Διὰ τί τὸ ὄμβριον ὕδωρ ἐλαφρόν ἐστιν, καίπερ ἀπὸ θαλάσσης ἁρπαζόμενον, ἔστι δὲ τοῦτο βαρύ; Ῥητέον ὅτι ἀναληφθὲν τοῦτο καὶ γυμνασθὲν ὑπὸ τοῦ πνεύματος λεπτύνεται καὶ ὑπὸ τοῦ περιέχοντος αὐτὸ ἀέρος γίνεται κοῦφον· τὸ δὲ κοῦφον ἄνω φερόμενον ἐκχεῖται κατὰ πλείονα συναθροισμόν.

πδ'. Διὰ τί ἐν τῷ χειμῶνι ὀξύτερον φθέγγονται, θέρους δὲ καὶ μεθύοντες βαρύτερον; Ὅτι ὀξυτέρα μέν ἐστιν ἡ ταχυτέρα, ἢ ἀπὸ συντεταμένου φωνή· τῶν δὲ νηφόντων καὶ ἐν τῷ χειμῶνι τὰ σώματα συνέστηκε μάλιστα ἢ μεθυόντων καὶ ἐν τῷ θέρει· τὸ γὰρ θερμὸν καὶ αἱ ἀλέαι διαλύουσι τὰ σώματα.

84. Cur hyeme acutius vociferantur, æstate vero, itemque ebrii gravius? Quia acutior quidem est velocior vox, vel a corpore intento proveniens; apud sobrios autem, vel hyeme corpora magis stipata sunt quam apud ebrios, vel æstate: calor enim et æstus dissolvunt corpora.

πε'. Διὰ τί τὰ ἐννεάμηνα οὐ φθέγγεται, τὰ δὲ δεκάμηνα φθέγγεται εὐθὺς γενηθέντα; Ὅτι ὀψιαίτατα τελειοῦται ἡ φωνὴ τοῖς ἀνθρώποις. Σημεῖον δέ· ἤδη γὰρ ηὐξημένοι καὶ ψελλίζουσι καὶ τραυλίζουσιν. [Ἢ] ὅτι τὰ μὲν ἐννεάμηνα [οὐ] τελειόγονα, ὥστε τὰ μὲν ἀπειληφότα ἤδη γίνεται τὴν φύσιν, τὰ δ' οὔ. Τὸ οὖν τελευταῖον ἐπιτελούμενον τοῖς μὲν ἀτελέσιν οὐχ οἷόν τε ὑπάρχειν ὡς ἐπὶ τὸ πολύ, τοῖς δ' ἐπιτετελεσμένοις ὑπάρξει. Τὰ δ' ἑπτάμηνά ἐστιν ἧττονα· οὕτω γὰρ ἀτελῆ σφόδρα καὶ ἀσθενῆ γίνεται, ὥστε καὶ σπαργανοῦται ἐρίοις.

85. Quamobrem novimestres fœtus non vociferantur, decimestres vero simul ac nati sunt, vocem proferunt? Quia tardissime perficitur vox apud homines. Argumento est quod jam grandiores facti balbutiunt ac blæsi sunt. [An] quia novimestrium generatio absoluta [non] est, ita ut illi quidem nascantur suam jam naturam adepti, hi vero non. Itaque quod postremo perficitur, imperfectis quidem plerumque inesse nequit; perfectis vero inerit. Septimestribus autem vel minus: adeo enim imperfecti ac perquam debiles nascuntur, ut etiam laneis fasciis involvantur.

πϛ'. Διὰ τί ἡ φωνὴ ὕστατον τελειοῦται τοῖς ἀνθρώποις τῶν φθεγγομένων; Ἢ διότι πλείστας ἔχει διαφορὰς καὶ εἴδη, τὰ δ' ἄλλα ζῶα ἢ οὐδὲν γράμμα, ἢ ὀλίγα διαλέγεται, τὸ δὲ ποικιλώτατον καὶ πλείστας ἔχον διαφορὰς ἀνάγκη ἐν πλείστῳ χρόνῳ ἀποτελεῖσθαι;

86. Cur vox postremo inter omnia quæ vocem emittunt, hominibus perficitur? An quia plurimas differentias et species habet, dum reliqua animalia aut nullam literam, aut pauca enuntiant; diversissimum vero et plurimas habens differentias necessario plurimo tempore perficitur?

πζ'. Διὰ τί οὐ τῇ αὐτῇ φωνῇ πάντες διαλέγονται; Ἢ ὅτι πρῶτον ἀπὸ μιμήσεως τῶν ἀλόγων αἱ φωναὶ εὑρέθησαν, οἷον τὰ παιδία τὸν βοῦν ἀπὸ τοῦ μηκᾶσθαι, καὶ τὸν κύνα ἀπὸ τοῦ ὑλακτεῖν; Ἔχοντος δὲ τοῦ αὐτοῦ ζῴου πολλὰς μιμήσεις, ἀφ' ὧν ἐκλέξεταί τις τὴν ὁμοίωσιν· καὶ γὰρ αὐτὸ κέρατα ἔχει, καὶ τετράπουν, καὶ μακρόν· οὐκ ἐπὶ ταὐτὸν ἕκαστος ὁρμήσας, ταὐτὸν μὲν ἐσήμαινε τὸν βοῦν, οὐ μὴν τῇ αὐτῇ φωνῇ· ὁ δὲ τὸ αὐτὸ τῆς πρώτης παραλλαξάσης. Ἤδη εἰκότως ἐκ τούτων παραλλάττον μικρόν, οἷον οἱ μὲν Διόνυσον, οἱ δὲ Ζώνυσον, καὶ οἱ μὲν Ἡραγόρην, οἱ δὲ Ἡραγόραν.

87. Quamobrem non omnes eodem sermone loquuntur? An quia primum per animalium imitationem inventæ sunt voces, quemadmodum pueri bovem a mugiendo vocant, canemque a latrando? Quum autem idem animal multas subpeditet imitationes, e quibus similitudinem eligere quis possit: nam et ipsum cornutum est, et quadrupes, et grande, non idem adripiens unusquisque, eamdem quidem rem designabat, bovem nimirum, verum non eadem voce; alius autem eamdem rem, a priori voce deflectens. Jam probabiliter ab his deflectebant paululum, ut alii Dionysum, alii Zonysum, alii Heragorem, alii Heragoram dicunt.

πη'. Διὰ τί οἱ μὲν ἀγωνιῶντες βαρὺ φθέγγονται, οἱ δὲ φοβούμενοι ὀξύ; Ἢ ὅτι τοῖς μὲν φοβουμένοις καταψύχεται ὁ τόπος ὁ περὶ τὴν καρδίαν, κάτω ὁρμῶντος τοῦ θερμοῦ, ὥστ' ὀλίγον ἀέρα κινοῦσιν· (ἡ γὰρ ἰσχὺς ἐν τῷ θερμῷ)· τοῖς δὲ ἄνω φέρεται τὸ θερμόν, ὥσπερ τοῖς αἰσχυνομένοις; δι' αἰσχύνης γὰρ ἀγωνιῶσι, τοῖς δ' αἰσχυνομένοις ἄνω φέρεται πρὸς τὸ πρόσωπον. Σημεῖον δὲ ὅτι ἐξέρυθροι γίνονται μᾶλλον. Συντήκει οὖν καὶ παχὺν ποιεῖ τὸν ἀέρα ᾧ φθέγγεται, ὁ δὲ τοιοῦτος βραδέως ὠθεῖται, τὸ δὲ βραδὺ ἐν φωνῇ βαρύ ἐστιν.

88. Cur anxii quidem gravem proferunt vocem, metuentes vero acutam? An quoniam metuentibus quidem refrigeratur locus circa cor, inferiora petente calore, ita ut parum aeris moveant (vires enim in calore resident); illis vero sursum fertur calor, sicuti apud pudibundos? propter pudorem enim anguntur; apud pudibundos autem sursum fertur ad faciem. Argumento est quod inprimis admodum rubescunt. Colliquat igitur ac crassum reddit aerem, cujus ope vocem profert; hujusmodi autem aer tarde propellitur, tarditasque in voce gravitas est.

πθ'. Διὰ τί, τῆς φωνῆς, ἐπειδὴ ῥύσις τίς ἐστι, φύσιν ἐχούσης ἄνω φέρεσθαι, μᾶλλόν ἐστιν εὐήκοα τὰ ἄνωθεν κάτω ἢ τὰ κάτωθεν ἄνω; Ἢ διότι ἡ φωνὴ ἀήρ τίς ἐστι μεθ' ὑγροῦ; Βαρὺς οὖν ὢν οὗτος ὑπὸ τοῦ ὑγροῦ φέρεται κάτω, καὶ οὐκ ἄνω· τοῦ γὰρ ὑγροῦ κατὰ φύσιν ἡ κάτω φορά· διότι τοῖς κάτω μᾶλλον ἀκούεται. Ἢ τοῦτο μὲν ἐπὶ τῆς τοῦ ζῴου φωνῆς μόνον γίνεται· αὕτη γὰρ μεθ' ὑγροῦ· τὸ [δὲ] συμβαῖνόν ἐστι καὶ ἐπὶ τῶν ἄλλων ψόφων; Καθάπερ οὖν ἄμπωτις, ἂν μὲν ἄνωθεν κάτω προσπέσῃ, τὴν ἀνάκλασιν ἄνω ποιεῖται, κάτωθεν δ' ἄνω προσπεσοῦσα ἀνεκλάσθη κάτω, τὸν αὐτὸν δὲ τρόπον ἡ φωνὴ φύσιν ἔχουσα ἄνω φέρεσθαι, προσκόψασα τῷ ἐξ ἐναντίας ἀέρι, βιάζεσθαι μὲν οὐ δύναται πλέονα ὄντα [καὶ] βαρύτερον, ἀνακλασθεὶς δ' ὁ κινηθεὶς ἀὴρ ἐπὶ τοὐναντίον ἠνέχθη κάτω, δι' ὃ κατεχόμενος ἀκούεται κάτω μᾶλλον. Τοιοῦτον δὲ καὶ τὸ περὶ τὴν ἠχὼ συμβαῖνον· ἔστι γὰρ ἀνάκλασις τῆς φωνῆς ἐπὶ τοὐναντίον.

89. Quamobrem quum vox, quippe quæ fluxus quidam est, suapte natura sursum fertur, facilius audiri possunt quæ superne inferiora quam quæ inferne superiora petunt? An quia vox aer quidam humori junctus est? Quum hicce igitur gravis sit propter humorem, deorsum fertur, non sursum, siquidem humor suapte natura sursum fertur; propterea magis auditur ab iis qui infra sunt. An hoc quidem in animalis voce tantum obtinet: illa enim humori juncta est; quod vero evenit, etiam ceteris sonis proprium est? Quemadmodum igitur reciprocatio, si superne deorsum inciderit, repercussionem sursum facit, inferne vero sursum incidens, deorsum repercuti solet, eodem sane modo vox quæ suapte natura sursum fertur, ubi illiserit aeri ex opposita parte inveniundo, ei vim quidem inferre nequit, utpote copiosiori et graviori, sed aer motus post repercussionem in contrariam partem ferri solet deorsum: quapropter ibi detentus auditur melius infra. Hujusmodi est etiam quod circa echo obtinet: est enim repercussio vocis in partem contrariam.

Ϟ'. Διὰ τί μεθυόντων μᾶλλον ἀπορρήγνυται ἡ φωνὴ ἢ νηφόντων; Ἢ διότι τῷ πεπληρῶσθαι ταχέως ἀπορρηγνύασι τὴν φωνήν; Σημεῖον δὲ τούτου· οὔτε γὰρ οἱ χοροὶ μελετῶσιν ἐξ ἀρίστου, οὐχ ὑποκριταί, ἀλλὰ νήστεις ὄντες· ἐν δὲ τῇ μέθῃ πληρέστεροι ὄντες εὐλόγως μᾶλλον ἀπορρήγνυνται τὰς φωνάς.

90. Cur ebriis vox magis abrumpitur quam sobriis? An quia propter repletionem cito abrumpunt vocem? Hujus rei argumentum est quod neque chori, nec histriones sese exercent post prandium, sed jejuni; in ebrietate autem quum pleniores sint, non mirum est si magis voce abrumpantur.

ϟα'. Διὰ τί ἡ σύριγξ καὶ ἡ ὀξεῖα φωνὴ ἁπλῶς ὥσπερ ἐρημίαν ποιεῖ φαίνεσθαι; Ἢ ὅτι ἡ ὀξεῖα φωνὴ μακρὰν βαδίζει καὶ οὐκ ἐπὶ πολὺ διαχεῖται, καθάπερ αἱ ἄλλαι φωναί;

91. Cur fistula et vox acuta simpliciter quasi solitudinem adparere facit? An quia vox acuta longe procedit, nec procul diffunditur, sicuti reliquæ voces?

ϟβ'. Διὰ τί ποτε ἡ φωνὴ ὀξυτέρα φαίνεται τοῖς μακρότερον ἀφεστηκόσιν, τοῦ ὀξέος ὄντος ἐν τῷ ταχέως φέρεσθαι, τὸ δὲ μακρότερον βραδύτερον κινεῖται; Ἡ ὀξύτης οὐ μόνον ἐστὶν ἐν τῷ ταχέως κινεῖσθαι, ἀλλὰ καὶ ἐν τῷ ἐλάττω τὸν ψόφον γίνεσθαι, τοῖς δὲ μακρότερον ἀφεστηκόσιν ἀεὶ ἐλάττων ἡ φωνὴ ἀφικνεῖται διὰ τὴν ὀλιγότητα τοῦ ἀέρος τοῦ κινουμένου.

92. Cur tandem vox acutior videtur longius distantibus, quum acumen motus celeritate constet, quod vero longius provehitur, tardius movetur? Acumen non solum motus celeritate constat, sed etiam eo quod minor fit sonus; ad eos vero qui longius distant, semper minor pervenit vox propter paucitatem aeris qui movetur.

ϟγ'. Διὰ τί, εἴπερ ἡ φωνὴ ἀήρ τίς ἐστιν ἐσχηματισμένος, καὶ φερομένη διαλύεται πολλάκις τὸ σχῆμα, ἡ ἠχὼ γίνεται πληγέντος τοῦ τοιούτου πρός τι στερεὸν καὶ οὐ διαλύεται, ἀλλὰ σαφῶς ἀκούεται; Ἢ διότι ἀνάκλασις, οὐ κατάκλασίς ἐστι, τοῦτο δ' ὅλον ἀφ' ὅλου εἰς τὸ πάθος ἀφομοιοῦται· ἀπὸ γὰρ τοῦ ἀέρος ἀνακλᾶται τοῦ ἐν τῷ κοίλῳ, οὐκ ἀπὸ τοῦ κοίλου.

93. Quamobrem, si vox quidem aer quidam est figuratus, atque motu figura dissolvitur sæpius, echo fit illidente hujusmodi aere in solidum quid, nec dissolvitur, sed manifesto auditur? An quia refractio, non confractio est; illa autem integre adfectui similis redditur? ab aere enim refringitur qui cavo continetur, non vero ab ipso cavo.

ϟδ'. Διὰ τί χειμῶνος ὄντος αἱ φωναὶ βαρύτεραι; Ἢ ὅτι παχύτερος ὁ ἀήρ, παχυτέρου δ' ὄντος βραδυτέρα ἡ κίνησις, ὡς ἡ φωνὴ βαρυτέρα; Ἢ ὅτι διὰ τῶν στενῶν βραδύτερον χωρεῖ ὁ ἀήρ, συμφράττονται δὲ τὰ περὶ τὸν φάρυγγα τῇ ποιότητι τοῦ ψυχροῦ καὶ τοῦ ἐπιρρέοντος φλέγματος;

94. Cur hyeme voces graviores sunt? An quia crassior aer, crassior autem quum sit, tardior est motus, ita ut vox gravior fiat? An quia per angusta tardius meat aer, constringuntur autem fauces qualitate frigoris et adfluentis pituitæ?

ϟε'. Διὰ τί μεγαλόφωνοι οἱ θερμοὶ τὴν φύσιν ὄντες; Ἢ ὅτι ἀνάγκη καὶ ἀέρα ἐν τούτοις πολὺν ψυχρὸν εἶναι; ἕλκει γὰρ τὸ πνεῦμα τὸ θερμὸν καὶ ποιεῖ πλεῖον, ἡ δὲ μεγάλη φωνὴ γίνεται ἐν τῷ πολὺν ἀέρα κινεῖν, ὀξεῖα δὲ ἐν τῷ ταχέως, βαρεῖα δ' ἐν τῷ βραδέως.

95. Quamobrem natura calidi magnam habeat vocem? An quia necessario his quoque magna copia aeris frigidi inest? calor enim spiritum adtrahit ejusque copiam auget, magna autem vox eo fit quod multus aer movetur, acuta vero quod cito, et gravis quod tarde.

ϟϛ'. Διὰ τί ἀκούουσι μᾶλλον κατέχοντες τὸ πνεῦμα ἢ ἐκπνέοντες; διὸ ἐν ταῖς θήραις παραγγέλλουσιν ἑαυτοῖς οὐ πνευστιᾶν. Πότερον ὅτι τὸ αἰσθητικὸν ἄνω ἔρχεται τῶν φλεβῶν συναιρουμένων, ἢ ἀραιουμένων, καθευδόντων δὲ κάτω; διὸ καὶ μᾶλλον ἐκπνέουσιν. Ἢ καὶ τὸ αἷμα ἀπέρχεται κάτω καταπεπνευκότων, ὥστε κενοῦται τὰ ἄνω, ἀκούουσι δὲ τῷ κενῷ; Ἢ ὅτι φύσει ὁ ἀτμὸς ψόφος τίς ἐστιν, οὗτος δὲ τῷ πνεῖν γινόμενος κωλύει ἀκούειν;

96. Quamobrem spiritum retinentes melius audimus quam exspirantes? propterea inter venandum se ipsi hortantur ne anhelent. Utrum quia sentiendi facultas sursum vadit, ubi venæ contrahuntur, aut rarefiunt; dormientibus vero nobis deorsum? propterea et potius exspirant. An quia et sanguis deorsum abit, depresso spiritu, ac proinde vacuantur superiora, audimus autem vacui ope? An quia vapor suapte natura sonus quidam est, hicce autem dum respirando gignitur, auditionem impedit?

ϟζ'. Διὰ τί οἱ τοῦ γράσου ὄζοντες, ὅταν ἀλείφωνται μύρῳ, δυσωδέστεροί εἰσιν; Ἢ διότι ἐπὶ πολλῶν τοῦτο γίνεται ὀξύ; Ἢ διότι πάλιν ἱδρώσαντες δυσωδέστεροί εἰσι, τὸ δὲ μύρον θερμαντικόν ἐστιν; Ἱδρῶτας οὖν παρασκευάζει.

97. Quamobrem qui hircum redolent, unguento uncti fœtidiores sunt? An quia in multis hoc acescit? An quia quum denuo sudaverint, fœtidiores sunt, unguentum autem calefacere valet? Sudores igitur parit.

ϟη'. Διὰ τί ἡ μασχάλη δυσωδεστέρα ἐστὶ τῶν ἄλλων τόπων; Πότερον ὅτι ἀπνούστατός ἐστιν, ἡ δὲ δυσωδία μάλιστα ἐν τοῖς τοιούτοις διὰ τὸ σῆψιν γίνεσθαι ὑπὸ τῆς ἡσυχίας τῆς ὑγρότητος, διότι ἀκίνητος καὶ ἀγύμναστος;

98. Cur axilla fœtidior est reliquis locis? Utrum quod minime perflatur, fœtor autem maxime in hujusmodi locis consistit, quia gignitur putredo a quiete humoris, quoniam motu et exercitio caret?

ϟθ'. Διὰ τί τὰ δυσώδη ἥκιστα φαίνεται δυσώδη τοῖς ἐδηδοκόσιν; Ἢ διὰ τὸ συντετρῆσθαι τὴν ὄσφρησιν τῷ στόματι κατὰ τὸν οὐρανὸν πλήρης ἡ αἴσθησις γίνεται καὶ τῆς τε δυσωδίας οὐκέτι ὁμοίως αἰσθάνεται; τὸ γὰρ πρῶτον αἰσθάνονται πάντες, ὅταν δ' ἅψηται, οὐκέτι ὥσπερ συμφυοῦς, καὶ ἡ ἔξωθεν ὁμοία ἀφανίζεται ὑπὸ τῆς ἔσω.

99. Cur fœtida minime videntur fœtida cibo plenis? Num quia olfactus per palatum ad os penetrat, repletur sensus, neque fœtorem amplius æque percipit? primum enim sentiunt omnes, ubi vero tangit, non amplius, perinde ac si adgnatum esset, et extrinsecus similis adveniens perimitur ab eo qui intus est.

ρ'. Διὰ τί χειμῶνος ὄντος ὀσφραινόμεθα ἧττον καὶ ἐν τοῖς πάγοις; Ἢ ὅτι ὁ ἀὴρ ἀκινητότερος ἐν τῷ ψύχει; Οὐκοῦν οὐκ ἀφικνεῖται ἡ κίνησις. Ἢ ἀποσμὴν ἔχοντες διὰ τὴν δυσκινησίαν;

100. Quamobrem hyeme ac per gelu odoramur minus? An quia aer minus movetur per frigus? Ergo non penetrat motus. An olfactu carentes propter motus difficultatem?

ρα'. Διὰ τί οἱ κύνες οὐκ ὀσφραίνονται τῶν ἰχνῶν ὅταν ἀποθάνῃ δασύπους, οὐδ' ἂν λάθῃ αὐτοὺς [ὁ] τεθνειώς, οὐκέτι ὁμοίως εὑρίσκουσιν; Ἢ ὅτι τεθνεῶτος μὲν οὐκ αἰσθάνονται διὰ τὸ ἄλλην ὀσμὴν γίνεσθαι, τὴν δ' οἰκείαν διαφθείρεσθαι, πάντων φθειρομένων, ὥσπερ φωνὴν καὶ χρῶμα καὶ χυμόν; πάντα γὰρ μεταβάλλεται ταῦτα. Ζῶντος μὲν οὖν διὰ τὸ συνεχῆ τὴν νόσον ἀπὸ τοῦ θηρίου αἰσθάνονται· τεθνεῶτος δὲ πέπαυται ῥέουσα, ὥσπερ Ἐμπεδοκλῆς·

ὡς ἀπέλειπε ποδῶν ἁπαλὴ περίπνοια·

οὐχ οἷόν τε γὰρ διασπᾶσθαι τὴν ὀσμήν, οὐδὲ τὴν χρόαν, ἀλλ' ὅταν ἀποθάνῃ, κἀκεῖνα καὶ αὕτη ἔφθαρται.

101. Quamobrem canes non odorantur vestigia mortuo lepore, nec si lateat eos hujus mors, amplius eodem modo eum inveniunt? Num quia mortuum non sentiunt, quoniam alius oritur odor propriusque perit, quum omnia pereant, ut vox, color, sapor? omnia enim hæc immutantur. Vivo igitur lepore, propter continuitatem animalis odorem sentiunt; mortuo vero fluere desinit, ut Empedocles dicit:

Qıum defeceret tener pedum halitus:

neque enim divelli potest odor, neque color, sed mortuo animali, et illa et hic periere.

ρβ'. Διὰ τί αἱ ὀδμαὶ ἐγγύθεν ἧττον εὐώδεις καὶ θυμιαμάτων καὶ ἀνθῶν; Ἢ ὅτι τοῖς πλησίον συναναφέρεται τὸ γεῶδες, ὥστε κεραννύμενον ἀσθενῆ ποιεῖ τὴν δύναμιν· εἰ δὲ πόρρω, καταφέρεται ὀδμή; διὰ τοῦτο δὲ καὶ τριφθέντα τὰ ἄνθη ἀπόλλυσι τὴν ὀσμήν. Ἢ ὅτι ἡ ὀσμὴ θερμότης ἐστί, καὶ τὰ εὐώδη θερμά, τὸ δὲ θερμὸν κοῦφον, ὥστε διὰ τοῦτο πορρωτέρω γίνεται ἡ ὀσμή;

102. Quamobrem cominus odores minus bene olent, cum suffimentorum, tum florum? An quia ad propinquos simul evehitur pars terrena, ita ut admistione sua debilem reddat facultatem; quodsi vero procul simus, defertur odor? propterea et flores tritura odorem amittunt. An quia odor calor est, atque odorifera calida, calidum autem leve est, ita ut hanc ob causam remotiora petat odor?

ργ'. Διὰ τί πάντα μᾶλλον ὄζει κινούμενα; Ἢ ὅτι ἀναπίμπλησι τὸν ἀέρα, δι' ὅ τι ἀναπέμπεται θᾶττον πρὸς τὴν αἴσθησιν;

103. Cur omnia magis olent, ubi moventur? An quia aerem replent, quam ob causam citius ad sensum emittuntur?

ρδ'. Διὰ τί ἐνίοτε ναυτιάσαντές πως μᾶλλον πεινῶσιν; εἰκὸς γὰρ ἦν ἐναντίως ἔχειν· πλήρωσις γὰρ ἡ ναυτία ἐστίν. Ἢ ὥσπερ ἀφόδου γενομένης συμβαίνει γενέσθαι τοὺς τόπους κενοὺς οἷς πεινῶσιν· πρὶν δὲ ναυτιάσαι τοὐναντίως;

104. Cur interdum nausea adflicti aliquatenus magis famelici sumus? probabile enim erat rem contrario modo se habere: nam nausea repletio est. An perinde ac si aliquid abiisset, evenit ut vacua fiant loca quæ famem faciunt; ante nauseam vero contrarium obtinebat?

ρε'. Διὰ τί ἐν μὲν τοῖς πλοίοις ἡ ναυτία χολώδης· ἣν δ' ἄλλως, φλεγματώδης; Ἢ διότι ἐν μὲν τοῖς ἄλλοις ἔμπονος· ἐνταῦθα δὲ μετὰ φόβου ἢ ταραχῆς· ὁ δὲ φόβος συγκινητικὸς τῶν συμφύτων; Τὸ μὲν οὖν φλέγμα ἐπιπολάζον καὶ ἀλλότριον, ἡ δὲ χολὴ σύμφυτον γενόμενον ἐκ συμφύτου.

105. Quamobrem in navigiis quidem biliosa est nausea, ceteroquin vero pituitosa? An quia apud reliquos quidem laboriosa est nausea; illic vero metu stipatur, aut tumultu; metus autem cognata commovere solet? Pituita igitur superficiem petit atque aliena est; bilis vero cognata, quippe e re cognata genita.

ρε'*. Διὰ τί ἐν ταῖς φαρμακοποσίαις σημεῖον ὅταν ἀριθμεῖν δύνηται τὰς δοκοὺς ὅτι κεκάθαρται; Ἢ ὅτι

105*. Quamobrem si sumpto medicamento purgante trabes numerare valeant, signum est purgationem factam

οὐκ ἔνεστι περιττωματικὴ ὑγρότης; ἐποίει γὰρ τὸν ἴλιγγον ὥσπερ τοῖς μεθύουσιν· ἡ δ' ἐστὶ τοῖς μὲν γινόμενον, τοῖς δὲ μὴ γινόμενον.

ρς'. Διὰ τί ὑπέρινοι μᾶλλον γίνονται κάτω ἢ ἄνω καθαρθέντες; Ἢ διότι εὐροωτέρα ἡ ὁδός, ἡ δ' ἄνω παρὰ φύσιν, ὥστε καὶ ἀπ' ἐλάττονος φαρμάκου δυνάμεως ἔλαττον καὶ πλεῖον κινεῖσθαι, καὶ κατὰ φύσιν ἢ παρὰ φύσιν; Ἢ ὅτι τὰ μὲν περιττώματα ἐν τῇ κάτω καθάρσει ἐστὶ τῶν χρησίμων καὶ ἐχόντων τῷ σώματι ἀπόλαυσιν ἐκκρίνεται, τὰ δ' ἄνω ἀλλότρια; ἔνθα μὲν γὰρ τῆς τροφῆς πλείονα λείψανα τὰ οὔπω ἐξικμασμένα, ἀλλ' ἔτι ἔχοντα τροφήν, ἔνθα δὲ χολὴ καὶ φλέγμα ἄτροφα. Ἡ μὲν οὖν κάτω κάθαρσις τὴν τροφὴν ἀφαιρουμένη εὐλόγως ἐκλύει, ἡ δ' ἄνω ἢ οὐδέν, ἢ ἧττον. Δηλοῖ δ' ὁ ἐλλέβορος· ἄνω τε γὰρ καθαίρει καὶ εὐθὺς ἔτι τὰ σώματα, ὡς οὐδενὸς τῶν χρησίμων ἀφῃρημένου ἐν τῇ ἄνω καθάρσει.

ρζ'. Διὰ τί οἱ μέλανες καὶ οἱ λεῖοι μᾶλλον ἢ οἱ λευκοὶ καὶ δασεῖς γίνονται ὑπέρινοι; Ἢ ὅτι ὑγρότεροι οἱ λεῖοι τῶν δασέων; δηλοῖ δ' ἡ τῶν γυναικῶν φύσις ὑγρὰ καὶ λεία οὖσα, καὶ οἱ μέλανες τῶν λευκῶν ψυχρότεροι· τὸ δὲ ψυχρὸν τοῦ ὑγροῦ ἐγγύς· τὸ γὰρ θερμὸν ξηρόν· ὑπέρινοι δὲ γίνονται συντηκομένου τοῦ σώματος, ἀλλ' οὐ μόνον ἀφαιρουμένου τοῦ περιττώματος.

ρη'. Διὰ τί μέλαιναν μὲν χολὴν καθαιρόμενοι καὶ φλέγμα πολὺ οὐ γίνονται ὑπέρινοι, τὴν δὲ ξανθὴν χολὴν πολὺ ἐλάττω καθαρθέντες; Ἢ ὅτι τὴν μὲν μέλαιναν χολὴν εἰώθασι καθαίρεσθαι ῥᾳδίως, καὶ μὴ τὴν τρυγώδη [τῷ] ἤδη κεχωρίσθαι τοῦ σώματος; δι' ὃ καὶ μεμέλανται. Οὐδεμία οὖν ἰσχὺς ἀφῄρηται τοῦ σώματος καθαρθέντος· τὸ δὲ φλέγμα περίττωμά ἐστιν, ὥστε ἄν τις ἀφέλῃ μεῖζον, κουφίζει μᾶλλον, ὥσπερ ἐπικειμένου βάρους· ἡ δὲ ξανθὴ ἐκ συστήματός ἐστι τῆς κακῶς ᾠκοδομημένης σαρκός, καὶ οὐ προϋπάρχουσα, οὐδὲ κεχωρισμένη πρότερον ἡ πολλή, ὥστ' οὐδὲν διαφέρει πολλὴν ἀφελεῖν χολήν, ἢ σάρκας πολλάς, ἢ αἷμα· τούτου δὲ συμβαίνοντος ἀνάγκη γίνεσθαι ὑπερίνους· μέχρι μὲν γὰρ τούτου ῥεῖν ἐνδέχεται, ἕως ἂν ἔχῃ αἷμα καὶ σάρκας, ὡς εἰπεῖν, θάτερα δ' ἔχει πέρας διὰ τὸ κεχωρίσθαι.

ρθ'. Διὰ τί λυγγῶσι, καὶ ὑπερκαθαιρόμενοι καὶ ὑπερπληρούμενοι; Ἢ ὅτι δι' ἀμφότερα καταψύχονται; ἥ τε γὰρ ὑπερκάθαρσις ἀφελοῦσα τὸ ὑπέκκαυμα ψύχει, καὶ ἐὰν πλείων εἰσέλθῃ τροφὴ τῆς δυνάμεως, μαραίνει τὴν οἰκείαν θερμότητα· ὁ δὲ λυγμός ἐστιν ὅταν πνεῦμα ἐναπολαμβάνηται διὰ τὸ ψυχθῆναι τὸ ὑγρὸν ἐν τῷ πνευματικῷ τόπῳ.

ρι'. Διὰ τί τὰ παιδία καὶ οἱ γέροντες μάλιστα ἁλίσκονται διαρροίαις, ἐναντίας ἔχοντες τροφάς; Ἐπειδὴ

esse? An quia non inest humor supervacaneus? hicce enim vertiginem faciebat, ut apud ebrios; hicce autem humor apud illos quidem adhuc gignitur, apud hos vero non.

106. Cur potius modum excedit purgatio, si deorsum quam si sursum purgentur? An quia per hanc viam facilior est fluxus, superior vero contra naturam, ita ut paucioris medicamenti vi modo minus, modo plus moveatur, idque magis secundum naturam quam præter naturam? Num quia excrementa purgationis quæ per inferiora fit, ad utilia pertinent atque excernuntur, dum corpus ex iis emolumentum capit; superiora vero aliena sunt? Illic igitur plura adsunt cibi reliquiæ nondum exsuctæ, sed adhuc alimentum continentes; hic vero bilis et pituita quæ nutrire non valent. Purgatio itaque quæ per inferiora fit, merito debilitat, quum alimentum demit; quæ vero per superiora, aut nequaquam, aut minus. Ostendit autem veratrum: sursum enim purgat, atque statim viget corpus perinde ac si purgatione per superiora facta nihil utile sublatum esset.

107. Quamobrem nigri et glabri magis quam albi et hirsuti immodicæ purgationi obnoxii sunt? An quia glabri hirsutis sunt humidiores? ostendit enim mulierum natura quæ humida ac glabra est, itemque nigri, utpote albis frigidiores: frigidum namque humido vicinum est, quippe quum calor siccus est; immodice autem purgantur, ubi corpus colliquatur, non vero ubi redundantia tantummodo aufertur.

108. Cur, si atra quidem bilis, aut magna pituitæ copia purgatur, purgatio modum non excedit; excedit vero, ubi multo minor flavæ bilis copia ablata fuerit? Num quia nigram quidem bilem ac fæculentam facile purgare solent, quia jam a corpore separata est? quam ob causam etiam nigro colore tincta est. Nullus igitur vigor corpori aufertur, dum purgatur; pituita vero excrementum est, ita ut quo plus aliquis abstulerit, eo magis sublevat, tanquam ab onere incumbente; flava vero bilis a coagmento provenit male compactæ carnis, neque antea præsto est, nec prius sejuncta maximam partem, ita ut eodem redeat, an multam bilem auferas, an multas carnes sanguinemve; hoc autem ubi evenit, necessario modum excedit purgatio: tantisper enim fluere potest dum sanguinem, ut ita dicam, et carnes habet; reliquorum vero humorum purgatio terminum habet, quia separati sunt.

109. Quamobrem singultant æque ab immodica purgatione quam ab immodica repletione? An quia ambabus refrigerantur? purgatio enim immodica refrigerat fomitem auferens; item ubi plus alimenti ingestum fuerit quam vires ferre valeant, tabefacit calorem proprium; singultus autem eo constat quod spiritus intus concluditur, quia humor refrigeratus est, in spiritus sede.

110. Quamobrem cum pueri, tum senes ventris profluvio inprimis capiuntur, etiamsi oppositis vescantur cibis? Quum

τὰ μὲν παιδία, εἰ καὶ μὴ διὰ τὴν τροφὴν τοῦτο πάσχουσιν, ἀλλὰ διότι ὑγρὰ τὰ σώματα αὐτῶν ἐστι καὶ πυκνά, ὥστ' εἴσω τὰ περιττώματα συρρέοντα διὰ τὴν τῶν σαρκῶν πυκνότητα ὑγραίνει τὰς κοιλίας, οἱ δὲ γέροντες ψυχρὰ τὰ σώματα ἔχουσι καὶ τὰς κοιλίας, ὥστε τὰ μὲν δι' ὑγρότητα τῶν σωμάτων καὶ πυκνότητα, οἱ δὲ διὰ ψυχρότητα πάσχουσιν. Τοῦτο δὲ καὶ τὰ μὲν διὰ τὸ ἀναπνεῖν ἔξω τὰ περιττώματα, οἱ δὲ διὰ τὸ μόνα τὰ σώματα ἔχειν καὶ τὸ θερμὸν ἀποπνέον ἐξ αὐτῶν ἐξατμίζειν. Τὸ αὐτὸ οὖν οὐ διὰ τὸ αὐτὸ πάσχουσιν· συναίτιον δὲ τοῖς παιδίοις ἐστὶ καὶ τὸ τὴν τροφὴν ποσήν καὶ ποιάν τινα εἶναι· πολλά τε γὰρ προσφέρονται καὶ γλυκέα καὶ παντοδαπά· τὰ μὲν γὰρ νέα παντελῶς γάλακτι τρέφεται, ὅ ἐστι δύσπεπτον, τὰ δὲ σμικρὸν ἐπηυξυμένα ποικίλως καὶ γλυκέσι χρῆται ἐδέσμασι τροφῶν καὶ μητέρων πρὸς χάριν ὁμιλουσῶν αὐτοῖς· τὰ δὲ τοιαῦτα δυσδιαχώρητά ἐστιν.

pueri quidem, etiamsi non propter cibum ita adficiantur, adficiuntur tamen, quoniam corpora eorum humida sunt ac densa, ita ut excrementa intus confluentia propter carnium densitatem alvum humectent; senes vero frigida habent corpora et alvos, ita ut illi quidem propter corporum humiditatem ac densitatem ita adficiantur, hi vero propter frigiditatem. Cum propter hanc igitur causam, tum quod puerorum quidem redundantiæ foras respirant, senes vero solummodo corpus habent, atque calor exspirans ex iis exhalat. Eodem igitur modo utrique adficiuntur, sed non propter eamdem causam; aliquid vero etiam pueris eo confert, quod cibum certa quadam quantitate ac qualitate adsumunt: multa enim ingerunt dulcia et omnigena: nam parvuli quidem omnino lacte aluntur, quod difficulter concoquitur; paululum vero adulti variis ac dulcibus utuntur eduliis nutricum ac matrum in gratiam quibuscum versantur; hujusmodi autem alimenta difficulter transeunt.

ρια'. Διὰ τί τὸ πολὺ ποτὸν ἐνίοτε καὶ τὸ ὀλίγον τὰς διαρροίας ἴσχει; Ἢ διότι τὸ μὲν διὰ τὸ καταξηραίνειν εἰκότως, ἅτε μικρὸν ὄν, τὸ δὲ διὰ τὸ πλῆθος εἰς τὴν οὐρήθραν χωροῦν συνεπισπᾶται τὸ ἐκ τῆς κοιλίας ὑγρόν; ἅμα γὰρ κατ' ἄμφω οὐκ εἴωθεν ὑποχωρεῖν, ἀλλ' ἐὰν μὲν ἡ κοιλία ὑποχωρεῖ μᾶλλον, ἡ οὐρήθρα ἀποξηραίνεται· ἐὰν δ' ἡ οὔρησις πολλὴ γίνηται, ἡ κοιλία καταξηραίνεται· οἷον ἄπωσιν γὰρ ἐποίησεν ἐκ τῆς κοιλίας εἰς τὴν οὐρήθραν τὸ πολὺ ποτόν.

111. Cur interdum potus multus æque ac parcus ventris profluvium sistit? An quia alter quidem merito, quoniam desiccat, utpote exiguus, alter vero propter copiam urinæ meatum petens secum adtrahit humorem e ventre? simul enim per ambas vias subire non solet, sed si alvus quidem secedit magis, urinæ meatus exsiccatur; ubi vero copiosa fit mictio, alvus desiccatur: quasi depulsionem enim e ventre ad urinæ meatum facere solet potus copiosus.

ριϐ'. Διὰ τί οἱ πίνοντες εὐτραφεῖς ὄντες ὑγρὰς τὰς κοιλίας ἔχουσι μᾶλλον ἢ σκληράς, δι' ὃ καὶ διαῤῥοίαις ἀποθνήσκουσι μᾶλλον τῶν τεθραμμένων, ἔδει δ' εὐτρόφους ὄντας ἐκλαμβάνειν μᾶλλον τὸ τρόφιμον, τούτου δὲ γινομένου ξηραίνεσθαι τὰς κοιλίας αὐτοῖς; Ἢ ὅτι τὸ εὐτραφές ἐστιν [οὐκ] ἐν τῷ πολὺ λαμϐάνειν, σκληρὰ δ' ἡ περίττωσις γίνεται, ὅταν μόλις καταϐαίνῃ τὰ προσενεχθέντα εἰς τὴν κοιλίαν, τοῦτο δὲ γίνεται διὰ τὸ μὴ ταχὺ ἀπολαύειν τὸ σῶμα καὶ μὴ ἐκκρίνεσθαι τὸ χρήσιμον ἐξ αὐτῶν, καὶ διὰ τὸ ἐν τῇ κάτω κοιλίᾳ μένειν πολὺν χρόνον, ἅτε μὴ ἀθρόα καταϐαίνοντα (συγκάεται γὰρ μᾶλλον)· οὐχ αἱ μάλιστα δὲ ξηρὰ ἀποδιδοῦσαι κοιλίαι εὔτροφοί εἰσιν, ἀλλ' αἱ ταχὺ λαμϐάνουσαι τὸ χρήσιμον ἐκ τῶν προσενεχθέντων. Σημεῖον δὲ τὸ τοὺς ξηροὺς τὰς κοιλίας ἰσχνοτέρους εἶναι ἢ εὐσαρκοτέρους.

112. Quamobrem potatores, etiamsi corpulenti sint, alvos potius humidas quam siccas habent: quapropter et ventris profluvio magis moriuntur quam nutriti; deberent autem, quum corpulenti sunt, magis eximere partem nutrientem, idque quum fieret, alvus eorum siccari? An quia corpulentia [non] eo constat, quod multum eximitur, dura vero redduntur excrementa, quando difficulter descendunt quæ in ventrem ingesta sunt, hoc autem fit quia non cito corpus ex iis emolumentum capit, neque separatur pars utilis, et quia diu manent in ventre inferiori, utpote non confertim descendentia (exuruntur enim magis); neque ventres sicca excrementa reddentes inprimis corpulenti sunt, sed qui celeriter partem utilem ex alimentis eximunt. Argumento est quod qui alvum siccam habent, potius macilenti sunt quam carnosi.

ριγ'. Διὰ τί οἱ γλυκεῖς καὶ οἱ ἁλμυροὶ τῶν χυμῶν διαχωρητικώτατοί εἰσιν; Ἢ ὅτι ταρακτικώτατοι, τοιαῦτα δ' εἰσὶ τὰ ἄπεπτα καὶ βαρέα; διὰ γὰρ τὸ μήτε κρατεῖσθαι ὑπὸ τῆς ἐν ἡμῖν θερμότητος, κάτω τε φέρεσθαι τὸ μέλλον ἐκταράξειν· ἡ γὰρ ἐκτάραξις τοῦτ' ἐστίν. Ἢ ὅτι οἱ μὲν ἄλλοι χυμοὶ ἔξω τοῦ ἐλαίου εὐδιάφοροι καὶ εὔσηπτοί εἰσι, τὸ δ' ἔλαιον ἄπεπτον μὲν (ἄσηπτον γάρ), ἀλλὰ διὰ κουφότητα ἄνω ἐπιπολάζει, δι' ὃ οὐ διαχωρητικόν ἐστιν· τὸ δ' ἁλμυρὸν βαρὺ καὶ

113. Quamobrem succi dulces et salsi omnium maxime alvum cient? An quia maxime turbare valent; hujusmodi autem sunt quæ ægre concoquuntur ac pondus habent? quod enim turbaturum est, ita agit, quia non domatur a calore nostro interno atque deorsum fertur: nam eo constat ventris turbatio. An quia reliqui quidem succi, excepto oleo, facile dissipantur ac putrescunt, oleum vero ægre quidem concoquitur, quippe quum ægre putrescat, verum propter levitatem sursum elevatur: quam ob causam alvum ciere non valet; salsum vero ponderosum ac

παχύ, τὰ δὲ τοιαῦτα μάλιστα κάτω φέρεται καὶ ἄσηπτά ἐστιν;

crassum est; hujusmodi autem res inprimis deorsum feruntur et putredini resistunt?

ριδ'. Διὰ τί ἡ μὲν ἅλμη καὶ ὁ ὀρὸς τὴν κοιλίαν λύουσι, ὁ δ' οἶνος πολὺς πινόμενος οὔ; Ἢ ὅτι τῶν μὲν ἡ ὑπόστασις εἰς κοιλίαν ἔρχεται; οὐ γὰρ εὔπεπτά ἐστιν, ὥσπερ ὁ οἶνος θερμὸς ὤν, ὃς ταχὺ πεφθεὶς διουρεῖται. Τοῦ μὲν οὖν ἡ ὑπερβολὴ τὴν κύστιν ταὐτὸ ποιεῖ, ὅπερ ἐκεῖνα τὴν κοιλίαν, ἀλλ' οὐκ ἄγει ὑπόστασιν εἰς κύστιν· οὐ γὰρ ἔχει· τὰ δὲ μετὰ περιττωμάτων ἐξέρχεται ἑπομένων τῇ ὑποστάσει αὐτῶν οὔσῃ παχείᾳ· [ὃ] ποιεῖ τὴν διάρροιαν.

114. Cur muria quidem et serum alvum solvunt, vinum vero magna copia bibitum non? An quia illorum quidem sedimentum ad ventrem vadit? haud facile enim concoquuntur, sicut vinum, quod calidum quum sit ac cito concoquatur, per urinam transit. Hujus itaque usus immodicus eodem modo in vesicam agit quo illa in ventrem, sed sedimentum non ducit ad vesicam : non enim habet; illa vero cum redundantiis eorum sedimentum, quod crassum est, insequentibus exeunt : id quod ventris profluvium facit.

ριε'. Διὰ τί ἐν τῇ κάτω καθάρσει ἢ ἐν τῇ ἄνω ὑπέρινοι μᾶλλον γίνονται; Ἢ διότι εἰς μὲν τὴν κάτω κοιλίαν ἐξ ἅπαντος τοῦ σώματος πέφυκε συρρεῖν τὰ ὑποστήματα (τοῦτο δὲ φανερὸν τῇ τῶν ἐμβρύων τροφῇ· ἐν ἐκείνῳ γὰρ ὄντα τρέφονται τῷ τόπῳ· ἡ γὰρ ὑστέρα κατὰ ταύτην ἔχει τὴν χώραν)· εἰς δὲ τὴν ἄνω ἀπὸ τῶν πλησίον χωρῶν συνέρχεται, ὥστ' ἀπ' ἐλάττονος δυνάμεως εὐκινητότερα πάντα ἐς τὸ κάτω διὰ τὸ προϋπάρχειν εἰσφερόμενα; Ἡ μὲν οὖν ἄνω κάθαρσις τὸ ἐπιπολάζον καὶ τὸ ἀλλότριον ἁρπάζει μόνον, δι' ὃ καὶ ἐλλεβορισθέντες εὐθὺς ἰσχύουσιν· ἡ δὲ κάτω ἐκ πολλοῦ συνάγει τόπου, καὶ ἐνίοτε συνεπισπᾶται καὶ τῶν οἰκείων πολλὰ καὶ τῶν περιττωμάτων οὐ ταμιεύεται, ὥστε συμφέρει πολλάκις μὴ πάντα ἐκκενῶσαι· γίνεται γὰρ τὰ ὑπολειφθέντα τροφὴ καὶ ἔχει ἰσχύν. Ἐὰν δὲ μηθὲν ὑπολειφθῇ, ὁτὲ μὲν κένωσιν ποιεῖ ἰσχυράν· ὁτὲ δ' ἀναιροῦνται καθαρθέντες καλῶς, ἐὰν βραδυτέρα γένηται ἡ προσφορὰ τῆς συντήξεως ἐπὶ τὸν ἐπικαιρότατον τόπον.

115. Cur purgatio quæ per inferiora fit, facilius modum excedit quam quæ per superiora? An quia ad inferiorem quidem ventrem e toto corpore suapte natura confluere solent sedimenta (hoc autem constat fœtuum nutritione : nutriuntur enim eo loco versantes, quum in eo sedem habeat matrix); ad superiorem vero e locis vicinis convenit, ita ut a minori facultate omnia facilius ad inferiorem pellantur, quia antea jam præsto sunt quæ adferuntur. Purgatio igitur quæ per superiora fit, fluitantia tantum ac aliena rapit : quapropter et qui veratrum sumserunt, statim vigent; quæ vero per inferiora, ex amplo cogit spatio, atque interdum simul adtrahit et multa familiaria, nec redundantiis moderatur, ita ut conferat sæpius non omnia evacuare : quæ enim restant, alimentum fiunt ac vigorem habent. Quodsi vero nihil relinquatur, interdum quidem vehementem purgationem facit, interdum vero rite purgati interimuntur, si colliquatione tardior sit adcessio ad locum maxime principalem.

ρις'. Διὰ τί τοῖς ὑγιεινοῖς καὶ γέρουσιν αἱ κάτω καθάρσεις οὐ συμφέρουσιν; τάχιστα γὰρ ἀπόλλυνται καὶ ὑπέρινοι γίνονται. Ἢ τοῖς μὲν νοσεροῖς περίττωμά ἐστι τὰ ὑπιόντα, τοῖς δ' ὑγιεινοῖς ἀπὸ τῶν εὖ ᾠκοδομημένων γίνεται ἡ ἀφαίρεσις, ὥστε σύντηξις, οὐ περίττωσις ἡ ἀπὸ νόσου; Ὅταν οὖν ὁρμήσῃ, μέχρι θεμελίων κινεῖται.

116. Quamobrem sanis et senibus non conferunt purgationes quæ per inferiora fiunt? celerrime enim moriuntur ac modum excedit purgatio. An quia apud ægrotos quidem redundantiæ sunt quæ subeunt, apud sanos vero a partibus bene compactis fit ablatio, ita ut colliquamenta sint, non redundantiæ a morbo provenientes? Ubi igitur invaserit, ad fundamenta usque movetur.

ριζ'. Διὰ τί τοῦ θέρους μᾶλλον αἱ διάρροιαι γίνονται ἢ τοῦ χειμῶνος, ἔστι δὲ τοῦτο τὸ πάθος ὑγρασίας ὑπερβολή, καὶ ὁ χειμὼν ὑγρότερος, ὥστ' ἀεὶ μᾶλλον ἐν τῇ ὁμοίᾳ ὥρᾳ συμβαίνειν [ἔδει] τὸ πάθος ἢ ἐν τῇ ξηρᾷ; Ἢ ὅτι ἐν τῷ θέρει ἀντιπεριΐσταται τὸ ὑγρόν, ἐν δὲ τῷ χειμῶνι τὸ θερμόν; οἷον γὰρ ἄν τι ᾖ τὸ ἔξω, ἐναντίως ἔχει τὸ ἐντός· δι' ὃ καὶ τὰ φρέατα τοῦ μὲν θέρους ψυχρὰ ἐν θερμῇ τῇ ὥρᾳ, τοῦ δὲ χειμῶνος θερμὰ ἐν ψυχρᾷ. Τὸ αὐτὸ δὲ καὶ ἡ κοιλία πάσχει, ὥστ' ἐν μὲν τῷ χειμῶνι θερμοτέρα οὖσα πέττει ἱκανῶς, ἐν δὲ τῷ θέρει ψυχροτέρα οὖσα οὐ πέττει ἱκανῶς, ἡ δὲ διάρροια ἀπεψία ἐστίν. Συμβάλλεται δέ τι καὶ ἡ τροφὴ τοιαύτη οὖσα ἐν τῷ θέρει οἵα ταρακτική, καὶ αἱ νύκτες ἐλάττους.

117. Cur æstate magis fiunt ventris profluvia quam hyeme, quum hicce adfectus humiditatis abundantia sit et hyems humidior, ita ut semper magis in simili tempestate evenire deberet adfectus quam in sicca? An quia æstate circumobsistitur humiditas, hyeme vero calor? quocumque enim modo se habuerint externa, contrario modo se habent interna : quapropter et putei æstate quidem frigidi in tempestate calida, hyeme vero calidi in frigida. Idem autem evenit ventri, ita ut hyeme quidem, quum calidior est, subficienter concoquat, æstate vero, ubi frigidior, non subficienter; ventris profluvium autem cruditas est. Confert etiam aliquid alimentum quod æstate ejusmodi est ut turbare valeat, atque noctes breviores.

ριη'. Διὰ τί ἐν τῇ νυκτὶ ἀπ' ἐλάττονος καθαίρει τὰ φάρμακα ἢ ἐν τῇ ἡμέρᾳ; ἡ μὲν γὰρ σκαμμωνία καθαίρει ἀπ' ὀγδοημορίου, ἐλατήριον δ' ἀπὸ τεταρτημορίου ὅταν δοθῇ καταπότια. Ἢ διὰ τρία ταῦτα, δι' ὑγρότητα; διὰ θερμότητα, διὰ τὸ σημαίνειν πολὺν χρόνον· ὅτι τε γὰρ οἱ ὑγρότεροι μᾶλλον καθαίρονται· ὑγρὰ γὰρ ἡ κάθαρσις·...... τὸ γὰρ περίττωμα καὶ ἐν τῷ πλείονι χρόνῳ μᾶλλον καθαίρει, ἐν δὲ ταῖς νυξὶ συμβαίνει τοῦτο μάλιστα, διότι πέττει ὁ ὕπνος, ὥστε θᾶττον καὶ μᾶλλον αἰσθάνεσθαι τὸ σῶμα τοῦ φαρμάκου.

118. Quamobrem noctu minori copia purgant medicamenta quam interdiu? scammonia enim data octava parte purgat, elaterium vero quarta, ubi administrantur catapotia? An propter hasce tres causas, propter humiditatem, caliditatem, et quia diu perstant: quod enim humidiores vehementius purgantur : nam purgatio humida est......... redundantiam enim longiori quoque tempore magis purgat; in noctibus autem hoc inprimis evenit, quia somnus concoquit, ita ut celerius ac impensius medicamentum sentiat corpus.

ριθ'. Διὰ τί τὰ φάρμακα τὰ καθαρτικὰ φλέγμα μὲν ἄγει καὶ χολὴν ἐκ τῶν φλεβῶν εἰς τὴν κοιλίαν, αἷμα δ' οὔ, λεπτὸν ὄν; Ἢ ὅτι ἄγει τὸ ἀλλότριον ὂν διὰ τὸ μὴ προσπεφυκέναι, τὸ δὲ περίττωμα ἀλλότριον; Ἢ ὅτι παχύτερον τὸ αἷμά ἐστι, τὰ δ' ἐξελθόντα παχύνεται, τὸ φλέγμα καὶ ἡ χολή; Δῆλον δ' ὅτι τὸ αἷμα παχύτερον ὅταν ψυχθῇ καὶ παγῇ.

119. Cur medicamenta purgantia pituitam quidem ac bilem e venis ad ventrem agunt, sanguinem vero non, etiamsi tenuis sit? An quia alienum agunt, utpote non adglutinatum, redundantia autem aliena est? An quia crassior sanguis est, exeuntia vero spissantur, pituita nempe ac bilis? Sanguinem autem crassiorem esse tunc probatur, quum refrigeratus est ac concrevit.

ρκ'. Διὰ τί τοῖς ἐκ τῶν γυμνασίων καὶ φαρμακοποσιῶν οὐκ εὐθὺς προσφέρομεν τροφήν; Ἢ ὅτι καθαίρεται τὸ σῶμα ἔτι, καὶ οὐχ ἅμα περὶ αὐτὰ πονοῦν καὶ ἀποκέκριται τὰ περιττώματα; Ἔτι καὶ ἡ μεταβολὴ μεγάλη οὖσα ἀσύμφορον, γίνοιτο δὲ μετὰ πολλὴν κένωσιν πλήρωμα ἀθρόως.

120. Quamobrem post exercitationes ac medicamenta epota non illico cibum propinamus? An quia purgatur adhuc corpus, neque eodem temporis momento his laborem impendere potest quo redundantiis liberatur? Præterea mutatio, quum magna sit, non prodest; fieret autem subito post copiosam vacuationem repletio.

ρκα'. Διὰ τί λέγουσι μὲν πάντες, σεμνύνονται δ' οἱ πλούσιοι ἐπὶ τῷ φαγεῖν ἢ πιεῖν ἡδέως, ἐπὶ δὲ ταῖς κενώσεσιν οὐκέτι, καίτοι οὐδὲν ἧττον ἡδύ, ὅταν ἐπιθυμῇ τις, καὶ πρόσεστι τὸ ὠφέλιμον τὸ δεόμενον τυχεῖν καὶ λυπηρὸν τὸ μὴ τυγχάνειν; Πότερον ὅτι κάθαρσις, ὥστ' ἐνδιατρίβειν τῷ λόγῳ ἀηδὲς περὶ αὐτῶν; Ἢ ὅτι οὐκ ἐφ' ἡμῖν, ἐκεῖνα δ' ἐφ' ἡμῖν;

121. Cur dicunt quidem omnes, prædicantur vero divites quod suaviter edunt vel bibunt, propter vacuationes tamen non ita, etiamsi nihilo minus jucundum sit, quando cupit quis, ac præsto est res præfutura, necessario potiri quam molestum non potiri? Utrum quia purgatio est, ita ut odiosum sit sermoni de his rebus insistere? An quia hæc quidem non in nostra potestate sunt, illa vero penes nos?

ρκβ'. Διὰ τί τοῦ θέρους μᾶλλον γίνεται χολή, τῶν περιττωμάτων ἐλαττόνων ὄντων; Ἢ ὅτι τὸ μὲν θερμὸν σηπτικόν, ἡ δὲ χολὴ ἐκ σήψεως;

122. Cur æstate potius gignitur bilis, quum pauciores sint redundantiæ? An quia calor quidem putrefacere valet, bilis autem a putredine provenit?

ρκγ'. Διὰ τί οἱ χυλοὶ πάντων οὕτω διαχωροῦσι μᾶλλον ἢ μετὰ τῶν φύλλων καὶ ῥιζῶν καὶ καρπῶν, ἢ τῶν φύλλων [εἰσίν], ἐξῆκται δ' αὐτῶν τὸ θερμὸν εἰς τὸ ὑγρόν; Ὅτι τῶν μὲν ἑφθῶν ὑπὸ τοῦ πυρός, τῶν δ' ὠμῶν, αὐτοὶ οἱ χυλοὶ ἔχουσιν; διὸ οἱ μὲν ἰσχυροὶ καθαίρουσι τὰς κοιλίας, οἱ δ' ἀσθενεῖς λύουσιν· καὶ γὰρ οἱ τῶν φαρμάκων ὀποὶ μᾶλλον καθαίρουσι τῶν ῥιζῶν καὶ καρπῶν ἐξ ὧν εἰσιν. Καὶ οἱ τῶν γαλάκτων ὀροὶ ὡσαύτως μᾶλλον ἢ τὸ γάλα· τὸ γὰρ σαρκῶδες τοῦ γάλακτος ὅπερ γῆς ἐστι μέρος, παχύ ἐστιν. Σημεῖον δέ· οὐ γὰρ ηὐξάνετο τὰ ζῷα τῷ γάλακτι, εἰ μὴ σαρκῶδες ἦν· νῦν δ' οἱ μὲν ὀροὶ οὐροῦνται μᾶλλον καὶ διαχωροῦσιν ὑπὸ λεπτότητος, αἱ δὲ σάρκες ὑπολειπόμεναι αὔξουσι, καὶ πηγνυμένων τῶν γαλάκτων τυροὶ γίνονται· ἑψομένων δὲ πυρὶ καὶ ὀπτωμένων βούτυρος.

123. Cur jura omnium medicaminum sic magis alvum cient quam una cum foliis et radicibus et fructibus, aut una cum foliis, et quare ex iis eductus est calor ad humorem? Quia dum alia igne coquuntur, alia vero cruda parantur, ipsa jura calorem tenent? propterea valida quidem purgant, imbecilla vero laxant ventrem : etenim medicamentorum succi validius purgant quam radices, aut fructus, e quibus proveniunt. Lactis quoque serum eodem modo magis purgat quam ipsum lac : carnosa enim lactis pars, quæ pars terrena est, crassa est. Argumento est quod animalia lacte non augerentur, si carnosum non esset; nunc vero serum quidem potius per urinam, vel alvum transit propter tenuitatem, caro vero quæ restat, crescere facit, ac coagulato lacte fit caseus; igne vero cocto et tosto, butyrum.

ρκδ'. Διὰ τί ἐναντίως ὁ λευκὸς καὶ ὁ μέλας ἐλλέβορος καθαίρει; Ἢ ὅτι θερμὰ τὰ καθαίροντα; θερμῷ γὰρ

124. Quamobrem obposito modo purgant albus ac niger helleborus? An quia calida sunt medicamenta purgantia?

ἅπαντα λύεται, ψυχρῷ δὲ πήγνυται μᾶλλον. Εἰ οὖν τὰ μὲν κάτω, τὰ δ' ἄνω καθαίρεται, ἀφομοιοῖ ἑκάτερον αὑτῷ τῶν φαρμάκων τὴν κάθαρσιν· βαρὺς μὲν γὰρ καὶ πυκνός ἐστιν ὁ μέλας, ὁ δὲ λευκὸς ἀραιὸς καὶ κοῦφος. Τὰ οὖν ὑφ' ἑκατέρου τακέντα ὑγρὰ ὅταν αὐτοῖς ἀφομοιωθῇ, τὰ μὲν ὑπὸ τοῦ μέλανος βαρέα καὶ πυκνὰ τὴν κάτω φορὰν ἔλαβεν, ἡ δ' ἀπὸ τοῦ λευκοῦ ἀραιὰ γινομένη καὶ κούφη εὐχερῶς ὑπὸ τῆς προϋπαρχούσης θερμασίας ἀνηνέχθη.

ρκε'. Διὰ τί τῶν τετραπόδων οὐδὲν ἀφ' ὑστέρας πνίγεται, ἔχοντά τε καὶ ζωοτοκοῦντα; Ἦ διότι μεγάλων ὄντων τῶν ἄνω, πρὸς τοῖς αἰδοίοις ἡ ὑστέρα ἐστὶ πᾶσιν· διὰ δὲ τὸ πολὺ ἀπέχειν οὐκ ἀναβαίνουσιν ἄνω, διὰ δὲ τὸ μὴ ἀναβαίνειν οὐκ ἀπολαμβάνουσι τὸ πνεῦμα, πνίγονται δὲ τούτου γινομένου;

ρκς'. Διὰ τί τὰ πιαινόμενα τῇ ὠμῇ λύσει τῶν αἰρῶν μιγνυμένων τάχιστα πιαίνεται, διὰ δὲ τὸ τὴν μίξιν ἔχειν τινὰ λόγον; ἐὰν γὰρ λίαν πολὺ μιχθῇ, ἀποκτείνει. Ἦ ὅτι αἶραι βαρὺ ἔδεσμα καὶ καρηβαρεῖν ποιεῖ; Τῷ οὖν καρώματι ὕπνον συνεχῆ ποιεῖ, ὥσπερ ὁ μανδραγόρας· ὁ δ' ὕπνος πιαίνει μάλιστα, συνέχων τὰ σώματα.

ρκζ'. Διὰ τί τῆς κόπρου ἡ τῶν βοῶν ἥκιστα δυσώδης τῶν τετραπόδων καὶ διπόδων; Πότερον ὅτι πέττεται μάλιστα (σημεῖον δ' ἡ λειότης), καὶ ὅτι ἁπλῆ ἡ τροφή; ἄχυρα γάρ· ἡ δὲ ποικίλη δυσώδης· διὸ καὶ ἡ τῶν ἀνθρώπων δυσωδεστάτη. Ἦ ὅτι σημεῖον ὅτι μάλιστα μηρυκάζει; τὸ γὰρ μηρυκάζειν ἐστίν, ὅταν μεταβάλῃ ἐκ τῆς πρώτης εἰς τὴν δευτέραν, δι' ὃ καὶ λεῖον γίνεται τὸ περίττωμα καὶ πλεῖστον· διὸ χρόνον ἐν τῇ κοιλίᾳ μείναντα ἥκιστα ὄζει, τὰ δὲ προσφατώτατα μάλιστα.

ρκη'. Διὰ τί τὰ Λιβυκὰ θηρία τοῦ μὲν θέρους οὐ πίνει, ὅτε μάλιστα δίψα γίνεται, χειμῶνος δὲ πίνουσιν, ὅτε ἧττον διψῶσιν; Ἦ διὰ τὸ μὴ γίνεσθαι ὕδατα τοῦ θέρους ἐν τῇ Λιβύῃ; συνήθεις γὰρ μὴ πίνειν· τοῦ δὲ χειμῶνος διὰ τὸ γενέσθαι πίνει. Ὃ οὖν ἐκεῖ εἴθισται, καὶ ἐν ἄλλοις τόποις ἐλθόντα τὸ ἔθος σώζει.

ρκη' *. Διὰ τί τὰ πλεῖστα τῶν τετραπόδων ῥᾷον τοῦ ὑγροῦ τὸ ξηρὸν περίττωμα προΐεται; ἀφοδεύει μὲν γὰρ καὶ βαδίζοντα, οὐρεῖ δ' ἐφιστάμενα τὰ πολλὰ αὐτῶν. Ἦ ὅτι τοῖς μὲν θήλεσιν ἡ μήτρα τῆς κύστεως ἔμπροσθέν ἐστι, τοῖς δ' ἄρρεσιν οὔ, ἡ μὲν ξηρὰ περίττωσις, κατ' εὐθυωρίαν ἐστὶν ἐκ τῆς κοιλίας εἰς τὴν ἕδραν ἡ φορά; διὸ ῥᾳδίως ἐκρεῖ τὰ οὖρα καὶ καμπὴν ποιεῖ, τοῦ οὖν αἰδοίου εἰς τοὔμπροσθεν ἀνηνεγμένου. Ὁρμήσαντα γοῦν ἐκ τῆς κύστεως τὰ ὑγρὰ προσπίπτοντα τοῖς καταντικρὺ τόποις ἀναχωρεῖ πολλάκις, ἂν μὴ ἐπιστάντα τὰ ζῷα τῷ πνεύματι συναπώσῃ· διὸ καὶ οἱ ἱπποκόμοι ἐφιστᾶσι τὰ ὑποζύγια ἐν τῷ οὐρεῖν. Ση-

calore enim solvuntur omnia, frigore vero solidantur potius. Quodsi igitur alia quidem deorsum, alia vero sursum purgantur, purgamenta sibi adsimulat utrumque medicamentum: gravis enim et densus est niger, albus vero rarus et levis. Humores igitur ab utroque liquati ubi ipsis medicamentis adsimilati sunt, qui a nigro, utpote graves et densi, iter deorsum ferens sibi eligere solent, purgamentum autem ab albo proveniens, quum rarum et leve sit, facile a calore, qui jam antea aderat, elevatur.

125. Cur nullum quadrupes ab utero strangulatur, etiamsi habeant, ac vivos fœtus pariant? Num quia, quum partes superiores amplæ sint, apud omnia pudendis vicinus est uterus; quia autem longe distat, sursum non adscendit, ac quia non adscendit, respirationem non intercipit, strangulantur autem, ubi hoc fit?

126. Cur animalia quæ farina hordeacea cum admisto lolio saginantur, citissime pinguescunt, verumtamen ea lege ut modum aliquem teneat mixtio? si enim permagna copia admiscetur, interimit. An quia lolium grave est edulium et capitis gravitatem facit? Gravedine igitur continuum adfert somnum sicut mandragoras; somnus autem maxime saginat, utpote membra colligans.

127. Cur inter quadrupedes et bipedes omnium excrementorum boum stercus minime fœtet? Utrum quia maxime concoquitur (hoc enim probat ejus lævitas), et quod simplex est eorum alimentum? paleis enim constat; at varium stercus maxime olet: propterea et humanum fœtidissimum est. An quia id ipsum signum est, bovem maxime ruminare? ruminatio enim eo constat ut e primo ventriculo in secundum transferat: quapropter et læve redditur excrementum et copiosissimum fit: hinc quum diu in ventre manet, minime olet: recentissimum enim maxime.

128. Quamobrem feræ Libycæ æstate quidem non bibunt, quando inprimis obtinet sitis, hyeme vero bibunt, quando minus sitiunt? An quia æstate non exsistunt aquæ in Libya? potu enim abstinere consueverunt; hyeme vero bibunt, quia adsunt aquæ. Quod igitur illic facere consueverant, hunc morem etiam servant, postquam ad alia loca transmigrarunt.

128. * Cur pleraque quadrupedia facilius siccum excrementum quam humidum emittunt? alvum enim exonerant et incedentia, sistuntur vero pleraque eorum ut mingant. An quia apud feminas quidem uterus ante vesicam situs est, apud mares vero non hic, sed siccum excrementum, recto tramite e ventre ad sedem pertendit iter? propterea [haud] facile effluit urina atque flexuram facit, quum saltem pudendum anteriora versus elatum est. E vesica igitur profecti ac locis e regione positis incidentes humores recurrunt sæpe, nisi sistantur animalia ac spiritu depulsionem adjuvent: hinc et equisones sistunt jumenta,

μεῖον δέ· τὰ μὲν θηλέα τῶν ἀρρένων ὑποζυγίων ἐστὶν οὐρητικώτερα διὰ τὸ τῇ ἕδρᾳ τὸ αἰδοῖον ἐν ταὐτῷ τόπῳ κεῖσθαι· τῶν δὲ τετραπόδων τὰ μονώνυχά ἐστι δυσουρητικώτερα διά τό τε τοῦ οὔρου πάχος καὶ διὰ τὸ χόρτον καὶ καρπὸν ἀργὸν ἐσθίοντα λάβρως ἐσθίειν· οὐ γὰρ λεαίνοντα τοῖς ὀδοῦσι τὴν τροφὴν φυσᾶται τὴν κοιλίαν, οἰδησάντων τῶν εἰσιόντων, ἧς διατεινούσης καὶ πνευματωθείσης οὐκ ἐμπίπτει δι' αὐτῆς τὰ ὑγρὰ εἰς τοὺς τῆς κύστεως πόρους. Σημεῖον δέ τό τε στραγγουρίᾳ καὶ στρόφῳ ἔχεσθαι καὶ τὸ τοὺς ἰωμένους τὴν χεῖρα εἰς τὴν ἕδραν καθιέντας ἀφαιρεῖν κόπρον· τοῦ γὰρ πνεύματος μετὰ ταύτης ἐξελθόντος ἀνοίγονταί θ' οἱ τῶν ὑγρῶν πόροι, βοηθοῦσι δὲ τῷ πάθει καὶ λούοντες καὶ συλλεαίνοντες· πάντα γὰρ ταῦτα ἀπορροὴν πνευμάτων ποιεῖ, ἀνοίγοντά τε τοὺς κατὰ σάρκα πόρους καὶ λεπτύνοντα τὰ ἐν αὐτοῖς ὑγρά. Ἁλίσκονται δὲ τοῖς εἰρημένοις πάθεσι μᾶλλον τῶν ἄλλων τὰ μονώνυχα καὶ διὰ τὸ δύσριγα εἶναι.

ubi mingunt. Probatur autem hoc eo quod jumenta feminæ maribus facilius mingunt, quoniam pudendum eorum eodem loco situm est quo sedes; at inter quadrupedia solidipedes difficilius mingunt, cum propter urinæ crassitudinem, tum quia adfatim vescuntur alimento fœno et seminibus non subactis constante : quum enim dentibus non lævigant cibum, inflatur venter eorum, turgescentibus alimentis ingestis; hoc autem distendente et flatu repleto, per eum in vesicæ meatus non incidunt humores. Probatur autem eo quod urinæ stillicidio et torminibus vexantur, quodque veterinarii, manu in sedem inmissa, stercus auferunt : flatibus enim simul cum hoc exeuntibus, aperiuntur humorum meatus; adfectui etiam opem ferunt lavando et lævigando : nam omnia hæc flatuum effluvium faciunt, dum carnis meatus aperiunt et humores qui iis continentur, adtenuant. Quin etiam quia alsiosæ sunt, supradictis adfectibus magis quam reliqua animalia adfliguntur solidipedes.

ρκθʹ. Διὰ τί τὰ ἄγρια θηρία μονόχροα; Ἢ ὅτι ἁπλῆ ἡ διαίτη, αἱ δὲ ταραχώδεις καὶ ποικίλαι διαθέσεις χρωματίζουσι τὰ σώματα μᾶλλον; Σημεῖον τοῦτο ἀλεκτρυόνων ὅτι πολύχροα· παμφαγώτατοι γὰρ τῶν ὀρνίθων.

129. Quamobrem feræ sylvestres unicolores sunt? An quia simplex est eorum victus, victus rationes autem tumultuosæ ac variæ potius colorant corpora? Argumento est quod gallis gallinaceis adcidit, quum multicolores sint : omnium enim avium maxime omnivori sunt.

ρλʹ. Διὰ τί οἱ πυροὶ τοῖς τετράποσιν δυσδιαχωρητότεροι τῶν κριθῶν; Ἢ διὰ τοὺς ἐχίνους; ταχὺ γὰρ λεαινόμενον τὸ ἄχυρον αὐτῶν λεπτυνόμενον ἔχεται ἐν τοῖς ἐχίνοις διὰ τὴν τραχύτητα τῶν ἐχίνων· τῶν δὲ κριθῶν ἅμα συμπέττεται διὰ τὸ τῇ πέψει γίνεσθαι πλείω χρόνον.

130. Quamobrem triticum apud quadrupedes difficilius transit quam hordeum? An propter omasum? tritici enim palea quum cito lævigatur, comminuta hæret in omaso propter omasi asperitatem; hordei vero palea una concoquitur, quum plus temporis concoctioni impenditur.

ρλαʹ. Διὰ τί τὰ μονώνυχα γηράσκοντα μείζους ἴσχει τοὺς ὀδόντας ὥσπερ τὰ ἄλλα ἐλάττους; Ἢ ὅτι τε φύσει εὐαυξεῖς διὰ τὸ μὴ ἔχειν κέρατα; Καὶ ἡ χρῆσις ὀλίγη ὑφ' ἧς τρέφονται. Καὶ ἐπιπαραλλάττουσι τὰς σιαγόνας, οὐχ ὥσπερ ὁ ἄνθρωπος, ἀρτιστόματοι.

131. Cur solidipedes senescentes majores habent dentes, ut reliqua animalia minores? An quia suapte natura facile crescunt, quoniam cornua non habent? Tum usus eorum parcus est propter cibum quo utuntur. Præterea alternatim movent maxillas, neque eorum os, sicut hominis, exacte clauditur.

ρλβʹ. Διὰ τί οὔτε πώγωνα, οὔτε δασεῖαν βλεφαρίδα ἔχει οὐθὲν τῶν τετραπόδων ὅσα μονώνυχά ἐστιν; Ἢ ὅτι χαίτην ἔχει ταῦτα, καὶ εἰς ταύτην καταναλίσκεται αὐτοῖς ἡ ὑγρότης, ἐξ ἧς αἱ τρίχες γίνονται; ἀδύνατον γάρ ἐστι τὴν περίττωσιν ταύτην κινεῖσθαι ἅμα εἰς τὰ ἐναντία, ἥ ἐστι τροφὴ τούτοις, ἀλλ' ἢ ἄνω, ἢ κάτω, ἢ πρόσθεν, ἢ ὄπισθεν.

132. Cur neque barbam, nec palpebram hirsutam habet ulla quadrupes quæ solidipes est? An quia hæ jubam habent, atque in hanc impenditur apud eas humor e quo pili gignuntur? fieri enim nequit ut hæcce redundantia quæ horum nutrimentum est, simul in obpositas partes moveatur, sed aut sursum, aut deorsum, aut anteriora versus, aut posteriora.

ρλγʹ. Διὰ τί οὖν τὰ μονώνυχα, οἷον ἵπποι, ἢ ὄνοι καὶ ὀρεῖς, ἡνίκα ἂν γένηται, μένει καὶ οὐθὲν αὐξάνεται τὸ ἀπὸ τῆς ὁπλῆς ἄνωθεν, μὴ συλλαμβανομένης δὲ τῆς ὁπλῆς, μένει [δὲ] ἕως τοῦ γόνατος καὶ τοῦ ὀπισθίου καὶ τοῦ ἐμπροσθίου σκέλους, οἱ δ' ἄνθρωποι τοὐναντίον; ἐπὶ τὰ κάτω γὰρ αὐξάνονται μᾶλλον. Ἢ ὅτι τοὺς μὲν δεῖ ὀρθίους πορεύεσθαι· τὰ κάτω οὖν αὐξηθῆναι ἀνάγκη, ἵνα ῥᾷον φέρῃ τὰ ἄνω, ἢ οὐκ ἀναστήσονται· τὰ δὲ τοὐναντίον τετράποδα διατελεῖν, ὥστε τὰ ἄνω

133. Quamobrem itaque solidipedes, ut equi, vel asini et muli, quando nati sunt, perstant, nec ullo modo crescit pars inde ab ungula sursum versus sita, non comprehensa ungula, perstant, inquam, usque ad genu, cum posterioris tum anterioris cruris; apud homines vero contrarium obtinet? deorsum enim crescunt magis. An quoniam hi quidem erecti incedere debent (necessario igitur crescunt partes inferiores ut facilius ferant superiores, aut non surgent); has vero perpetuo quatuor cruribus ingredi oportet,

αὐξάνεσθαι ἀνάγκη, τὰ δὲ κάτω μένειν, ᾧ ἀναστήσονται ὀρθά, ὥστε τὸ μὲν ὀρθὸν ἀνάγκη ταῦτα γίνεσθαι; διὸ καὶ πωλία μὲν ὄντα ῥᾳδίως τὸ οὖς ξύονται τῷ ὀπισθίῳ ποδί, πρεσβύτερα δὲ γενόμενα οὔ· οἱ δ' ἄνθρωποι ἀντεστραμμένως· οὐ γὰρ δύνανται μέχρις ἡλικίας τινὸς τὰ παιδία κύκλῳ θιγεῖν τοῦ ὠτός.

ita ut partes superiores necessario crescant, inferiores vero quibus erecti surgerent, perstent? Animalibus itaque non erectis hæc eveniant necesse est : propterea, dum pulli quidem sunt, facile os scalpunt pede posteriori, seniora autem facta non; apud homines vero contrarium obtinet : nam ad certam usque ætatem aurem in orbem adtingere nequeunt infantes.

ρλδ'. Διὰ τί τὰ μὲν μονώνυχα τὸ ἀπορρέον ὕδωρ πίνει, τὰ δίχηλα, οἷον βόες, τὰ συρρέοντα μᾶλλον; Ἢ ὅτι οἱ βόες χαίρουσι μᾶλλον τοῖς ἁλμυρωτέροις, δι' ὃ καὶ εἰς τὴν τροφὴν παρεμβάλλονται αὐτοῖς ἅλες καὶ συμμίγνυται ὁ τοιοῦτος χυμός, τὰ δὲ συρρέοντα ἔχει τὸ τοιοῦτον μᾶλλον (ὑπόστασιν γὰρ ἔχει, τὸ δ' ἁλμυρὸν ὑφίσταται διὰ τὸ βάρος)· τὰ δὲ μονώνυχα τὰ γλυκέα μᾶλλον καὶ πίνει, καὶ ἄλλως προσφερόμενα χαίρει;

134. Cur solidipedes quidem defluentem aquam bibunt, bisulca vero, ut boves, potius confluentes? An quia boves magis gaudent rebus salsioribus : quapropter et eorum pabulo injicitur sal admisceturque hujusmodi sapor, aquæ autem confluentes id inprimis habent (sedimentum enim habent; salsum autem subsidit propter pondus); solidipedes vero dulcia potius bibunt, delectanturque si alio modo iis propinentur?

ρλε'. Διὰ τί αἱ ὕες πιαινόμεναι δυσριγότεραι γίνονται; Ἢ διότι καὶ οἱ ἄνθρωποι [οἱ] παχεῖς, ὅσῳ ἂν μᾶλλον παχύνωνται, πορρωτέρω γίνονται τοῦ οἰκείου θερμοῦ, ὅσῳ δ' ἂν μᾶλλον τοῦτο πάσχωσιν, εὐψυχτότερα τὰ ἔσχατα ἀνάγκη εἶναι, τὰ δ' εὔψυκτα ταχὺ ἀνάγκη αἰσθάνεσθαι τοῦ ψύχους;

135. Quamobrem sues pinguescentes magis alsiosi redduntur? An quia et homines pingues, quo magis pinguescunt, eo magis removentur a proprio calore, quo vero magis ita adficiuntur, eo facilius refrigerari partes extremas necesse est; quæ autem facile refrigerantur, necessario et cito frigus sentiunt?

ρλϛ'. Διὰ τί ἄνθρωπος μὲν οὐ χαλαζιᾷ, οὐδὲ τῶν ἄλλων ζῴων οὐδέν, αἱ δ' ὕες τοῦτο πάσχουσιν; Ληπτέον δὴ τὸ πάθος τί ἐστι χαλάζωσις· ἔστι δ' οἷον τοῖς ἀνθρώποις οἱ ἴονθοι, τοῦτο ταῖς ὑσὶν ἡ χαλάζωσις ὧδε μετεστραμμένον. Οἱ δ' ἴονθοί εἰσι μικροὶ δοθιῆνες, δι' ὅ τι πολλοὶ καὶ διεσπαρμένοι· μεγάλα γὰρ πολλὰ χαλεπώτερον ποιῆσαι καὶ πλείονος περιττώματος ἔργον, ὥστε πρὶν μερισθῆναι οὕτως, ἕτερον ἂν νόσημα προσηγέρθη. Γίνονται δ' οἱ ἴονθοι οὔθ' ὡς ἀρρώστημα, οὔθ' ὡς τῶν κατὰ φύσιν, ἀλλὰ τοῖς εὐτραφέσι μέν, τροφῆς δὲ φαύλης ὑπερβολῇ, δι' ὃ γίνονται οὐ τῇ τυχούσῃ ἡλικίᾳ· οὔτε γὰρ παιδίοις, οὔτε γέρουσι γίνονται ἴονθοι, οὔτε τοῖς λεπτοῖς. Τοῖς μὲν οὖν ἀνθρώποις, ὥσπερ εἴρηται, οἱ ἴονθοι γίνονται ἔξω διὰ τὴν λεπτότητα τοῦ δέρματος· τοῖς δ' ὑσὶ γίνονται μὲν δι' εὐτροφίαν, διὰ πάχος δὲ τὸ τοιοῦτον ἔσω τοῦ δέρματος τρέπεται· εἰ δ' εἰσὶ δι' εὐτροφίαν, ὑπερβολῇ περιττώματος. Ὥσπερ καὶ οἱ ἴονθοι φυσικαῖς ἡλικίαις γίνονται, οὕτω τοῖς τοιούτοις τῶν ζῴων ἐγγίνονται χάλαζαι, ὅταν γένηται τὸ ἔτος ἔγκαιρον· τότε γὰρ ἥκιστα δύναται πέττειν τὴν τροφήν, τὸν δ' ἄλλον χρόνον ῥᾷστα πέττει τῶν ζῴων· διὸ καὶ πιότατόν ἐστι καὶ τὴν προχώρησιν ἐξηλλαγμένην ποιεῖται πλείστην. Σημεῖον δ' ὅτι χαλαζώδεις εἰσὶν αἱ ὑγρόσαρκοι τά τε περὶ τὰ σκέλη καὶ τὸν τράχηλον καὶ τοὺς ὤμους, ἐν οἷς μέρεσι καὶ πλεῖσται γίνονται χάλαζαι. Κἂν μὲν ὀλίγας ἔχῃ, γλυκυτέρα ἡ σὰρξ γίνεται διὰ τὸ εὐτροφίας εἶναι σημεῖον, ὥσπερ εἴρηται· ἐὰν δὲ πολλάς, ὑγρὰ λίαν καὶ ἄχυμος· ἄπεπτος γὰρ ἡ τροφὴ ἡ λίαν πολλὴ καὶ οὐ κρατεῖται ὑπὸ τῆς φύσεως· ἐκβάλλουσι γὰρ τὰς χαλάζας μάλιστα ταῖς τίφαις· ἔστι δὲ τοῦτο καὶ πρὸς τὴν τροφὴν χρήσιμον. Ὥσπερ δ' οὐδὲ τοῖς παιδίοις γίνονται ἴονθοι, οὐδὲ γέρουσιν,

ιζ'. Διὰ τί ὑπὸ τοῦ χαλκοῦ τὸ μὲν [ὕδωρ] οὐχ ἰοῦται, ὁ δ' οἶνος ἰοῦται; Πότερον τὸ μὲν ἄχυμόν ἐστι, τὸ δ' ἔχει χυμόν; Ἢ ὅτι τὸ μὲν ὕδωρ λεπτὸν καὶ κοῦφον, ὁ δ' οἶνος παχὺς καὶ βάρος ἔχει, ὥστε καὶ ἀπατμίζειν τὸ ἰῶδες κωλύει διὰ τὸ πάχος ἀπὸ τοῦ χαλκοῦ καὶ τῷ βάρει τρῖψιν ποιεῖ, πάντα δὲ τὰ τρίβοντα ἰοῦται; Ἔτι ψαθυρὸν τὸ ὕδωρ, καὶ οὐχ ὥσπερ τὸ ἔλαιον γλίσχρον, ὥστ' οὐχ ὑπομένει· ὁ δ' οἶνος καὶ τὸ ἔλαιον διὰ τὸ βάρος καὶ διὰ τὴν γλισχρότητα ἐπιμένοντα καὶ ποιεῖ καὶ πάσχει ἐπὶ τοῦ χαλκοῦ.

17. Quamobrem aqua quidem ab ære æruginem non contrahit, vinum vero contrahit? Utrum quia aqua quidem sapore caret, vinum vero sapidum est? An quia aqua quidem tenuis levisque est, vinum vero crassum pondusque habet, ita ut etiam crassitudine sua impediat quominus æris pars æruginosa evaporetur pondereque fricationem adfert, omnia autem quæ fricant, æruginem contrahunt? Præterea aqua fragilis est, nec ut oleum, viscida, ita ut non insideat; vinum vero et oleum propter pondus et conditionem glutinosam insidentia et agunt in æs, et adficiuntur ab eo.

ιη'. Διὰ τί τὸ ὄξος ἀσαπές; Ἢ ὅτι κωλύει διίστασθαι τοὺς χυμοὺς διεσθίον;

18. Quamobrem acetum putredinis expers est? An quia corrodendo impedit quominus succi disjiciantur?

ιθ'. Διὰ τί τὸ ὄξος τὸν χαλκὸν καὶ τὸν σίδηρον ἰοῖ μάλιστα; Ἢ ὅτι διαδοτικὸν καὶ διαδῦνον δὲ ἀναζυμοῖ καὶ ἐξάγει τὸ γεῶδες;

19. Quamobrem acetum inprimis æs et ferrum ærugine inficit? An quia penetrare valens et subiens fermentat et educit partem terrenam?

κ'. Διὰ τί τὸ ὄξος τῷ μέλιτι, οἱ δ' ἅλες τῷ ἐλαίῳ ἁρμόττουσιν; Ἢ ὅτι τὸ μὲν ἔλαιον διὰ τὸ κοῦφον εἶναι ἐπιπολαστικόν ἐστι καὶ πλησμονὴν παρέχει, μετὰ δὲ τοῦ ἁλὸς κάτω φέρεται· τὸ δὲ μέλι κοῦφον μὲν οὐκ ἔστιν, ἀλλὰ βαρύσταθμον, ἅμα δὲ τρόφιμον καὶ ἄσηπτον, τὸ δ' ὄξος ἄτροφον καὶ διαλυτικὸν πάντων, ὥστε καὶ τοῦ μέλιτος ἀφαιρεῖται τὴν ὑπεροχήν, εἰ λυπηρόν ἐστιν;

20. Cur acetum quidem melli, sal vero oleo congruit? An quia oleum quidem propter levitatem superiora petit ac repletionem adfert, cum sale vero deorsum fertur; mel contra leve quidem non est, sed ponderosum, simulque etiam nutrire valet ac putredini resistit; acetum vero nutrire nequit, sed omnia dissolvit, ita ut melli quoque demat efficaciam immodicam, ubi molestum est?

κα'. Διὰ τί ὁ λευκὸς οἶνος οὐ γίνεται ὄξος; Ὅτι ἀσθενέστερος, καὶ τῶν μὲν ἄλλων ὑγρῶν ἡ ὕλη καὶ ἡ ὑπόστασις καὶ ἡ ἰλὺς [τοῦ] κάτω ὑφίσταται, τοῦ δὲ μέλιτος ἄνω; Ἢ ὅτι τὰ μὲν ἄλλα κουφότερα τῆς γῆς ἐστι, τὸ δὲ μέλι πάντων βαρύτατον καὶ ὑγρότατον τῶν ὑγρῶν, καὶ τὸ βέλτιον βαρύτερον τοῦ χείρονος; ἀνάγκη δὲ τοῦ μέλιτος κάτω φερομένου ἄνω τὴν ἀχλὺν εἶναι διὰ τὸ κουφότερον εἶναι.

21. Quamobrem album vinum non fit acetum? Quia debilius, atque reliquorum quidem humorum materies sedimentumque ac cœnum deorsum subsidit, mellis vero sursum? An quia reliqui quidem terra leviores sunt, mel vero omnium humorum gravissimus et humidissimus est, atque melius deteriori gravius? necessario enim mellis, quippe quod deorsum fertur, nebula superne est, quia levior est.

κβ'. Διὰ τί ὁ μὲν οἶνος παλαιούμενος γίνεται ἡδίων, τὸ δὲ μέλι οὔ; Ἢ ὅτι ξηρὸν τῇ φύσει ἐστίν (σημεῖον δέ, ὅτι ἑψόμενον παχύτερον γίνεται)· ὁ δ' οἶνος ὑγρόν; τὸ δὲ μέλι ὑγρὸν οὐ γίνεται παλαιούμενον, ἀλλὰ ξηρόν, ὥστ' ἄχυμον.

22. Cur vinum quidem veterascens suavius fit, mel vero non? An quia natura siccum est (argumento autem est quod coctione crassescit), vinum vero humidum est? mel enim humidum non fit veterascens, sed siccum, ac proinde insipidum.

κγ'. Διὰ τί τὸ ἔλαιον αὐτὸ μὲν μόνον ἥκιστα ἐκκάεται, μιχθὲν δ' ἄλλοις μάλιστα; Διὰ θερμότητα συνεκκάει τὸ ὑγρὸν μετὰ τῆς ἀπὸ πυρὸς θερμότητος, αὐτὸ

23. Cur oleum ipsum quidem solum minime comburitur, aliis vero admixtum maxime? Propter calorem una comburit humorem cum calore ab igne provenienti, ipsum

δ' ἀκολουθεῖ καὶ διὰ γλισχρότητα (τά?) ἐξατμίζοντα, οἷον ἐν ῥεύματι.

vero insequitur, quia glutini simile est, ea quæ evaporantur, quasi in fluvio.

κδ'. Διὰ τί τὸ ἔλαιον τῶν ἐναντίων ἐστίν; ἧττον γὰρ ῥιγῶσιν οἱ ἀλειφόμενοι, καὶ ἧττον καίονται ὑπὸ τοῦ ἡλίου. Ἢ τὸ μὲν διὰ τὸ φύσει θερμὸν εἶναι, τὸ δὲ διὰ τὸ θερμὸν ἅπαν τοῦ ψυχροῦ μᾶλλον αἰσθητικώτερον εἶναι;

24. Cur oleum contrarios effectus secum fert? minus enim rigent qui eo unguntur, minusque sole uruntur. An alterum quidem quia natura calidum est, alterum vero quia omne calidum frigidum impensius sentire valet?

κε'. Διὰ τί τινα τῶν ὑγρῶν ξηραίνεται βραδύτερον; Ἢ ὅτι τὸ ξηραίνεσθαί ἐστι τὸ ψύχεσθαι, ψύχεται δὲ θᾶττον τὰ ψυχρότερα; τὸ δ' ἔλαιον θερμότατον.

25. Cur nonnulli humores tardius siccantur? An quia siccatio refrigeratio est, refrigerantur autem citius frigidiora? oleum enim calidissimum est.

κϛ'. Διὰ τί τὸ ἔλαιον τοῖς μὲν ἔξω συμφέρει τοῦ σώματος, τοῖς δ' εἴσω οὔ; Ἢ ὅτι μαλάσσει; διὸ τὴν κηρωτὴν ἔνιοί φασιν ἄριστον εἶναι τοῖς ἰατροῖς εὑρημάτων. Τοῖς δ' εἴσω οὐ συμφέρει ὅτι ἄπεπτον.

26. Cur oleum externis quidem corporis partibus congruit, internis vero non? An quia emollit? Propterea nonnulli ceratum præstantissimum medicorum inventum esse dicunt. Internis vero non convenit, quia difficulter concoquitur.

κζ'. Διὰ τί τὰ ἐλαιωθέντα βιβλία εὐαναγνωστότερα μᾶλλον ὄπισθεν ἢ ἔμπροσθεν; Ἢ ὅτι διὰ τὸ ἀραιόπορα γίνεσθαι, ὥστε διέρχεσθαι τὴν ὄψιν ῥᾷον;

27. Quamobrem libri oleo uncti a posteriori parte facilius leguntur quam a priori? An quia meatus rariores fiunt, ita ut visus facilius permeet?

κη'. Διὰ τί τὸ ἔλαιον ἐπιχεόμενον σχῆμα στρογγύλον ἄνωθεν ἔχει πλέον τῶν ἄλλων ὑγρῶν χεομένων; Ἢ ὅτι μόνον ἐλαφρότερον ὕδατος· στρογγύλον δέ, ὅτι πάντῃ ἐπιχεόμενον ὅμοιον; Συνωθεῖ οὖν πάντῃ ὁμοίως ὡς ἀδιάσπαστον· τὸ δὲ πάντῃ ὅμοιον σχῆμα στρογγύλον.

28. Cur oleum effusum magis quam alii humores effusi superne figuram habet rotundam? An quia solum aqua levius; rotundum autem est, quia, dum effunditur, undique sibi simile est? Compellit igitur undique æqualiter, utpote indivulsum; figura autem undique sibi similis rotunda est.

κθ'. Διὰ τί τὸ ἔλαιον τῇ θαλάσσῃ ἐπιχεόμενον γαληνιᾷ; Ἢ ὅτι λεῖόν ἐστιν; Ἀπολισθαίνει τοίνυν τὸ πνεῦμα, καὶ φρίκην οὐ ποιεῖ.

29. Cur oleum mari infusum tranquillum est? An quia læve est? Delabitur itaque ventus, nec horrorem facit.

λ'. Διὰ τί ἐν τῷ γάλακτι οὐ φαίνονται αἱ ὄψεις; Ὅτι οὐχ ὁμαλόν ἐστιν· ἀφρῶδες γάρ ἐστι, καὶ μικραί εἰσι πομφόλυγες.

30. Cur in lacte non adparent facies? Quia læve non est: spumosum enim est parvæque sunt bullæ.

λα'. Διὰ τί γάλα γλυκύτερον τῶν μελάνων προβάτων; Πότερον ὅτι γλυκύτερον, διότι τὸ αἷμα τῶν λευκῶν προβάτων θερμότερον ὂν ἀναλίσκεται τὸ γλυκύ; Ἢ ὅτι παχύτερόν ἐστι (τό?) τῶν μελάνων; Καὶ ἐπὶ τῶν γυναικῶν παχύτερόν ἐστι (τό?) τῶν μελαινῶν, ὅτι καὶ τὸ αἷμα. Λέγομεν οὖν ὅτι τὰ μὲν λευκὰ πέττει διὰ θερμότητα τὴν τροφήν, τὰ δὲ περιττωματικά, οἷον τὰ μέλανα, οὔ· ψυχρότερα γάρ.

31. Cur lac ovium nigrarum dulcius? Utrum quia dulcius, quoniam albarum ovium sanguis, quippe calidior, dulcedinem consumit? An quia crassius est nigrarum lac? Apud mulieres quoque nigrarum lac crassius est, quoniam et sanguis. Dicimus igitur animalia alba propter caliditatem facilius cibum concoquere, redundantiis vero plena, ut nigra, non: frigidiora enim sunt.

λϐ'. Διὰ τί τὰ ἐρίφεια τῶν ἀρνείων βελτίω, καὶ τὰ αἴγεια τῶν προβάτων; Ἢ ὅτι τῶν μὲν προβάτων τὸ γάλα παχὺ καὶ λιπαρόν, τὸ δ' αἴγειον τοὐναντίον;

32. Quamobrem carnes hœdinæ agninis meliores sunt, et caprinæ ovillis? An quia ovium quidem lac crassum et pingue est, caprinum vero contra?

λγ'. Διὰ τί ὕστερα τὰ δυσπεπτότερα προσφέρεται, τὰ δ' εὐπεπτότερα πρῶτον, οἷον κρέα ἰχθύων, καίτοι ἔδει ἀποδιδόναι πλείονα χρόνον τοῖς δυσπέπτοις; Ἢ ὅτι τὸ προπεπεμμένον [δεῖ] ὑπάγεσθαι, ἵνα μὴ ἐμποδίζῃ ἄλληλα;

33. Cur ultima adsumimus concoctu difficiliora, faciliora vero primum, v. g. piscium carnes, etiamsi oporteret plus temporis tribuere concoctu difficilibus? An quia quod primum concoctum est, subduci debet, ne sibi invicem impedimento sint?

λδ'. Διὰ τί αἱ γαστέρες κνισωθεῖσαι ἥδισταί εἰσι τῶν αἰγῶν, καὶ Ὅμηρος (Ὀδ. σ, 44)·

γαστέρες αἵδ' αἰγῶν κέατ' ἐν πυρί;

Ἢ ὅτι κνισωδέστατόν ἐστι τὸ αἴγειον στέαρ; λιπαρώτατον γάρ ἐστιν· διὸ καὶ οἱ ἰατροὶ πρὸς τὰ μαλάγματα αὐτῷ χρῶνται μάλιστα· κνισῶδες δ' ὂν καὶ λιπαρὸν ἄρτυμα γίνεται τῆς κοιλίας· τὰ δ' ἠρτυμένα ἡδίω.

34. Cur ventriculi caprarum sevo repleti suavissimi sunt, Homerusque cecinit:

caprarum ventriculi in igne jacent?

An quia maxime nidorosum est sevum caprinum? pinguissimum namque est: propterea et medici eo inprimis utuntur ad malagmata: nidorosum enim quum sit et pingue, condimentum fit ventriculi: condita autem suaviora sunt.

λε'. Διὰ τί τὸ ἔλαιον οὐ πήγνυται, ἀλλὰ συνίσταται, τὸ δὲ στέαρ πήγνυται; Ὅτι λιπαρώτερόν ἐστι τὸ ἔλαιον τοῦ στέατος. Ἥκιστα οὖν πήγνυται· τὸ δ' ὕειον στέαρ ὑδαρέστερον· ἔχει γὰρ χυμοὺς ἐν αὐτῷ περιττωματικούς· οἱ δὲ τοιοῦτοι εἰκότως [οὐ] πήγνυνται.

35. Cur oleum non coagulatur, sed coit; sevum vero coagulatur? Quia pinguius est oleum sevo. Minime igitur coagulatur; pinguedo vero suilla magis aquosa est: continet enim intra se succos excrementi naturam referentes; hi autem si [non] coagulentur, mirum non est.

λϛ'. Διὰ τί τοῦ σαπέρδου φαύλου μὲν ὄντος ἡ κεφαλὴ σπουδαία ἐστὶ, σπουδαίου δ' ὄντος μοχθηρά; Οὗτος δ' ὁ ἰχθύς ἐστιν ὁ λεγόμενος κορακῖνος.

36. Cur saperdæ quidem pravæ caput præstans est, præstantis vero pravum? Iste autem piscis est quem vocant coracinum.

λζ'. Διὰ τί τὰ ὑπηνέμια ᾠὰ οὐχ ἀποσήπεται, ἄψυχά γε ὄντα, ὥστε ἔδει, ὥσπερ καὶ τὰ ἄλλα μέρη στερισκόμενα ψυχῆς σήπεται, σήπεσθαι καὶ αὐτά; Ἢ ὅτι πηρώματά ἐστι, καὶ οὐχ ὥσπερ νεκρός· σήπεται δ' ἐν οἷς ἐκλείπει ψυχή, ἀλλ' οὐκ ἐν οἷς μηδ' ἐγεννήθη ὅλως;

37. Cur ova hypenemia non putrescunt, etiamsi inanimata sint, ita ut ea quoque putrescere deberent sicut et reliquæ partes, ubi anima privantur? An quia mutilationes sunt, et non quasi cadavera; putrescunt autem partes quibus deficit anima, non quibus haudquaquam ingenita est?

λη'. Ἢ τῶν ᾠῶν τὸ ἕτερον ἄκρον σκληρότερον; Ἢ ὅτι μία ἀρχὴ ἐν παντί, ὥστε καὶ τοῦ ᾠοῦ; Τὸ οὖν ὄστρακον φυλακῆς χάριν, ἡ δὲ φυλακὴ περὶ τὴν ἀρχὴν ἀεὶ τέτακται, κατὰ τὸ ὀξὺ δὲ γίνεται τοῦ ᾠοῦ ὁ νεοσσός, ἐὰν μὴ παραπέσῃ ἐν τῇ γενέσει· ἅπαξ γὰρ ὤφθη.

38. Cur alterum ovorum extremum durius est? An quia omnis res, ac proinde etiam ovum, unicum habet principium? Testa igitur custodiæ causa exstat, custodia autem semper circum principium collocatur; atqui pullus in ovi parte acuta gignitur, nisi per generationem a loco suo aberraverit: semel enim observatum est.

λθ'. Διὰ τί τὰ ᾠὰ κατὰ μῆκος μὲν θλιβόμενα ταῖς χερσὶν οὐ κατάγνυται, ἐγκλινόμενα δέ; Ὅτι κατὰ μῆκος μὲν θλιβόμενα πρὸς ὀρθὴν τῇ χειρὶ κείμενα συμβαίνει θλίβεσθαι, ἡ δ' ὀρθὴ ἄκαμπτος διὰ τὸ ἴσον καὶ τὸ εὐθύ· ἐὰν δ' ἐγκλιθῇ, ἡ ἑτέρα ὀξυτέρα δὲ γίνεται γωνία, ὥστε ταύτῃ ἐνδίδωσιν. Ἢ ὅτι ὁμοίως πάντα θλίβεται τότε; πάντα γὰρ τὰ ἴσον ἀπέχοντα μόρια τοῦ ἀνωτάτω ὅμοια ἀλλήλοις· ἐὰν δ' ἐγκλιθῇ, οὐκέτι πρὸς τοῦτο τὸ σημεῖον ἅπαντα ἔχει ὁμοίως.

39. Cur non rumpuntur ova, ubi manibus secundum longitudinem premantur, rumpuntur vero, ubi declinantur? Quoniam ubi secundum longitudinem quidem premuntur, evenit ut rectum angulum cum manu faciant, dum premuntur, linea autem ad perpendiculum directa flecti nequit propter æqualitatem et rectitudinem; quodsi vero inclinata fuerit, alter angulus fit acutior, ita ut hac parte cedat. An quia tunc omnia æqualiter premuntur? omnia enim quæ æquo intervallo a parte suprema distant, inter se similia sunt; ubi vero inclinatum est, non amplius ad hoc punctum eodem modo se habent omnia.

μ'. Διὰ τί, ἐάν τις σπόγγον ὑπερίσχῃ τῶν ἑψημάτων, ἀφαιρεῖται τὸ ὄξος; Ὥσπερ σικύα ἕλκει ὁ σπόγγος· ὁ γὰρ ἐν τρήμασιν ἀὴρ θερμαινόμενος ἀντὶ πυρὸς γίνεται.

40. Cur, si quis spongiam super sorbitionibus teneat, eximitur acetum ex iis? Ut cucurbitula trahit spongia: aer enim qui foraminibus continetur, incalescens aeris vices habet.

μα'. Διὰ τί, τῶν ᾠῶν ῥηγνυμένων ἐν τῷ ὀπτᾶσθαι, τοῦ κελύφους πρότερον τὸ ὠχρὸν τοῦ λευκοῦ ἔξω; Ἢ ὅτι τὸ μὲν λευκὸν οὐσίᾳ ῥεῖ μᾶλλον ἢ τὸ λευκόν (ὠχρόν?), καίτοι γε μᾶλλον ἐντός ἐστι τὸ ὠχρὸν τοῦ λευκοῦ; διὸ καὶ ὁ νεοσσὸς ἐξ αὐτοῦ γίνεται, τὸ δ' ὠχρὸν καθάπερ τρύξ. Ὥσπερ οὖν ἐν τοῖς οἴνοις ἡ μὲν τρὺξ ἀπαθής ἐστιν, ὁ δ' οἶνος μεταβάλλει ἑκάστοτε καὶ χρώματα καὶ ὀσμήν, οὕτω καὶ τοῦ ᾠοῦ τὸ λευκὸν με-

41. Cur, ova ubi assando rumpuntur, prius e testa exit vitellus quam albumen? An quia albumen substantia sua magis fluit quam vitellus, etiamsi vitellus magis intus positus sit quam albumen? propterea et pullus ex eo gignitur, albumen vero veluti fæx est. Quemadmodum igitur in vino fæx quidem non adficitur, vinum vero perpetuo mutat colorem et odorem, sic et ovi albumen mutationi magis ob-

ταβλητικώτερον τοῦ ὠχροῦ· διὸ καὶ τὸ πυρούμενον στερεὸν γίνεται, καὶ ἐπῳαζόμενον. Ἀλλὰ καὶ ἐάν τις ᾠὸν τρυπῇ, [τὸ ᾠὸν] τὸ λευκὸν ἐκχεῖται, τὸ δὲ πυρρὸν ὑπομένει διὰ τὸ τὸ μὲν λευκὸν ἔνυγρον σῶμα εἶναι, τὸ δὲ καθάπερ ἐπιπεπασμένον ἔοικεν.

noxium est quam vitellus: hinc et igni expositum, vel incubatum solidescit. Verum si quis ovum perforat, albumen effunditur, vitellus vero remanet, quia albumen quidem liquidum est corpus, vitellus vero quasi inspersus esse videtur.

μβ'. Διὰ τί τῶν ἀγγείων οἱ πυθμένες θερμαινομένου τοῦ ὕδατος, ἕως ἂν ᾖ ψυχρὸν τὸ ὕδωρ, θερμότεροί εἰσιν· ἐπὰν δὲ ζέῃ, ψυχρότεροι γίνονται; Ἢ ὅτι ψυχροῦ μὲν ἔτι ὄντος τοῦ ὕδατος, ἐγκαταχλείεται τὸ θερμὸν καὶ ἀντιπεριίσταται εἴσω κωλυόμενον ἐξιέναι· ὅταν δὲ διαθερμανθῇ τὸ ἐνὸν ὕδωρ, οὐκέτι ἀποστέγοντος, ἀλλὰ διαπνέοντος καὶ ἐλάττονος γενομένου τοῦ πυρός, ψυχρότερος γίνεται ὁ πυθμὴν ὁμοίως ὥσπερ καὶ τὰ βαλανεῖα χειμῶνος θερμότερα ἢ τοῦ θέρους;

42. Cur, ubi calefit aqua, vasorum fundi, donec frigida est aqua, calidiores sunt; fervente vero ea, frigidiores fiunt? An quia, dum frigida adhuc est aqua, intus includitur et undique circumsistitur calor, exitusque ei denegatur; ubi vero penitus incaluit aqua quæ intus est, quum ignis non amplius cohibeatur, sed difflet ac diminuatur, frigidior fit fundus, eodem modo quo et balnea hyeme calidiora sunt quam æstate?

μγ'. Διὰ τί τὸ ἑφθὸν ὀπτᾶν οὐ νόμος, ὀπτὸν δὲ ἕψειν νόμος; Πότερον δὲ διὰ τὰ λεγόμενα ἐν τῇ τελετῇ, Ἢ ὅτι ὕστερον ἔμαθον ἑφθὰ ἢ ὀπτά; τὸ γὰρ ἀρχαῖον ὤπτων πάντα. Ἐπανιέναι γοῦν ἐγίνετο τὸ ἑφθὸν καὶ ὀπτᾶν· διὸ ἀπεδοκίμασαν· τὸ δ' ὀπτὸν ἑφέψειν οὐχ ἐκώλυσαν. Ἢ ὅτι βελτίω ἑψηθέντα; ξηρότερα γὰρ τὰ ἑφθὰ τῶν ὀπτῶν· ἐὰν δ' ὀπτὰ ὄντα, καὶ ἔτι μᾶλλον.

43. Cur coctà assare in more non est, assa vero coquere solent? Utrum ob ea quæ in mysteriis dicunt? An quia serius cognoverunt cocta quam assa? antiquitus enim assabant omnia. Reversio itaque fieret, si cocta postmodum assarent: propterea hoc rejecerunt: assa vero postea coquere non vetuerunt. An quia meliora sunt cocta? sicciora enim sunt quam assa, idque etiam magis, ubi antea assata fuerint.

μδ'. Διὰ τί οἱ Θρᾷκες σολοικίζουσιν ἀπογηράσκοντες; Ἢ διὰ τὸ τὰ μὲν κατὰ φύσιν ἅπαντα ῥᾴδιον εἶναι ποιεῖν, τὰ δὲ παρὰ φύσιν χαλεπόν· κἂν δυναμένῳ δή, εἴ τι μέλλει τις ποιῆσαι τῶν παρὰ φύσιν; Ἡ μὲν οὖν οἰκεία διάλεκτος ὥσπερ φύσει αὐτοῖς γίνεται· ἡ δ' ὑστέρα παρὰ φύσιν· διὸ καὶ καταφέρονται εἰς τὴν πρώτην διάλεκτον, γηράσκοντές τε καὶ οἰνούμενοι.

44. Quamobrem Thraces solœcismos faciunt senescentes? An quia naturalia quidem omnia factu facilia sunt, quæ vero præter naturam difficilia, vel ei qui facere potest, si quis aliquid præter naturam facturus est? Propria igitur loquela quasi naturaliter iis fit; posterior vero præter naturam est: propterea deferuntur etiam ad priorem loquelam senescentes ac temulenti.

με'. Διὰ τί ἡ Ὑρκανία λίμνη πότιμος οὖσα πλύνει καὶ ῥύπτει τὰ ἱμάτια; Πλύνει μὲν τῷ γλυκεῖ, ῥύπτει δὲ τῷ πικρῷ· ἅμα δ' οὐχ οἱ.....

45. Cur lacus Hyrcanius, etiamsi potui idoneus sit, lavat et detergit vestes? Lavat quidem dulcedine, detergit vero amaritudine; simul vero non.....

μς' Διὰ τί τὰ τῶν ἀετῶν πτερὰ ἄλλοις ἐπιτιθέμενα φθορὰν ἐμποιεῖ; Ὅτι σηπεδόνος τινὸς μετέχουσι φυσικῆς· δυσωδέστατον γὰρ πτηνῶν ἁπάντων ὁ ἀετός· ὅθεν οὐδὲ τῆς ἑαυτοῦ χθιζῆς θήρας τὰ λείψανα ἐπῆλθέ ποτε.

46. Cur aquilarum alæ aliis impositæ perniciem adferunt? Quia putredinis cujusdam naturalis participes sunt: omnium enim avium pessime olet aquila: unde ne hesternæ quidem venationis suæ reliquias tangit umquam.

μζ'. Διὰ τί τὸ ἔλαιον τῇ θαλάσσῃ ἐπιρραινόμενον γαλήνην ποιεῖ; Ὅτι γλίσχρον ὂν καὶ ὑγρὸν διολισθαίνειν ποιεῖ τὰ κύματα πρὸς ἑαυτὰ καὶ ἐνδιδόναι τῆς οἰκείας ὁρμῆς καὶ φορᾶς.

47. Cur oleum mari irrigatum tranquillitatem facit? Quia, quum glutinosum et humidum sit, efficit ut fluctus in se ipsos dilabantur et remittant impetum suum ac motum.

μη'. Διὰ τί ὁ ἄνεμος ἐν ἀρχῇ ἀμυδρὸν πνεῖ, προκόπτων δὲ καὶ ἐπ' ἄλλην γῆν φερόμενος σφοδρότερος γίνεται; Διὰ τὸ συγκαταμίγνυσθαι αὐτῷ ἄλλας ἀναθυμιάσεις ἐξ ὧν διέρχεται μερῶν.

48. Cur ventus initio leviter flat, progrediens autem et ad aliam regionem delatus vehementior fit? Quia ei admiscentur aliæ exhalationes e locis quæ percurrit.

μθ'. Πόθεν δῆλον ὅτι ὅσον παχύτατόν ἐστι τὸ ὕδωρ, τοσοῦτόν ἐστι καὶ ἁλμυρώτατον; Φασὶν ὡς ἡ ἐν Παλαιστίνῃ νεκρὰ θάλασσα παχυτάτη οὖσα, ἁλμυρωτάτη πάντων ἐστὶν ὑδάτων. Καὶ πόθεν δῆλον ὅτι παχυτάτη ἐστίν; Εἰ γάρ τις ἄνθρωπον, ἢ ζῷον ἕτερον, καταδήσας ἐμβάλῃ εἰς τὸ τῆς νεκρᾶς θαλάσσης ὕδωρ, ἀνωθεῖται ὑπὸ τοῦ ὕδατος, καὶ οὐ γίνεται ὑποβρύχιον διὰ τὸ εἶναι παχὺ πάνυ καὶ βαστάζειν τὸ ἐμπεσόν. Καὶ

49. Unde patet, aquam, quo crassior, eo et salsiorem esse? Ferunt, mare Mortuum in Palæstina situm, quod crassissimum est, omnium aquarum salsissimam esse. Unde porro constat, hanc aquam crassissimam esse? Si quis enim hominem, vel animal aliud, vinctum injiciat in maris Mortui aquam, sursum pellitur ab aqua, neque subsidit, quia crassa est et rem illapsam

πόθεν δῆλον ὅτι ἁλμυρώτατόν ἐστιν; Ἐπειδὴ ῥυπτικόν ἐστι παντὸς ῥύπου· σμήχει γὰρ τὸν ῥύπον, εἴπερ ἄλλο τι σμῆγμα, τὸ δὲ ῥύπτειν ἄκρας ἐστὶν ἁλμυρότητος· ἰδοὺ γάρ· ἅλες μὲν καὶ αὐτοὶ ῥύπτουσι, νίτρον δὲ πλέον, ὥσπερ ἐπιτεταμένην ἔχον τὴν ἁλμυρότητα ἤπερ οἱ ἅλες.

sustinet. Atque unde patet eam salsissimam esse? Quum quasvis sordes detergere valet: detergit enim sordes, si quid aliud smegma: summæ enim salsitudinis proprium est ut detergat: ecce enim: sal quidem et ipsum detergit; nitrum vero magis, utpote intensiori præditum salsugine quam sal.

ν'. Διὰ τί οἱ νηστεύοντες διψῶσι μᾶλλον ἢ πεινῶσιν; Διψῶμεν δὲ μᾶλλον, ὅταν νηστεύωμεν, ἢ πεινῶμεν, διότι τὸ ἐν ἡμῖν θερμὸν πρῶτον μὲν καταβόσκεται τὸ ἐν τῷ σώματι ὑγρόν, ὅπερ ἀπὸ τῶν ὑπολειμμάτων τῆς ἐν τῷ σώματι τροφῆς περισσεύει, εἶτα ἐπ' αὐτὴν βαδίζει τὴν σύμφυτον λιβάδα τῆς σαρκὸς ἡ ἐν ἡμῖν πύρωσις, τὸ νοτερὸν διώκουσα καὶ τὸ δίυγρον. Γενομένης οὖν ὥσπερ ἐν πολλῇ ξηρότητι, ποτοῦ δεῖσθαι μᾶλλον τὸ σῶμα πέφυκεν. Ἄχρις οὖν πινόντων ἀναρρωσθὲν καὶ ἰσχύσαν τὸ θερμόν, ὥσπερ ἀμέλει βλέπομεν ἔξω, μήτε ἀέρα, μήτε ὕδωρ, μήτε γῆν ἐφιέμεθα τρέφεσθαι, μήτ' ἀναλίσκοντα τὸ πλησιάζον, ἀλλὰ μόνον τὸ πῦρ. Διὰ ταῦτα καὶ οἱ γέροντες ῥᾷστα νηστείαν φέρουσιν· ἀμβλὺ γὰρ αὐτοῖς καὶ μικρὸν ἤδη τὸ θερμόν ἐστιν. Καὶ τὰ ἄναιμα δὲ τῶν ζῴων τροφῆς ἥκιστα προσδεῖται δι' ἔνδειαν θερμότητος.

50. Cur jejuni magis sitiunt quam fame adficiuntur? Sitimus autem magis quam fame adficimur jejuni, quia calor noster internus primum quidem depascit humorem qui corpore continetur, qui e reliquiis alimenti corpori ingesti restat, dein ipsum invadit carnis liquorem proprium internum nostrum incendium, humorem ac liquorem persequens. Quum igitur quasi in conditione admodum sicca versatur, suapte natura magis potu indiget corpus. Donec igitur bibentibus nobis restauratus est ac viget calor, sicut fere et foris videmus, nec aerem, nec aquam, nec terram cupimus nutriri, quippe quæ non consumunt res adcedentes, sed unum ignem. Propterea et senes facillime jejunium ferunt: hebes enim apud eos et exiguus jam est calor. Animalia etiam sanguine carentia alimento minime egent propter caloris defectum.

να'. Διὰ τί οἱ πεινῶντες, ἐὰν πίνωσι, παύονται, διψῶντες δὲ ἐὰν φάγωσιν, ἐπιτείνονται; Ἡ δίψα τοῖς φαγοῦσιν ἐπιτείνεται, διότι τὰ εἰσερχόμενα σιτία τῇ γαστρὶ τὸ διεσπαρμένον ὑγρὸν καὶ ἀπολειπόμενον ἀσθενὲς καὶ ὀλίγον ἐν τῷ σώματι σύλλεγουσι καὶ προεξικμάζουσι, διότι ἡ ὑγρότης τὰ ὑπιόντα σιτία βρέξασα καὶ διαχέασα, χυμῶν ἐγγενομένων, καὶ ἀτμὸν ἀναφέρει τοῦτον εἰς τὸ σῶμα καὶ προστίθησι τοῖς δεομένοις· ἐνδύνει μὲν γὰρ ἔσωθεν ἡ ὑγρότης εὐχυμότητα ποιοῦσα καὶ τροφιμότητα καὶ τὸ χαλᾶσθαι τὰ ἐντός, ὥστε τῆς πείνης τὸ σφόδρα πικρὸν καὶ θηριῶδες ἐνδιδόναι καὶ παρεῖσθαι, ὥστε καὶ πολὺν χρόνον ζῶσιν ἔνιοι γοῦν ὕδωρ μόνον λαμβάνοντες, ἄχρις οὗ πᾶν ἐκκαμφθῇ τὸ τρέφον καὶ ποτίζεσθαι δυνάμενον.

51. Cur famelici, si bibant, fami finem imponunt, sitientium vero, ubi edunt, sitis intenditur? Sitis edentibus intenditur, quia cibi ventriculum intrantes humorem dispersum ac relictum, etiamsi debilis ac parcus in corpore adsit, colligunt ac cito exhauriunt, quoniam humor cibos subeuntes humectans ac diffundens, ubi succi adcesserint, hunc vaporem evehit ad corpus et partibus eo indigentibus adponit: subit enim intrinsecus humor bonum saporem faciens ac facultatem nutriendi laxandique partes interiores, ita ut immodica ac ferina famis acerbitas cedat ac remittatur: hinc etiam nonnulli certe multum temporis vivunt, nil nisi aquam adsumentes, donec omne quod nutrit ac propinari potest, deflexum sit.

νβ'. Εἰ ἀληθῶς καταβασκαίνεσθαί τινας καὶ μαραίνεσθαι ὑπὸ τῶν ὁρώντων, ἤτοι διδόναι ἀπ' ὥρας*; Οὐ ψεῦδός ἐστι τὸ καταβασκαίνεσθαί τινας καὶ μαραίνεσθαι ὑπὸ τῆς τῶν ὁρώντων ὄψεως· πολυκίνητος γὰρ ἡ ὄψις οὖσα, μετὰ πνεύματος αὐτὴν ἀφιέντων πυρώδους, θαυμαστήν τινα διασπείρει δύναμιν, ὥστε πολλὰ καὶ πάσχειν καὶ ποιεῖν δι' αὐτῆς τὸν ἄνθρωπον· τὸ γὰρ διὰ τῶν ὀμμάτων ἐκπῖπτον, εἴτε φῶς, εἴτε ῥεῦμα, τοὺς ὁρῶντας ἐκτήκει καὶ ἀπόλλυσιν.

52. An revera nonnullos fascinari a conspicientibus, an.....? Mendacium non est, nonnullos fascinari et tabescere a conspicantium intuitu: quum enim visus mobilissimus sit, ubi cum spiritu igneo eum emittunt, miram quandam dispergit facultatem, ita ut per eam multa patiatur ac faciat homo: nam quod per oculos elabitur, sive lumen sit, sive fluxio, videntes colliquat ac interficit.

53. Cur fatigatio prius quotidianam quam accessionem faciet: ethicam febrem? Propter accommodationis, inquam, præceptionem: habuit enim naturalem spiritum humoresque nequaquam supervacaneos; solida autem aridissima ac ad eam perficiendam accommodatiora.

54. Cur solis æstus aliis quidem somnum adducit, aliis autem non? Quia alii quidem pituita in capite fuit plurima, et ea diffusa cerebrum humectavit somnumque attulit; alii vero quod aridum caput fuerit, impensius exiccans ad experectionem commovit.

ΚΑΣΣΙΟΥ ΠΡΟΒΛΗΜΑ ΚΖ*.

Διὰ τί ἡ τοῦ κερατοειδοῦς λεγομένου χιτῶνος, ὃς μόνος σκέπει τὴν κόραν, λευκοῦ ὑπάρχοντος, καὶ τῶν ὑποκειμένων οὐκ ὄντων μελάνων τῇ φύσει, ἡ κόρα μέλαινα φαίνεται; Καὶ οἱ μὲν τῷ πλήθει τοῦ ὑγροῦ ἀνατιθέασι τὴν αἰτίαν, ὡσὰν πολλοῦ ὄντος τοῦ ὑποκειμένου ὑγροῦ, καὶ ἀεὶ ἐν τῇ διαδύσει τῶν ἐξ ἡλίου προσπιπτουσῶν ἀκτίνων ἀτονουσῶν καὶ μὴ δυναμένων διὰ τοῦτο καταλαμβάνειν τὸ ὑποκείμενον ὡς ἔχει φύσεως, ἀλλ' ἀντιλαμβανομένων ὡς μέλανος τοῦ ὑποκειμένου· μέλαν γάρ φασι φαίνεσθαι τὸ βαθὺ ὕδωρ. Ἐλέγχονται δὲ οὗτοι οὐ συγχωρουμένου εὐθέως τοῦ εἶναι πλῆθος τὸ ὑποκείμενον ὑγρόν· ὀλίγον γὰρ τοῦτο

CASSII PROBLEMA XXVII*.

Quamobrem quum tunica cornea dicta, quæ sola obtegit pupillam, alba sit, partesque ei subjectæ natura non sint nigræ, tamen nigra videtur pupilla? Atque alii quidem humoris copiæ causam tribuunt, perinde ac si multus esset humor subjectus, ac radii e sole incidentes semper transeundo languerent, nec umquam deprehendere valerent hanc ob causam, quænam esset natura rei subjectæ, sed rem subjectam perciperent, quasi nigra esset: nigram enim videri dicunt aquam profundam. Refutantur autem hi, si non concedatur confestim, subjectum humorem copiosum esse: parcus enim est ac ab alüs rebus

καὶ περιγραφῇ ὑπάρχων τυγχάνει. Ἕτεροι δέ φασιν ὅτι τοῦτο δοκεῖ γίνεσθαι κατ' εὐθὺ τοῦ ὀφθαλμοῦ στενοῦ πόρου ὑπάρχοντος καὶ ἀεὶ εἰς στενὸν λήγοντος διὰ τὸ διαβαίνοντα μέχρι βάσεως ἐγκεφάλου ἀεὶ στενοῦσθαι, καὶ τὰς προσπιπτούσας ἀκτῖνας συστέλλεσθαι, οἱονεὶ πειρωμένας τὸ βάθος τοῦ ὑποκειμένου πόρου κατοπτεύειν, καὶ οὕτω τῆς συστολῆς γινομένης τῶν ἀκτίνων διὰ τὴν στενότητα, συμβαίνει μέλαν τὸ ὑποκείμενον φαίνεσθαι, καὶ ὑποδείγματι χρῶνται τῷ ἐκ συρίγγων· φασὶ γὰρ ὅτι ὥσπερ ἐπὶ τούτων [ὁ] ἐμπεριεχόμενος ἀὴρ φαίνεται σκοτεινός, οὐ μόνον διὰ τὸ μῆκος τῆς σύριγγος, ἀλλὰ καὶ διὰ τὴν στενότητα μάλιστα, οὕτω κἀπὶ τῆς κόρας ἔχει, τοῦ ὑποκειμένου κατ' εὐθὺ τοῦ τρήματος πόρου στενοῦ ὑπάρχοντος. Δείκνυται δὲ τοῦτο ψεῦδος ἀπὸ τοῦ ἐπὶ τῶν νεκρῶν, συμπίπτοντος τοῦ εἰρημένου πόρου, ὁμοίαν κατὰ τὸ χρῶμα ὑποπίπτειν τὴν κόραν· τοῦτο γὰρ τετήρηται ὅτι ἐπὶ μὲν ἐμψύχων ἐν διαστάσει ἐστὶν ὁ εἰρημένος πόρος, καὶ τοῦτο κατελήφθη ἐκ τῶν προσφάτως ἀνατμηθέντων καὶ ἔτι οἱονεὶ ἐμπλεόντων ἐπὶ τῶν νεκρῶν, οὐχ ὅτι τῶν προσφάτων τελευτησάντων, ἀλλὰ τῶν ἤδη ἐχόντων σύμμετρον χρόνον, ὅτι ἐν συμπτώματι γίνεται ὁ πόρος. Ἤδη ἦν μὲν στενότης ἡ ἐν τῇ διαστάσει τοῦ πόρου αἰτία τοῦ φαίνεσθαι μελαίνην ταύτην ἐπὶ τῶν ζώντων, ἐχρῆν ἐπὶ δὲ τῶν τελευτησάντων, συμπτώσεως γενομένης, λευκὸν φαίνεσθαι τοῦτο τὸ μέρος. Ἕτεροι δ' αἰτίαν φασὶ τὴν ἀνταύγειαν τοῦ ῥαγοειδοῦς καὶ τὴν ἀντανάκλασιν· μέλας γὰρ οὗτος ὑπάρχων ἐπισκιάζει τὸ κρυσταλλοειδές, καὶ τῆς αὐτοῦ ἐπισκιάσεως γίνεται ἡ ἀντανάκλασις ἐκ τοῦ γινομένου ὑγροῦ εἰς τὰς ἡμετέρας ὄψεις μέλαινα ὑπάρχουσα, καὶ οὕτως ἡμῖν φαντασία παρέχεται, ὡς οὔσης μελαίνης τῆς κόρας. Τούτοις δὲ καὶ Σωρανὸς συγκατατίθεται, ὡς γνῶναι ἔστιν ἐκ τοῦ Ὀφθαλμοῦ. Τοιαύτη μὲν καὶ διὰ τῶν τὴν ἀνταύγειαν λεγόντων δόξα· οὐ πάνυ δὲ καλῶς ἑρμηνεύεται, τί ποτ' ἐστὶν ἡ ἀνταύγεια. Γίνεται δὲ αὕτη ἢ καθ' ὑπόστασιν, ἢ ἔμφασιν· καθ' ἑκάτερον δὲ τούτων ἀκολουθείτω ἡμῖν ὑγιὲς τὸ λέγειν αἰτίαν τὴν ἀνταυγειαν, οιον ἐπινοήσωμεν οἶκον πανταχόθεν περιεστεγασμένον, μικρὸν οὖν τι τρῆμα λίαν ἐξ ἑνὸς τοίχου, ὥστε δύνασθαι διὰ ταύτης εἰσβάλλειν τὴν ἀκτῖνα τοῦ ἡλίου. Εὔδηλον ὅτι ἡ μὲν σκιὰ πᾶσα ἐκεῖσε καθ' ὑπόστασιν· αὕτη γὰρ οὐκ ἀφανίζει τὸ περὶ τὴν εἰσβάλλουσαν ἀκτῖνα λαμπρόν, ἀλλὰ κἂν ᾖ λεπτή τις ἐμπεσοῦσα ἀκτίς, μὲν ἔχουσα * τὸ φαιδρόν. Εἰ τοίνυν καὶ ἐπὶ τοῦ ὀφθαλμοῦ τῆς ἐπισκιάσεως αἴτιος γίνεται ὁ ῥαγοειδής, οὗτος δ' οὐ πάντῃ ἐστὶ συνεχής, ἀλλ' ἔχει τινὰ τρῆσιν, ὡς ἔφαμεν, ἐν τῷ μέσῳ τοῦ ὀφθαλμοῦ, ἐχρῆν κἂν δι' ἐκείνης τῆς τρήσεως λευκὸν ὑποπίπτειν τὸ ὑγρὸν καὶ οἷόν ἐστιν, ὥστε τὴν ἐπίκλασιν αἰτίαν εἶναι τοῦ οὕτως ἡμῖν φαίνεσθαι τὴν κόραν, οἷον τὴν ἐκπεπορευμένην ἀφ' ἡμῶν ἀπόρροιαν τοῦ ὀφθαλμοῦ, καὶ πάλιν ἀνακλωμένην, καὶ προσπίπτουσαν τῇ ἡμετέρᾳ ὄψει κατὰ μέλαν, καὶ οὕτως ἡμᾶς εἰς φαντασίαν ἄγουσαν ὥστε οἴεσθαι μέλαιναν εἶναι τὴν κόραν. Ῥητέον ὅτι εἰ ἡ τῶν ἀπορροιῶν ἀντανάκλασις τούτου διὰ ταύτην τὴν αἰτίαν γίνεται, ἐχρῆν τὰς ἀπορροίας ταῖς ὄψεσι τὰς περιπιπτούσας τῷ μέρει ἐκείνῳ καθ' ὃ ἡ κόρα ὑπόκειται, καταλαμβάνειν λευκότερον τὸ μέρος ἐκεῖνο διὰ τὸ εἶναι λευκὰ τὰ ὑποκείμενα ὑγρὰ καὶ τὸν περιέχοντα χιτῶνα, ὁμοίως δὲ καὶ ἐν τῇ ἀνακλάσει τὰς κατὰ τὴν ἀνάκλασιν προσπιπτούσας ἀπορροίας τῇ ἡμετέρᾳ κόρᾳ καταλαμβάνειν αὐτὴν ὁμοίως λευκοτέραν. Μᾶλλον οὖν πιθανὸν δοκεῖ τὸ τῇ ἐξαλλαγῇ τῶν ὑποκειμένων ὑγρῶν ἀνατιθέναι τὴν αἰτίαν, καὶ τῇ τούτων ἐπισυνθέσει, συνεργουμένης καὶ τῆς στενότητος τοῦ πόρου εἰς τοῦτο, οἷον εἰ καὶ δοκεῖ εἶναι ἕκαστον τῶν ὑγρῶν διαυγές, ὅμως [ἐκ τῆς] ἐπ' ἄλληλα συνθέσεως αὐτῶν ἀμαυροῦται τὸ διαυγές, οἷον τὰ

circumscribitur. Alii vero dicunt, hoc ideo fieri videri, quia e regione oculi reperitur meatus angustus qui semper in angustum spatium exit, quum ad cerebri fundum penetrans semper angustatur, radiique incidentes contrahuntur, quasi conantes profunditatem subjecti meatus perspicere, atque sic, propter angustiam contractis radiis evenit, ut spatium subjectum nigrum videatur, atque utuntur exemplo a fistulis desumpto: dicunt namque, quemadmodum aer qui fistulis continetur, tenebricosus videtur, non solum propter fistulæ longitudinem, sed et maxime propter angustiam, sic et circa pupillam rem sese habere, quum meatus e regione foraminis situs angustus sit. Demonstratur hoc mendacium esse eo quod apud mortuos, concidente supradicto meatu, simili colore obcurrit pupilla: observatum enim est, apud vivos hunc meatum distentum esse, idque deprehenderunt in corporibus recens dissectis ac quasi adhuc inter mortuos fluitantibus; in iis vero quæ non recens mortua erant, sed jam modicum temporis spatium transegerant, meatum concidisse deprehenderunt. Quodsi jam angustia meatus, dum distenditur, causa esset, cur nigra videretur pupilla apud vivos, deberet apud mortuos, facto collapsu, alba videri hæc pars. Alii vero causam esse dicunt relucentiam membranæ uveæ ac repercussionem: quum enim hæcce nigra sit, obfuscat humorem crystallinum, atque hujus humoris obfuscati repercussio quæ nigra est, fit a dicto humore ad oculos nostros, atque ita nobis subpeditat imaginem ac si pupilla nigra esset. Cum his etiam consentit Soranus, sicut animadvertere licet ex *Oculo*. Hujusmodi itaque opinio subpeditatur ab iis qui relucentiam causam esse, dicunt; non admodum clare tamen traditur, quid tandem sit relucentia. Fit autem hæc aut substramine, aut adparentia, atque utroque hoc modo nobis rationi consentaneum esse deberet, si diceremus adparentiam esse causam: cogitemus e. g. cubiculum undique clausum, foramen vero quoddam admodum parvum esse in uno pariete, ita ut per id intrare valeat radius solis. Manifestum est, omnem umbram ibi exstare substramine: hæc enim non e conspectu tollit splendorem radium ingressum circumdantem, sed etiamsi tenuis aliquis radius inciderit, splendorem habet. Quodsi igitur in oculo quoque obfuscationis causa fiat tunica uvea, istaque non ubique sibi continua sit, sed habeat, ut supra dicebamus, in medio oculo aliquod foramen, deberet vel per illud foramen humor obcurrere albus et talis qualis revera est, ita ut repercussio causa non sit, cur ita nobis adpareat pupilla, nempe effluvium e nostris oculis egressum, rursusque repercussum atque nostro intuitui nigro colore tinctum obcurrens ac ita nos ad imaginationem deducens ut putemus nigram esse pupillam. Dicendum, quodsi effluviorum hujus repercussio propter hanc causam fieret, effluvia oculis obcurrentia ea parte qua pupilla subjacet, deberent albidiorem deprehendere eam partem, quia subjacentes humores et circumdans tunica albi sunt, ac similiter in repercussione effluvia repercussione nostræ pupillæ incidentes deberent eodem modo deprehendere eam albidiorem. Veri itaque similior videtur opinio quæ subjacentium humorum discrimini atque superpositioni causam tribuit, aliquid etiam huc conferente meatus angustia: nimirum etiamsi unusquisque humor pellucidus esse videatur, tamen eorum mutua superimpositione hebetatur pelluciditas:

διαυγῆ φασι μὴ ἔχειν χρῶμα, ὥσπερ ὕελον καὶ τὰς ἐκ τῶν κεράτων κτηδόνας, καὶ ὅσα τοιαῦτα. Ταῦτα δ' οὐ παντάπασίν ἐστιν ἄχροα, ἀλλ' ἔχει χρῶμα, ἀμαυρὸν μέν, ὅμως ἔχει, καὶ πολλάκις ἐκ τῆς ἐπ' ἄλληλα συνθέσεως ἀμαυροῦται τὸ διαυγές, ὥσπερ ἔστιν ἰδεῖν ἐπὶ τῶν λεπτῶν ἄγαν ὑμένων καὶ διαυγῶν· εἰ γάρ τις τούτους συνθείη ἐπ' ἀλλήλους, ἀμαυροῦται ἡ διαύγεια αὐτῶν. Οὕτω καὶ ἐπὶ τῶν ὀφθαλμῶν διάφορα ὄντα τὰ ὑγρὰ καὶ διαυγῆ ἀμαυροῦται τὸ διαυγὲς αὐτῶν ἐκ τῆς συνθέσεως. Συνεργεῖ δὲ καί, ὡς ἔφαμεν, ἡ στενότης· διὰ γὰρ τοῦτο ὥσπερ συστέλλειν τὸ πνεῦμα τὸ ὁρατικὸν ἀναγκαζόμεθα, ὥστ' ἐπιβάλλειν τῷ ὑποκειμένῳ· τοῦτο γὰρ πάσχομεν, ἐπειδὰν μάλιστα μικρόν τι, ἢ στενὸν κατιδεῖν βουληθῶμεν. Εἰ δὲ λευκὸν μέν ἐστι τὸ διακριτικὸν ὄψεως, μέλαν δὲ τὸ συγκριτικὸν ὄψεως, εὔδηλον ὅτι συγχύσεως καὶ οἱονεὶ συγκρίσεως γινομένης ἐκ τῆς περὶ τὸ πνεῦμα στενότητος συμβαίνει μέλαν φαίνεσθαι τὸ ὑποκείμενον.

sic pellucida colore carere dicunt, ut vitrum, cornuum filamenta et quæcumque alia hujusmodi. Hæc vero non omnino colore carent, sed habent colorem debilem quidem, attamen habent, ac sæpe ex eorum mutua superimpositione hebetatur pelluciditas, quemadmodum videre licet in membranis admodum tenuibus ac pellucidis: si quis enim eas sibi invicem superimposuerit, hebetatur earum pelluciditas. Sic et in oculis, quum varii adsint humores pellucidi, hebetatur eorum pelluciditas superimpositione; confert vero huc etiam aliquid, ut supra diximus, angustia: hanc enim ob causam quasi contrahere cogimur spiritum visui destinatum, ita ut incidat in rem subjectam: nam id nobis evenit inprimis, ubi rem aliquam parvam, aut angustam spectare volumus. Quodsi autem album id est quod visum discernere, nigrum vero quod stipare valet, manifesto eveniet ut, confusione ac quasi commixtione facta propter angustiam spiritum cingentem, nigra adpareat res subjecta.

FRAGMENTA

ARISTOTELIS

PARISIIS. — EXCUDEBANT FIRMIN DIDOT FRATRES, VIA JACOB, 56.

FRAGMENTA

ARISTOTELIS

COLLEGIT DISPOSUIT ILLUSTRAVIT

ÆMILIUS HEITZ

IN GYMNASIO ARGENTORATENSI LITT. ANT. PROFESSOR





PARISIIS

EDITORE AMBROSIO FIRMIN DIDOT

INSTITUTI FRANCIÆ TYPOGRAPHO

VIA JACOB, 56

M DCCC LXIX

DE INDICIBUS LIBRORUM ARISTOTELIS

EORUMQUE AUCTORITATE.

Quum tria sint omnino testimoniorum genera, e quibus deperditorum Aristotelis scriptorum notitiam haurire liceat, quæ de his apud ipsum philosophum leguntur, tabulæ deinde librorum qui in antiquitate sub Aristotelis nomine perferebantur, postremo varia e deperditis libris ejus fragmenta, per occasionem ab antiquis scriptoribus allata, quæstionem a tabulis incipiendam duximus, quas primum integras apponemus, de singularum ætate, rationibus, auctoritate, quam brevissime disputaturi.

Inter hosce vero indices ut antiquissimum, ita et longe præstantissimum eum esse quem Diogenes Laertius in vita philosophi exscripsit, neminem fugere poterit. Causam ob quam hunc integrum apposuerit, illis tantum omissis libris de quibus ambigeretur (cf. V, 34 : Δῆλον ἐκ τῶν προγεγραμμένων συγγραμμάτων, ἃ τὸν ἀριθμὸν ἐγγὺς ἥκει τῶν τετρακοσίων, τά ὅσα γε ἀναμφίλεκτα), ipse hisce declaravit verbis V, 21 : Συνέγραψε δὲ (ὁ Ἀριστοτέλης) πάμπλειστα βιβλία, ἅπερ ἀκόλουθον ἡγησάμην ὑπογράψαι διὰ τὴν περὶ πάντας λόγους τἀνδρὸς ἀρετήν. Sed si dignus est, qui ob talem curam jure laudetur Diogenes, melius etiam de nobis mériturus fuisset, si singula librorum genera, quod alias facere consuevit, inter se distinxisset. Quod tamen quum a primo conditore hujus tabulæ factum esse, satis manifesta demonstrent indicia, ordinem quem ille in recensendis singulorum librorum titulis observaverit, quoad conjiciendo licet, indicare conati sumus, eadem usi distributione quam plane similes apud Diogenem Laertium (cf. V, 80, 86) indices præbent. Numeri deinde singulis titulis appositi eorum seriem in altero, qui Anonymi vocatur, indice declarant ut facilius inde perspiciatur quid utrique peculiare sit. Asterisco autem ita usi sumus, ut semel additus illos designaret titulos, quorum mentio alibi quoque occurrit, repetitus vero, qui ad superstites philosophi libros pertinere videntur; inter cancellos vero positus asteriscus (*) tales indicat libros, e quibus etsi non nominantur, fragmenta tamen fortasse servata sunt. Duplicem denique cancellis inclusum (**) illis apposuimus titulis, de quibus minus certum est, an ad superstites libros referri debeant.

In scribendis Diogenis Laertii verbis secuti sumus recensionem, quam post Cobetum, ex antiquissimorum codd. Laur., Marc., aliorumque recentiorum collatione instituit Rosius. Cf. ejus *Aristoteles Pseudepigraphus*. Lips. 1863, p. 11.

(ΔΙΑΛΟΓΟΙ ΚΑΙ ΠΑΡΑΙΝΕΣΕΙΣ.)

* Περὶ Δικαιοσύνης, α′, β′, γ′, δ′. (1)
* Περὶ Ποιητῶν, α′, β′, γ′. (2)
* Περὶ Φιλοσοφίας, α′, β′, γ′. (3)
(*) Πολιτικοῦ α′, β′. (4)
5 * Περὶ Ῥητορικῆς ἢ Γρύλλος, α′. (5)
(*) Νήρινθος, α′. (6)
* Σοφιστής, α′. (8)
Μενέξενος, α′. (10)
* Ἐρωτικὸς, α′. (12)
10 * Συμπόσιον, α′.
(*) Περὶ Πλούτου, α′. (7)
* Προτρεπτικὸς, α′. (11)

(DIALOGI ET EXHORTATIONES.)

De Justitia, I, II, III, IV.
De Poetis, I, II, III.
De Philosophia, I, II, III.
Politici I, II.
5 De Rhetorica sive Gryllus, I.
Nerinthus, I.
Sophista, I.
Menexenus, I.
Amatorius, I.
10 Convivium, I.
De Divitiis, I.
Cohortatorius, I.

* Περὶ Ψυχῆς, α΄. (13)
* Περὶ Εὐχῆς, α΄. (9)
15 * Περὶ Εὐγενείας, α΄. (11)
Περὶ Ἡδονῆς, α΄. (15)
* Ἀλέξανδρος ἢ ὑπὲρ Ἀποίκων, α΄. ([illegible]1)
* Περὶ Βασιλείας, α΄. (16)
* Περὶ Παιδείας, α΄. (18)

(ΣΥΓΓΡΑΜΜΑΤΑ.)

20 * Περὶ τ'Ἀγαθοῦ, α΄, β΄, γ΄. (20)
Τὰ ἐκ τῶν Νόμων Πλάτωνος, α΄, β΄, γ΄. (23)
* Τὰ ἐκ τῆς Πολιτείας, α΄, β΄.
(*) Οἰκονομικὸς, α΄. (17)
Περὶ Φιλίας, α΄. (21)
25 (*) Περὶ τοῦ Πάσχειν ἢ Πεπονθέναι α΄.
Περὶ Ἐπιστημῶν, α΄. (25)
Περὶ Ἐριστικῶν, α΄, β΄·
Λύσεις ἐριστικαὶ, δ΄. (27)
Διαιρέσεις σοφιστικαὶ, δ΄. (29)
30 Περὶ Ἐναντίων, α΄. (30)
Περὶ Εἰδῶν καὶ Γενῶν, α΄. (31)
Περὶ Ἰδίων, α΄.
Ὑπομνήματα ἐπιχειρηματικὰ, γ΄. (31)
Προτάσεις περὶ ἀρετῆς, α΄, β΄, γ΄. (32)
35 Ἐνστάσεις, α΄. (34)
Περὶ τῶν Ποσαχῶς λεγομένων ἢ κατὰ πρόσθεσιν, α΄. (35)
(*) Περὶ Παθῶν ὀργῆς, α΄. (28)
(**) Ἠθικῶν α΄, β΄, γ΄, δ΄, ε΄. (37)
(*) Περὶ Στοιχείων, α΄, β΄, γ΄. (33,
40 Περὶ Ἐπιστήμης, α΄.
Περὶ Ἀρχῆς, α.
Διαιρέσεις, ιζ΄.
Διαιρετικῶν α΄.
(Περὶ) Ἐρωτήσεως καὶ Ἀποκρίσεως, α΄, β΄. (38,
45 Περὶ Κινήσεως, α΄.
Προτάσεις, α΄. (36)
Προτάσεις ἐριστικαὶ, δ΄. (39
Συλλογισμοὶ, α΄.
** Προτέρων Ἀναλυτικῶν α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄, η΄, θ΄. (41)
50 ** Ἀναλυτικῶν ὑστέρων μεγάλων α΄, β΄. (42)
* Περὶ Προβλημάτων, α΄. (43)
** Μεθοδικὰ, α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄, η΄. (44)
Περὶ τοῦ Βελτίονος, α΄. (45)
Περὶ τῆς Ἰδέας, α΄. (40)
55 Ὅροι πρὸ τῶν Τοπικῶν, α΄, β΄, γ΄, δ΄, ε΄, ϛ΄, ζ΄.
Συλλογισμῶν α΄, β΄. (46)
Συλλογιστικὸν καὶ ὅροι, α΄. (47)
Περὶ τοῦ Αἱρετοῦ καὶ τοῦ Συμβεβηκότος, α΄. (48)
(**) Τὰ πρὸ τῶν Τόπων, α΄. (49)

De Anima, I.
De Precatione, I.
15 De Nobilitate, I.
De Voluptate, I.
Alexander sive de colonis, I.
De Regno, I.
De Institutione, I.

(COMMENTARII CERTO QUODAM ORDINE DESCRIPTI.)

20 De Bono, I, II, III.
Excerpta e Legibus Platonis, I, II, III.
Excerpta e Republica, I, II.
Œconomicus, I.
De Amicitia, I.
25 Quid sit tolerare sive tolerantia, I.
De Disciplinis, I.
De his quæ in contentionem cadunt, I, II.
Solutiones eorum quæ in contentionem cadunt, IV.
Divisiones sophisticæ, IV.
30 De Contrariis, I.
De Speciebus et Generibus, I.
De Propriis, I.
Commentarii epichirematici, III.
Propositiones de virtute, I, II, III.
35 Objectiones, I.
De his quæ variis modis dicuntur sive secundum propositionem, I.
De Perturbationibus iræ, I.
De Moribus, I, II, III, IV, V.
De Elementis, I, II, III.
40 De Scientia, I.
De Principio, I.
Divisiones, XVII.
Divisibilium I.
De Interrogatione et Responsione, I, II.
45 De Motu, I.
Propositiones, I.
Propositiones contentiosæ, IV.
Syllogismi, I.
Priorum Analyticorum I, II, III, IV, V, VI, VII, VIII, IX.
50 Analyticorum posteriorum magnorum I. II.
De Problematis, I.
Methodica, I, II, III, IV, V, VI, VII, VIII.
De Meliori, I.
De Idea, I.
55 Definitiones ante Topica, I, II, III, IV, V, VI, VII.
Syllogismorum I, II.
Syllogisticum et Definitiones, I.
De Optabili et Accidenti, I.
De iis quæ ante Topica sunt, I.

60 Τοπικῶν πρὸς τοὺς ὅρους α', β'. (51)
Πάθη, α'. (51)
Διαιρετικὸν, α'.
Μαθηματικὸν, α'.
Ὁρισμοὶ, ιγ'. (52)
65 Ἐπιχειρημάτων α', β'. (53)
Περὶ Ἡδονῆς, α'.
Προτάσεις, α'.
Περὶ Ἑκουσίου, α'. (50)
Περὶ Καλοῦ, α'. (54)
70 Θέσεις ἐπιχειρηματικαὶ, κε'. (56)
Θέσεις ἐρωτικαὶ, δ'. (57)
Θέσεις φιλικαὶ, β'. (58)
Θέσεις περὶ ψυχῆς, α'. (59)
Πολιτικὰ, β'. (60)
75 ** Πολιτικῆς ἀκροάσεως ὡς ἡ Θεοφράστου, α', β', γ', δ', ε', ϛ', ζ', η'. (61)
Περὶ Δικαίων, α', β'. (55)
* Τεχνῶν συναγωγὴ, α', β'. (62)
** Τέχνης ῥητορικῆς α', β'. (63)
Τέχνη, α'. (64)
80 Ἄλλη Τεχνῶν συναγωγὴ, α', β'.
Μεθοδικὸν, α'.
* Τέχνης τῆς Θεοδέκτου συναγωγὴ, α'. (65)
** Πραγματείας Τέχνης ποιητικῆς, α', β'. (66)
Ἐνθυμήματα ῥητορικὰ, α'. (67)
85 Περὶ Μεγέθους, α'. (68)
Ἐνθυμημάτων διαιρέσεις, α'. (69)
Περὶ Λέξεως, α', β'. (70)
Περὶ Συμβουλίας, α'. (71)
Συναγωγῆς, α', β'.
90 Περὶ Φύσεως, α' β', γ'. (72)
Φυσικὸν, α'. (73)
* Περὶ τῆς Ἀρχυτείου φιλοσοφίας, α', β', γ'. (74)
Περὶ τῆς Σπευσίππου καὶ Ξενοκράτους, α'. (75)
* Τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων. (76)
95 ** Πρὸς τὰ Μελίσσου, α'. (77)
Πρὸς τὰ Ἀλκμαίωνος, α'. (78)
Πρὸς τοὺς Πυθαγορείους, α'.
** Πρὸς τὰ Γοργίου, α'. (80)
(**) Πρὸς τὰ Ξενοκράτους, α'. (-φάνους).
100 ** Πρὸς τὰ Ζήνωνος, α'.
* Περὶ τῶν Πυθαγορείων, α'. (79)
** Περὶ Ζώων, α', β', γ', δ', ε' ϛ', ζ', η', θ'. (82)
* Ἀνατομῶν α', β', γ', δ', ε', ϛ', ζ'. (84)
* Ἐκλογὴ Ἀνατομῶν, α'. (85)
105 Ὑπὲρ τῶν συνθέτων Ζώων, α'. (83)
Ὑπὲρ τῶν μυθολογουμένων Ζώων, α'. (86)
Ὑπὲρ τοῦ μὴ Γεννᾶν, α'. (81)
* Περὶ Φυτῶν, α', β'. (87)
Φυσιογνωμονικὸν, α'. (87)
110 Ἰατρικὰ, β'. (89)

---

60 Topicorum ad definitiones, I, II.
Perturbationes I.
Divisibilium I.
Mathematicum, I.
Definitiones, XIV.
65 Epichirematum, I, II.
De Voluptate, I.
Propositiones, I.
De Voluntario, I.
De Pulchro, I.
70 Quæstiones epichirematicæ, XXV.
Quæstiones amatoriæ, IV.
Quæstiones de amicitia, IV.
Quæstiones de anima, I.
Politicorum II.
75 Politicæ auditionis ut et Theophrasti, I, II, III, IV, V, VI, VII, VIII.
De Justis, I, II.
Artium compendium, I, II.
Artis Rhetoricæ I, II.
Ars, I.
80 Aliud Artium compendium, I, II.
Methodicum, I.
Artis Theodectis compendium, I.
Tractatio de arte poetica, I, II.
Enthymemata rhetorica, I.
85 De Magnitudine, I.
Enthymematum divisiones, I.
De Dictione, I, II.
De Consilio, I,
Collectionis, I, II.
90 De Natura, I, II, III.
Physicum, I.
De Archytea philosophia, I, II, III.
De Speusippi et Xenocratis, I.
Excerpta e Timæo et Archyta.
95 Adversus Melissum. I.
Adversus Alcmæonem, I.
Adversus Pythagoreos, I.
Adversus Gorgiam, I.
Adversus Xenocratem (*-phanem*), I.
100 Adversus Zenonem, I.
De Pythagoreis, I.
De Animalibus, I, II, III, IV, V, VI, VII, VIII, IX.
Anatomorum I, II, III, IV, V, VI, VII.
Ecloga Anatomorum, I.
105 De Animalibus compositis, I.
De fabulosis Animalibus, I.
De non Gignendo, I.
De Plantis, I, II.
Physiognomonicum, I
110 Medicinalia, II.

Περὶ Μονάδος, α'. (91)
Σημεῖα χειμώνων, α'. (90)

(ΠΡΟΒΛΗΜΑΤΑ.)

Ἀστρονομικὸν, α'. (92)
Ὀπτικὸν, α'. (94)
115 Περὶ Κινήσεως, α'. (93)
Περὶ Μουσικῆς, α'. (95)
Μνημονικὸν, α'. (100)
* Ἀπορημάτων Ὁμηρικῶν α', β', γ', δ', ε', ς'. (97)
Ποιητικῶν α'. (99)
120 Φυσικῶν κατὰ στοιχεῖον λη'. (101)
Ἐπιτεθεαμένων προβλημάτων α', β'.
* Ἐγκυκλίων α', β'. (104)
** Μηχανικῶν α'. (106)
Προβλήματα ἐκ τῶν Δημοκρίτου, ζ'. (107)
125 Περὶ τῆς Λίθου, α'.

(ΥΠΟΜΝΗΜΑΤΑ.)

Παραβολαὶ, α'. (109)
Ἄτακτα, ιβ'. (110)
Ἐξηγημένα κατὰ γένος, ιδ'. (112)
* Δικαιώματα, α'. (111)
130 Ὀλυμπιονῖκαι, α'. (113)
Πυθιονῖκαι, α'.
(Περὶ) Μουσικῆς, α'. (114)
Πυθικὸς, α'.
Πυθιονικῶν ἔλεγχοι, α'.
135 Νῖκαι Διονυσιακαὶ, α'. (116)
Περὶ Τραγῳδιῶν, α'. (117)
* Διδασκαλίαι, α'. (118)
Παροιμίαι, α'.
Νόμος συστατικὸς, α'. (119)
140 Νόμοι, α', β', γ', δ'. (120)
** Κατηγορίαι, α'. (121)
** περὶ Ἑρμηνείας, α'. (122)
Πολιτεῖαι πόλεων δυοῖν δεούσαιν ρξ' [κοιναὶ] καὶ ἴδιαι, δημοκρατικαί, ὀλιγαρχικαί, ἀριστοκρατικαί, τυραννικαί. (124)

(ΕΠΙΣΤΟΛΑΙ ΚΑΙ ΠΟΙΗΜΑΤΑ.)

* Ἐπιστολαὶ πρὸς Φίλιππον. Σηλυμβρίων Ἐπιστολαί. * Πρὸς Ἀλέξανδρον Ἐπιστολαί, δ'. * Πρὸς Ἀντίπατρον, θ'. Πρὸς Μέντορα, α'. Πρὸς Ἀρίστωνα, α'. Πρὸς Ὀλυμπιάδα, α'. Πρὸς Ἡφαιστίωνα, α'. Πρὸς Θεμισταγόραν, α'. Πρὸς Φιλόξενον, α'. Πρὸς Δημόκριτον, α'. (126)
145 Ἔπη, ὧν ἀρχή· « Ἁγνὲ θεῶν πρέσβισθ' ἑκατηβόλε. » (127)

De Monade, I.
Signa tempestatum, I.

(PROBLEMATA).

Astronomicum, I.
Opticum, I.
115 De Motu, I.
De Musica, I.
Memoriale, I.
Quæstionum Homericarum I, II, III, IV, V, VI.
(«) poeticarum I.
120 («) physicarum secundum literarum ordinem XXXVIII.
Problematum perspectorum I, II.
(«) encyclicorum I, II.
Mechanicorum I.
Problemata e Democrito, VII.
125 De Lapide, I.

(COMMENTARII.)

Parabolæ, I.
Miscellanea, XII.
Exposita secundum genus, XIV.
Jura, I.
130 Olympionicæ, I.
Pythionicæ, I.
De Musica, I.
Pythicus, I.
Pythionicarum indices, I.
135 Victoriæ Dionysiacæ, I.
De Tragœdiis, I.
Didascaliæ, I.
Proverbia, I.
Lex commendatitia, I.
140 Legum I, II, III, IV.
Categoriæ, I.
De Interpretatione, I.
Mores atque Instituta civitatum CLVIII, singulatimque de populari paucorumque et optimatum et tyrannorum imperio.

(EPISTOLÆ ET CARMINA.)

Epistolæ ad Philippum. Selymbriorum Epistolæ. Ad Alexandrum Epistolæ, IV. Ad Antipatrum, IX. Ad Mentorem, I. Ad Aristonem, I. Ad Olympiadem, I Ad Hephæstionem, I. Ad Themistagoram, I. Ad Philoxenum, I. Ad Democritum, I.
145 Carmina quorum initium : « *Sancte Deum arcitenens antiquissime.* »

Ἐλεγεῖα, ὧν ἀρχή· « Καλλιτέκνου μητρὸς θύγατερ. » (128)

Γίνονται αἱ πᾶσαι μυριάδες στίχων τέσσαρες καὶ τεσσαράκοντα πρὸς τοῖς πεντακισχιλίοις καὶ διακοσίοις ἑβδομήκοντα.

Sequitur jam alius index haud multum absimilis, et ex eodem, ut videtur, fonte derivatus, addito tamen appendice amplior. Servatus est in Anonymi cujusdam vita Aristotelis, Ἀριστοτέλους βίος καὶ συγγράμματα αὐτοῦ inscripta, de qua ita Ægidius Menagius qui eam primus in lucem protulit, in Observationibus ad librum V Diogenis Laertii, p. 202 : *Hanc Aristotelis vitam incerti auctoris mecum olim communicavit Philippus Loialtæus nostras* (1), *quam unde habuerit mihi non liquet. Eam viderat Octavianus Ferrarius, teste Nunnesio : qui quidem Nunnesius ea uti quondam prodiret optabat.* Hæc vita, quam ex ampliore opere Hesychii Illustris de claris Philosophis excerptam esse, satis probabili argumento a Rosio demonstratum est (cf. *de Aristotelis librorum ordine et auctoritate*, Lips. 1854. p. 40), in codice Bibliothecæ Ambrosianæ R 117 (Cf. Rose, *Aristot. Pseudepigr.*, p. 708 et add. ad pag. 10) invenitur, et in alio codice, quem in insula Patmo exstare indicavit Tischendorfius v. cl. (cf. *Wiener Jahrb. der Litt. Bd.* 110. *Anz. Bl.* p. 17 et ejusdem *Reise in den Orient*, II, p. 231).

Numeri uncis inclusi titulorum sedem in priore indice declarant.

Περὶ Δικαιοσύνης, δʹ. (1)
Περὶ Ποιητῶν, γʹ. (2)
Περὶ Φιλοσοφίας, δʹ. (3)
Πολιτικὸν, αʹ. (4)
5 Περὶ Πολιτικῆς ἢ Γρύλλος, γʹ. (5)
Νήρινθος, αʹ. (6)
Περὶ Πλούτου, αʹ. (11)
Σοφιστικῆς αʹ. (7)
Περὶ Εὐχῆς, αʹ. (14)
10 Μενέξενος, αʹ. (8)
Περὶ Εὐγενείας, αʹ. (15)
Ἐρωτικὸς, αʹ. (9)
Περὶ Ψυχῆς, αʹ. (13)
Προτρεπτικὸν, αʹ. (12)
15 Περὶ Ἡδονῆς, αʹ. (16)
Περὶ Βασιλείας, αʹ. (18)
Οἰκονομικὸν, αʹ. (23)
Περὶ Παιδείας ἢ Παιδευτικὸν, αʹ. (19)
Συλλογισμῶν αʹ. (48)
20 Περὶ τοῦ Ἀγαθοῦ, αʹ. (20)
Περὶ Ἀρχῶν ἢ Φύσεως, αʹ.
Ἀλέξανδρος ἢ ὑπὲρ Ἀποικιῶν, αʹ. (17)
Τὰ ἐκ τῶν Νόμων Πλάτωνος, βʹ. (21)
Περὶ Φιλίας, γʹ. (24)
25 Περὶ Ἐπιστημῶν, αʹ. (26)
Περὶ Εἰδῶν, αʹ. (31)
Λύσεις ἐριστικαὶ, δʹ. (28)
Περὶ Πάθους ὀργῆς, αʹ. (37)
Διαιρέσεις σοφιστικαὶ, αʹ. (29)
30 Περὶ Ἐναντίων, αʹ. (30)
Ὑπομνημάτων ἐπιχειρητικῶν γʹ. (33)
Προτάσεις περὶ ἀρετῆς, βʹ. (34)

Elegi quorum initium : « *Formosa sobole florentis filia matris.* »

Omnes efficiunt myriades versuum quadraginta quattuor supra quinquies mille ducentos septuaginta.

ANONYMI INDEX.

De Justitia, IV.
De Poetis, III.
De Philosophia, IV.
Politicum, I.
5 De Politica sive Gryllus, III.
Nerinthus, I.
De Divitiis, I.
Sophisticæ I.
De Precatione, I.
10 Menexenus, I.
De Nobilitate, I.
Amatorius, I.
De Anima, I.
Cohortatorius, I.
15 De Voluptate, I.
De Regno, I.
Œconomicus, I.
De Institutione sive Institutio, I.
Syllogismorum I.
20 De Bono, I.
De Principiis sive Natura, I.
Alexander sive de coloniis, I.
Excerpta e Platonis Legibus, II.
De Amicitia, III.
25 De Disciplinis, I.
De Speciebus, I.
Solutiones disputatoriæ, IV.
De Perturbatione iræ, I.
Divisiones sophisticæ, I.
30 De Contrariis, I.
Commentariorum epichirematicorum III.
Propositiones de virtute, II.

(1) Cf. Menagiana ed. Amst. 1694 p. 168 : *J'ay connu un avocat de notre ville d'Angers qui s'appelloit Loyauté.*

Περὶ Στοιχείων, γ'. (39)
Ἐνστάσεις. (35)
35 Περὶ τῶν Ποσαχῶς λεγομένων ἢ τῶν κατὰ πρόθεσιν, α'. (36)
Προτάσεων α'. (46)
Ἠθικῶν κ'. (38)
Περὶ Ἐρωτήσεως καὶ Ἀποκρίσεως, α'. (41)
Προτάσεων ἐριστικῶν α'. (47)
40 Περὶ Ἰδέας, α'. (54)
Ἀναλυτικῶν προτέρων θ'. (49)
Ἀναλυτικῶν ὑστέρων β'. (50)
Προβλημάτων. (51)
Μεθοδικά. (52)
45 Περὶ τοῦ Βελτίονος, α'. (3)
Συλλογισμῶν β'. (56)
Συλλογιστικῶν ὅρων α'. (57)
Περὶ Αἱρετοῦ καὶ Συμβαίνοντος, α'. (58)
Τὰ πρὸ τῶν Τόπων, α'. (59)
50 Περὶ Ἑκουσίων, α'. (58)
Τοπικῶν πρὸς τοὺς ὅρους καὶ πάθη, α'. (60, 61)
Ὁρισμῶν βιβλία, ιγ'. (64)
Ἐπιχειρημάτων β', (65)
Περὶ Κάλλους, α'. (69)
55 Περὶ Δικαίων, β'. (76)
Θέσεις ἐπιχειρηματικαὶ, ἐν βιβλίοις κε'. (70)
Θέσεις ἐρωτικαὶ, ἐν βιβλίοις δ'. (71)
Θέσεις φιλικαὶ, ἐν βιβλίοις β'. (72)
Θέσεις περὶ ψυχῆς, ἐν βιβλίῳ α'. (73)
60 Θέσεις πολιτικαὶ, β'. (74)
Πολιτικῆς ἀκροάσεως κ'. (75)
Τεχνῶν συναγωγὴ, α'. (77)
Τέχνης ῥητορικῆς γ'. (78)
Τέχνης α'. (79)
65 Τέχνης τῆς Θεοδέκτου συναγωγῆς ἐν γ'. (82)
Τέχνης ποιητικῆς, β'. (82)
Ἐνθυμημάτων ῥητορικῶν α'. (84)
Περὶ Μεγέθους. (85)
Ἐνθυμημάτων καὶ Αἱρέσεων. (86)
70 Περὶ Λέξεως καθαρᾶς, α'. (87)
Περὶ Συμβουλῆς, α'. (88)
Περὶ Φύσεως, α'. (90)
Περὶ Φυσικῶν, α'. (91)
Περὶ τῆς Ἀρχύτου φιλοσοφίας, γ'. (92)
75 Περὶ τῆς Σπευσίππου καὶ Ξενοκράτους, α'. (93)
Ἐκ τῶν Τιμαίου καὶ Ἀρχύτου, α'. (94)
Πρὸς τὰ Μελίσσου, α'. (95)
Πρὸς τὰ Ἀλκμαίωνος, α'. (96)
Περὶ τῶν Πυθαγορείων, α'. (101)
80 Πρὸς τὰ Γοργίου, α'. (98)
Περὶ τοῦ μὴ Γεννᾶν. (107)
Περὶ Ζῴων, θ'. (102)
Περὶ τῶν συνθέτων Ζῴων, α'. (105)

De Elementis, III.
Objectiones.
35 De his quæ variis modis dicuntur sive secundum propositionem, I.
Propositionum I.
Ethicorum XX.
De Interrogatione et Responsione, I.
Propositionum contentiosarum I.
40 De Idea, I.
Analyticorum priorum IX.
Analyticorum posteriorum II.
Problematum.
Methodica.
45 De Meliori, I.
Syllogismorum II.
Syllogisticarum definitionum I.
De Optabili et Accidenti, I.
Quæ ante Topica sunt, I.
50 De Voluntariis, I.
Topicorum ad definitiones et perturbationes I.
Definitionum libri XIII.
Epichirematum II.
De Pulchritudine, I.
55 De Justis, II.
Quæstiones epichirematicæ, in libris XXV.
Quæstiones amatoriæ, in libris II.
Quæstiones de amicitia, in libris II.
Quæstiones de anima, in libro I.
60 Quæstiones politicæ, II.
Politicæ auditionis XX.
Artium compendium, I.
Artis rhetoricæ III.
Artis I.
65 Artis Theodectis compendium, in libris III.
Artis poeticæ II.
Enthymematum rhetoricorum I.
De Magnitudine.
Enthymematum et Electionum.
70 De pura Dictione, I.
De Consilio, I.
De Natura, I.
De Naturalibus, I.
De Archytæ philosophia, III.
75 De Speusippi et Xenocratis, I.
Excerpta e Timæo et Archyta, I.
Adversus Melissum, I.
Adversus Alcmæonem, I.
De Pythagoreis, I.
80 Adversus Gorgiam, I.
De non gignendo.
De Animalibus, IX.
De Animalibus compositis, I.

Περὶ Ἀνατομῶν, ς'. (103)
85 Ἐκλογὴ τούτων, α'. (104)
Περὶ τῶν μυθολογουμένων Ζῴων, α'. (106)
Περὶ Φυτῶν, β'. (108)
Φυσιογνωμονικὰ, β'. (109)
Περὶ Ἰατρικῆς, β'. (110)
90 Συμμαχίας χειμώνων α'. (112)
Περὶ Μονάδος, α'. (111)
Ἀστρονομικὸν, α'. (113)
Περὶ Κινήσεως, α'. (115)
Ὀπτικὸν, α'. (114)
95 Περὶ Μουσικῆς, α'. (116
Πέπλον.
Ἀπορημάτων Ὁμηρικῶν ζ'. (118)
Ἀπορημάτων θείων α'.
Ποιητικὸν, α'. (119)
100 Μνημονικὸν, α'. (117)
τίον ἀλλὰ στέρησις ἀόριστος· καὶ τῇ ψυχῇ δ' ὡς εἴδει τινὶ οὔσῃ ἔστι τι ἀντικείμενον ἀόριστον. Καὶ ὥσπερ ἐκεῖ φαμὲν τὴν τοιάνδε ἁρμονίαν μεταβάλλειν εἰς τὴν ἀναρμοστίαν, οὕτω καὶ τὴν τοιάνδε στέρησιν μεταβάλλειν εἰς ψυχήν. Δευτέρᾳ δέ· « τῇ ἁρμονίᾳ, φησί, τοῦ σώματας ἐναντίον ἐστὶν ἡ ἀναρμοστία τοῦ σώματος, ἀναρμοστία δὲ τοῦ ἐμψύχου σώματος νόσος καὶ ἀσθένεια καὶ αἶσχος· ὧν τὸ μὲν ἀσυμμετρία τῶν στοιχείων ἡ νόσος, τὸ δὲ τῶν ὁμοιομερῶν ἡ ἀσθένεια, τὸ δὲ τῶν ὀργανικῶν τὸ αἶσχος. Εἰ τοίνυν ἡ ἀναρμοστία νόσος καὶ ἀσθένεια καὶ αἶσχος, ἡ ἁρμονία ἄρα ὑγεία καὶ ἰσχὺς καὶ κάλλος. Ψυχὴ δὲ οὐδέν ἐστι τούτων, οὔτε ὑγεία φημὶ οὔτε ἰσχὺς οὔτε κάλλος· ψυχὴν γὰρ εἶχε καὶ ὁ Θερσίτης αἴσχιστος ὤν. Οὐκ ἄρα ἐστὶν ἡ ψυχὴ ἁρμονία. » Καὶ ταῦτα μὲν ἐν ἐκείνοις· ἐνταῦθα δὲ τέσσαρσι κέχρηται ἐπιχειρήσεσιν ἀνασκευαστικαῖς τῆς δόξης ταύτης, ὧν τὸ τρίτον ἐστὶ τὸ εἰρημένον ἐν τῷ Εὐδήμῳ δεύτερον ... Id. fol. E, 2 recto (ad verba Aristotelis, de Anima I, c. 4, § 4 : « Ἁρμόζει δὲ μᾶλλον καθ' ὑγιείας λέγειν ἁρμονίαν καὶ ὅλως τῶν σωματικῶν ἀρετῶν ἢ κατὰ ψυχῆς ») : Τοῦτο τρίτον ἐπιχείρημα· ἔστι δὲ τὸ δεύτερον τῶν ἐν τῷ Εὐδήμῳ. Ὅτι δὲ ἁρμονία ἡ ὑγίεια ἔδειξεν ἐν ἐκείνοις ἐκ τοῦ ἐναντίου τῆς νόσου. Εἴπομεν δὲ ἀνωτέρω τὴν ἀγωγὴν τοῦ συλλογισμοῦ.

Brevius hæc eadem tangit Simplicius in Arist. de Anima, in hoc a Joanne Philopono discrepans quod et fortasse Platonis Phædonem innuere putat Aristotelem, f. 14 recto : Ἐν κοινῷ δὲ γενομένους λόγους τοὺς συμμέτρως καὶ τοῖς πολλοῖς ἠρωτημένους καλεῖ, αἰνιττόμενος μὲν ἴσως καὶ τοὺς ἐν Φαίδωνι, λέγων δὲ καὶ τοὺς ὑπ' αὐτοῦ ἐν τῷ διαλόγῳ τῷ Εὐδήμῳ γραφέντας ἐλεγκτικοὺς τῆς ἁρμονίας. Eudemum etsi non nominat, tamen aperte innuit Themistius in Paraphrasi f. 70 recto, t. II, p. 44, 3 ed. Spengel. : Καὶ ἄλλη δέ τις δόξα παραδέδοται περὶ ψυχῆς πιθανὴ μὲν οὐδεμιᾶς ἧσσον τῶν λεγομένων, δεδωκυῖα δὲ εὐθύνας καὶ ἐξητασμένη καὶ ἐν τοῖς κοινοῖς λόγοις καὶ ἐν τοῖς ἰδίοις. Λέγουσι γάρ τινες αὐτὴν ἁρμονίαν· καὶ γὰρ τὴν ἁρμονίαν κρᾶσιν καὶ σύνθεσιν ἐναντίων εἶναι καὶ τὸ σῶμα συγκεῖσθαι ἐξ ἐναντίων· τὴν οὖν τἀναντία ταῦτα εἰς συμφωνίαν ἄγουσαν καὶ ἁρμόζουσαν, θερμὰ λέγω καὶ ψυχρὰ καὶ ὑγρὰ καὶ ξηρὰ καὶ σκληρὰ καὶ μαλακὰ καὶ ὅσαι ἄλλαι ἐναντιώσεις τῶν πρώτων σωμάτων, οὐδὲν ἄλλο εἶναι ἢ τὴν ψυχήν, ὥσπερ καὶ ἡ τῶν φθόγγων ἁρμονία τὸ βαρὺ καὶ τὸ ὀξὺ συναρμόζει. Πιθανότητα μὲν οὖν ὁ λόγος ἔχει, διελήλεγκται δὲ πολλαχοῦ καὶ ὑπ' Ἀριστοτέλους καὶ ὑπὸ Πλάτωνος. Καὶ γὰρ ὅτι τὸ μὲν πρῶτον τοῦ σώματος, τουτέστιν ἡ ψυχή, ἁρμονία δὲ ὕστερον, καὶ ὅτι τὸ μὲν ἄρχει καὶ ἐπιστατεῖ τῷ σώματι καὶ μάχεται πολλάκις, ἁρμονία δὲ οὐ μάχεται τοῖς ἡρμοσμένοις, καὶ ὅτι τὸ μᾶλλον καὶ ἧττον ἁρμονία μὲν δέχεται, ψυχὴ δὲ οὔ, καὶ ὡς ἁρμονία μὲν σωζομένη οὐ προσίεται ἀναρμοστίαν, ψυχὴ δὲ κακίαν προσίεται, καὶ ὅτι εἴπερ τοῦ σώματος ἡ ἀναρμοστία νόσος ἐστὶν ἢ αἶσχος ἢ ἀσθένεια, ἡ ἁρμονία τοῦ σώματος κάλλος ἂν εἴη καὶ ὑγίεια καὶ δύναμις, ἀλλ' οὐ ψυχή. Ταῦτα μὲν ἅπαντα εἴρηται ὑπὸ τῶν φιλοσόφων ἐν ἄλλοις (a Platone scilicet in Phædone, ab Aristotele vero in Eudemo)· ἃ δὲ νῦν Ἀριστοτέλης φησί, τοιαῦτά ἐστιν ... Ib. p. 46, 13 Speng. : Ὅτι μὲν οὖν οἱ λέγοντες ἁρμονίαν τὴν ψυχὴν οὔτε ἐγγὺς ἄγαν, οὔτε πόρρω τῆς ἀληθείας βάλλειν ἂν δόξειεν, καὶ ἐκ τῶν εἰρημένων καὶ ἐκ τῶν ἐν ἄλλοις δῆλόν ἐστιν.

Eudemi ad hunc locum Aristotelis mentionem fecit quoque Sophonias in Paraphrasi, laudatus a Trendelenburgio, in comment. ad Arist. de Anima p. 265, Georgius Pachymeres, Philosophiæ l. VII, 1, 1, p. 186, lat. versionis Phil. Bechii, Basil. 1560 (fol. 128 recto cod. Paris, 1929, teste Rosio) in ridiculum ille lapsus errorem : *Qui vero fingunt animam esse harmoniam, ut Plato in Eudemo ostendit, ita figmentum suum componunt*); Theodorus Metochita in Paraphr. p. 201 vers. lat. H. Pantaleonis, Basil. 1562 : *Sed et Plato quidem, et Aristoteles eam alibi confutat pluribus*, nec minus Olympiodorus in Plat. Phædonem p. 142, 1 ed. Finckh, allatus jam a Patritio *Discuss. Peripat.* I, p. 94 (cf. Fragm. Arist. in ed. Duvalii p. 684, A, et Wyttenbach. ad Plat. Phædon. p. 249) : Ὅτι ὁ Ἀριστοτέλης ἐν τῷ Εὐδήμῳ οὕτως ἐπιχειρεῖ· τῇ ἁρμονίᾳ ἐναντίον ἐστὶν ἡ ἀναρμοστία· τῇ δὲ ψυχῇ οὐδὲν ἐναντίον· οὐσία γάρ· καὶ τὸ συμπέρασμα δῆλον. Ἔτι, εἰ ἀναρμοστία τῶν στοιχείων τοῦ ζῴου νόσος, ἡ ἁρμονία εἴη ἂν ὑγίεια, ἀλλ' οὐχὶ ψυχή. Id. ib. p. 142, 5 : Ὅτι ἐν τοῖς περὶ Ψυχῆς (I, c. 4) οὕτως· ἡ ψυχὴ τοῦ ζῴου μία ἑκάστου· αἱ δὲ ἁρμονίαι πολλαί· καθ' ἕκαστον γὰρ μέρος· καὶ τὸ συμπέρασμα· ἡ ψυχὴ κινεῖ τὸ σῶμα· ἡ δὲ ἁρμονία κινεῖται, καὶ εἰ κατὰ συμβεβηκός· οὐκ ἄρα ψυχή. Τὸ τρίτον ταὐτὸν τῷ ἐν Εὐδήμῳ δευτέρῳ. Cum priore loco conf. Alexand. Aphrod. in Arist. Topica, p. 168 (280, B, 46 Brand.) : Οὕτως ἐπεὶ

Ac primum prior est anima corpore, harmonia vero posterior. Anima deinde imperium habet in corpus et dominatur et sæpe contra illud pugnat, harmonia autem non pugnat contra ea quæ conciliavit. Item harmonia modo intenditur, modo remittitur, quod non accidit animæ. Harmonia præterea, quamdiu exsistat, perturbationem non admittit, anima vero admittit vitium. Postremo si perturbatio harmoniæ in corpore morbus est, sive infirmitas sive turpitudo, harmonia corporis pulchritudo, bona valetudo et vires esset, sed non anima. Hæc vero omnia a philosophis alibi dicta sunt : quæ autem nunc Aristoteles dicit talia sunt..... Qui igitur dicunt harmoniam esse ani-

ἁρμονίᾳ μὲν ἀναρμοστία ἐναντίον, ψυχῇ δὲ οὐδέν ἐστιν ἐναντίον, οὐκ ἔστιν ἡ ψυχὴ ἁρμονία, ὡς Πλάτων ἐπεχείρησεν ἐν τῷ Φαίδωνι.

9. (74.)

Simplicius in Arist. de Anima, l. III, fol. 62 : Ὁ μὲν οὖν Πλάτων καὶ ἐπὶ πάντων εἴωθεν ὁμωνύμως τά τε εἴδη καὶ τὰ κατ' αὐτὰ εἰδοποιούμενα προσαγορεύειν. Ὁ δὲ Ἀριστοτέλης ὅταν μὲν μεριστὸν τὸ εἰδοποιούμενον ᾖ, φυλάττεται τὴν ὁμωνυμίαν διὰ τὴν πολλὴν τοῦ μεριστοῦ πρὸς τὸ εἶδος ἀμέριστον ὂν ἀπόστασιν· τὴν δὲ λογικὴν ψυχὴν ὡς μὴ μόνον ὁριζομένην ἀλλὰ καὶ ὅρον οὖσαν· μεταξὺ γὰρ ὡς τοῦ ἀμερίστου καὶ μεριστοῦ ἄμφω πως οὖσα, οὕτω καὶ τοῦ ὅρου καὶ τοῦ ὁριζομένου ἀμφότερον ἐμφαίνουσα, τὸ μὲν ὡς ἀνελιττομένη, τὸ δὲ διὰ τὴν ἀεὶ κατὰ ὅρους μετάβασιν καὶ διὰ τὴν τῶν ἀνειλιγμένων πάντων εἰς ἓν (ita Rosius pro ὂν) συναγωγὴν ὡς παρισουμένη (correxit Rosius pro παρισουμένην) τῷ ὁρίζοντι νῷ. Καὶ διὰ τοῦτο καὶ ἐν τῷ Εὐδήμῳ διαλόγῳ εἶδός τι ἀποφαίνεται τὴν ψυχὴν εἶναι, καὶ ἐν τούτοις ἐπαινεῖ τοὺς τῶν εἰδῶν δεκτικὴν λέγοντας τὴν ψυχήν, οὐχ ὅλην ἀλλὰ τὴν νοητικὴν ὡς τῶν ἀληθῶν δευτέρως εἰδῶν γνωστικήν· τῷ γὰρ τῆς ψυχῆς κρείττονι νῷ τὰ ἀληθῆ εἴδη σύστοιχα.

10. (75.)

Plutarch. de Musica c. 22 : Δεδειγμένου δὲ ὅτι ὁ Πλάτων οὔτ' ἀγνοίᾳ οὔτ' ἀπειρίᾳ τὰ ἄλλα παρῃτήσατο, ἀλλ' ὡς οὐ πρέποντα τοιαύτῃ πολιτείᾳ, δείξομεν ἑξῆς ὅτι ἔμπειρος ἁρμονίας ἦν. Ἐν γοῦν τῇ ψυχογονίᾳ τῇ ἐν τῷ Τιμαίῳ ... Id. c. 23 : Ὅτι δὲ σεμνὴ ἡ ἁρμονία καὶ θεῖόν τι καὶ μέγα Ἀριστοτέλης ὁ Πλάτωνος ταυτὶ λέγει· « Ἡ δὲ ἁρμονία ἐστὶν οὐρανία τὴν φύσιν ἔχουσα θείαν καὶ καλὴν καὶ δαιμονίαν· τετραμερὴς δὲ τῇ δυνάμει πεφυκυῖα, δύο μεσότητας ἔχει, ἀριθμητικήν τε καὶ ἁρμονικήν· φαίνεταί τε τὰ μέρη αὐτῆς καὶ τὰ μεγέθη καὶ αἱ ὑπεροχαὶ κατ' ἀριθμὸν καὶ ἰσομετρίαν· ἐν γὰρ δυσὶ τετραχόρδοις ῥυθμίζεται τὰ μέλη. » Ταῦτα μὲν τὰ ῥητά. Συνεστάναι δ' αὐτῆς τὸ σῶμα ἔλεγεν ἐκ μερῶν ἀνομοίων, συμφωνούντων μέντοι πρὸς ἄλληλα. Ἀλλὰ μὴν καὶ τὰς μεσότητας αὐτῆς κατὰ τὸν ἀριθμητικὸν λόγον συμφωνεῖν· τὸν γὰρ νέατον πρὸς τὸν ὕπατον ἐκ διπλασίου λόγου ἡρμοσμένον, τὴν διὰ πασῶν συμφωνίαν ἀποτελεῖν. Ἔχει γάρ, ὡς προείπομεν, τὸν νέατον δώδεκα μονάδων, τὸν δὲ ὕπατον ἕξ, τὴν δὲ παραμέσην συμφωνοῦσαν πρὸς ὑπάτην καθ' ἡμιόλιον λόγον ἐννέα μονάδων, τῆς δὲ μέσης ὀκτὼ εἶναι μονάδας ἐλέγομεν. Συγκεῖσθαι δὲ διὰ τούτων τῆς μουσικῆς τὰ κυριώτατα διαστήματα συμβαίνει, τὸ δὲ διὰ τεσσάρων ὅ ἐστι κατὰ τὸν ἐπίτριτον λόγον, καὶ τὸ διὰ πέντε ὅ ἐστι κατὰ τὸν ἡμιόλιον λόγον, καὶ τὸ διὰ πασῶν ὅ ἐστι κατὰ τὸν διπλάσιον. Ἀλλὰ γὰρ καὶ τὸν ἐπόγδοον σώζεσθαι, ὅς ἐστι κατὰ τὸν τονιαῖον λόγον. Ταῖς αὐταῖς δ' ὑπεροχαῖς ὑπερέχειν καὶ ὑπερέχεσθαι τῆς ἁρμονίας τὰ μέρη ὑπὸ τῶν μερῶν καὶ τὰς μεσότητας ὑπὸ τῶν μεσοτήτων, κατά τε τὴν ἐν ἀριθμοῖς ὑπεροχήν, καὶ κατὰ τὴν γεωμετρικὴν δύναμιν συμβαίνει. Ἀποφαίνει γοῦν αὐτὰς Ἀριστοτέλης τὰς δυνάμεις ἐχούσας τοιαύτας, τὴν μὲν νεάτην τῆς μέσης τῷ τρίτῳ μέρει τῷ αὐτῆς ὑπερέχουσαν, τὴν δὲ ὑπάτην ὑπὸ τῆς παραμέσης ὑπερεχομένην ὁμοίως, ὡς γίνεσθαι τὰς ὑπεροχὰς τῶν πρός τι· τοῖς γὰρ αὐτοῖς μέρεσιν ὑπερέχουσι καὶ ὑπερέχονται. Τοῖς γοῦν αὐτοῖς λόγοις οἱ ἄκροι τῆς μέσης καὶ παραμέσης ὑπερέχουσι καὶ ὑπερέχονται, ἐπιτρίτῳ καὶ ἡμιολίῳ. Τοιαύτη δὴ ὑπεροχή ἐστιν ἡ ἁρμονική. Ἡ δὲ τῆς νεάτης ὑπεροχὴ καὶ τῆς μέσης κατ' ἀριθμητικὸν λόγον ἴσῳ μέρει τὰς ὑπεροχὰς ἐμφαίνουσιν, ὡσαύτως καὶ ἡ παραμέση τῆς ὑπάτης· τῆς γὰρ μέσης ἡ παραμέση κατὰ τὸν ἐπόγδοον λόγον ὑπερ-

---

mam neque nimis prope neque procul a veritate abesse videntur, quod et ex iis quæ nunc dicta sunt et quæ aliis locis dicuntur apparet.

9.

Ipse quidem Plato in omnibus etiam consuevit tum formas, tum quæ per ipsas formantur æquivoce appellare. Aristoteles autem quando formatum sit divisibile, vitat æquivocitatem idque ratione magnæ distantiæ divisibilis ipsius ad formam, quæ indivisibilis est. Rationalis vero anima non tantum est determinata, sed etiam terminus est. Nam quum in medio divisibilis et indivisibilis sit collocata, et quodammodo sit utraque, sic utramque partem ostendit tum termini tum determinati. Alterum quidem ostendens, quia convoluta est, alterum autem quia per terminos semper pertransit, propterque contractionem in unum omnium convolutorum, ut quæ adæquetur determinanti intellectui. Atque ideo in Eudemo quoque dialogo (de anima a se conscripto, *additur in lat. vers. Evangelistæ Lungi Asculani, ed. Venet.*) affirmat animam esse formam quandam et in illis quidem commendat eos, qui dicebant animam esse formarum susceptivam, non totam quidem animam, sed intellectivam tantum, utpote cognoscentem formas veras secundo modo. Veræ namque formæ sunt ejusdem ordinis cum præstantiori animæ intellectu.

10.

Sed demonstrato, Platoni neque ignorantiam neque imperitiam in causa fuisse ut quædam rejiceret, verum id eum fecisse, quia indecora ea reipublicæ judicaret esse, jam nunc ostendemus, eum harmonicæ rei peritum fuisse. In animorum igitur procreatione quæ in Timæo est... (C. 23.) Quod autem harmonia res sit divina, veneranda, magna, Aristoteles, Platonis discipulus, his verbis confirmavit : « Harmonia res est cœlestis, ejusque natura

ἔχει. Πάλιν ἡ νεάτη τῆς ὑπάτης διπλασία ἐστὶν, ἡ δὲ παραμέση τῆς ὑπάτης ἡμιόλιος, ἡ δὲ μέση ἐπίτριτος πρὸς ὑπάτην ἥρμοσται. Καὶ τοῖς μὲν μέρεσι καὶ τοῖς πλήθεσι καὶ κατ' Ἀριστοτέλη ἡ ἁρμονία οὕτως ἔχουσα πέφυκε (c. 24). Συνέστηκε δὲ φυσικώτατα ἔκ τε τῆς ἀπείρου καὶ περαινούσης καὶ ἐκ τῆς ἀρτιοπερίσσου φύσεως, καὶ αὐτὴ καὶ τὰ μέρη αὐτῆς πάντα· αὐτὴ μὲν γὰρ ὅλη ἀρτία ἐστὶ, τετραμερὴς οὖσα τοῖς ὅροις, τὰ δὲ μέρη αὐτῆς καὶ οἱ λόγοι ἄρτιοι καὶ περισσοὶ καὶ ἀρτιοπέρισσοι· τὴν μὲν γὰρ νεάτην ἔχει ἀρτίαν ἐκ δώδεκα μονάδων, τὴν δὲ παραμέσην περισσὴν ἐξ ἐννέα μονάδων, τὴν δὲ μέσην ἀρτίαν ἐξ ὀκτὼ μονάδων, τὴν δὲ ὑπάτην ἀρτιοπέρισσον ἐξ μονάδων οὖσαν. Οὕτω δὲ πεφυκυῖα αὐτή τε καὶ τὰ μέρη αὐτῆς πρὸς ἄλληλα ταῖς ὑπεροχαῖς τε καὶ τοῖς λόγοις, ὅλη τε ὅλῃ καὶ τοῖς μέρεσι συμφωνεῖ (c. 25). Ἀλλὰ μὴν καὶ αἱ αἰσθήσεις αἱ τοῖς σώμασιν ἐγγιγνόμεναι διὰ τὴν ἁρμονίαν αἱ μὲν οὐράνιαι θεῖαι οὖσαι, μετὰ θεοῦ τὴν αἴσθησιν παρεχόμεναι τοῖς ἀνθρώποις, ὄψις τε καὶ ἀκοὴ, μετὰ φωνῆς καὶ φωτὸς τὴν ἁρμονίαν ἐπιφαίνουσι· καὶ ἄλλαι δ' αὐταῖς ἀκόλουθοι, ᾗ αἰσθήσεις, καθ' ἁρμονίαν συνεστᾶσι· πάντα γὰρ καὶ αὗται ἐπιτελοῦσιν οὐκ ἄνευ ἁρμονίας, ἐλάττους μὲν ἐκείνων οὖσαι, οὐκ ἄπο δ' ἐκείνων· ἐκεῖναι γὰρ ἅμα θεοῦ παρουσίᾳ παραγιγνόμεναι τοῖς σώμασι κατὰ λογισμὸν, ἰσχυράν τε καὶ καλὴν φύσιν ἔχουσι (c. 26). Φανερὸν οὖν ἐκ τούτων ὅτι τοῖς παλαιοῖς τῶν Ἑλλήνων εἰκότως μάλιστα πάντων ἐμέλησε πεπαιδεῦσθαι μουσικήν.

11. (76.)

Clemens Alex. Strom., VI, 6, 53 : Ἰσίδωρός τε ὁ Βασιλείδου υἱὸς ἅμα καὶ μαθητὴς ἐν τῷ πρώτῳ τῶν τοῦ προφήτου Παρχὼρ Ἐξηγητικῶν καὶ αὐτὸς κατὰ λέξιν γράφει· « Φασὶ δὲ οἱ Ἀττικοὶ μεμηνῦσθαί τινα Σωκράτει παρεπομένου δαίμονος αὐτῷ, καὶ Ἀριστοτέλης δαίμοσι κεχρῆσθαι πάντας ἀνθρώπους λέγει συνομαρτοῦσιν αὐτοῖς παρὰ τὸν χρόνον τῆς ἐνσωματώσεως, προφητικὸν τοῦτο μάθημα λαβὼν καὶ καταθέμενος εἰς τὰ ἑαυτοῦ βιβλία, μὴ ὁμολογήσας ὅθεν ὑφείλετο τὸν λόγον τοῦτον. »

---

divina et pulchra. Quum autem sit facultate quadripartita, duas habet medietates, arithmeticam et harmonicam; apparetque partes ejus, magnitudines et exsuperantias numero et mensuræ æqualitate constare. Nam in duobus quadrichordis cantilenæ sua modulatione concinnantur. » Atque hæc sunt verbis ejus expressa. Corpus porro ejus constare dicit ex partibus dissimilibus, sed quæ inter se consonent, quin et medietates earum arithmetica proportione consentire. Nam ima chorda ad summam proportione dupla coeunte, confici diapason consonantiam, quum hypate VI, nete XII numero repræsentetur. Paramese sesquialtera proportione hypatæ respondet, eique IX congruere, mediæ VIII diximus. At enim intervalla musicæ præcipua constare his rationibus certum est, diatessaron sesquitertia, diapente sesquialtera, diapason dupla proportione : interim etiam conservari rationem sesquioctavam, qualis est IX ad VIII et tonum exprimit. Jam id quoque accidit, ut harmonicæ partes a partibus et medietates a medietatibus secundum excessum arithmeticum et vim geometricam superentur atque ipsa superent. Atque has proprietates sic declarat Aristoteles : ut neta triente major sui, quam mese, sit : et eadem portione paramese hypaten excedat. Itaque relatio quædam intervallorum, sive discriminum, conficiatur, quum termini æqualibus portionibus superent mesam et paramesam et aliis superentur : utrobique sesquialtera et sesquitertia proportionibus rem gerentibus. Atque hæc est, quam harmonicam vocant auctionem. Nete autem a mesa, et paramese ab hypata, arithmeticis intervallorum discriminibus distant. Nam paramese mesam sesquioctava ratione excedit. Rursum nete ad hypatam dupla est, paramesam hypata semel ejusque semissem valet; et mesa ad hypatam est sesquitertia. His ergo partibus atque numeris harmonia de Aristotelis sententia componitur. Idem optime ex infiniti et finiti, paris et imparis, atque pariter imparis natura eandem constituit ejusque partes. Tota enim par est, quum constet quattuor terminis : partes ipsius proportionibus continentur, quorum termini sunt pares, impares, pariterque impares. Nete enim par est, quia XII numero exprimitur, paramese impar, quia IX, mesa pariter par, quia VIII. His ergo rationibus atque partibus conflata harmonia, sibi toti, omnibusque partibus consonat. Sed et sensus, qui ob harmoniam corporibus innati sunt, cælestes alii et divini, qui cum deo sensum præbent hominibus visus et auditus, cum voce et lumine harmoniam ostendunt : et alii sensus, horum comites, quatenus sensus sunt, secundum harmoniam constant. Nihil enim ne ipsi quidem sine harmonia conficiunt : minores sane illis, non tamen absque illis. Illi enim simul cum adventu dei præsto adsunt juxta rationem, et validam pulchramque habent naturam. Porro autem ex his planum fit, primis Græcis haud injuria id præcipuæ curæ fuisse, ut musicæ disciplinæ adolescentes imbuerent.

11.

Isidorus Basilidis simul filius et discipulus, in primo libro Expositionum Prophetæ Parchor ipse quoque scribit ad verbum : « Dicunt autem Attici quædam significata fuisse Socrati, dæmone eum consequente. Dicit etiam Aristoteles, omnes homines uti dæmonibus, qui eos sequuntur eo tempore quo migrent in corpus, quam quum a prophetis accepisset doctrinam, et in suos transtulisset libros, non tamen unde accepisset eam confitetur. »

XIII. ΠΕΡΙ ΕΥΧΗΣ.

Titulus περὶ Εὐχῆς α' apud Diog. Laert. (14) et apud Anon. (9) legitur. Ad hunc audacius referre conatus est versum e Varronis Eumenidibus fr. XXVI Riese :

Hospes, quid miras nummo curare Serapim?
Quid? quasi non curet tanti item Aristoteles?
Aut ambos mira aut noli mirare deum me
De eodem.

Jos. Scaliger, in libro quem sub nomine Yvonis Villiomari in locos controversos Rob. Titii edidit, IX, 12. Eodem plane modo ut hîc, Aristotelis nomen pro cujuslibet philosophi positum est apud eundem Varronem in Satura inscripta *Testamentum*, apud Gell. N. Att., III, 16, 13 (fr. 4 Riese).

1. (77.)

Seneca Quæst. Nat. VII, 30, 1 : *Egregie Aristoteles ait nunquam nos verecundiores esse debere, quam quum de dis agitur. Si intremus templa compositi ... quanto hoc magis facere debemus quum de sideribus, de eorum natura, de stellis disputamus, ne quid temere, ne quid imprudenter aut ignorantes adfirmemus aut scientes mentiamur.* Hæc ad dialogum de Philosophia retulit Bernays, l. l. p. 166.

2. (78.)

Simplicius in Arist. de Cælo, f. 235, cod. Paris. 1910 apud Rosium : Ὅτι γὰρ ἐννοεῖ τι καὶ ὑπὲρ τὸν νοῦν καὶ τὴν οὐσίαν ὁ Ἀριστοτέλης δῆλός ἐστι πρὸς τοῖς πέρασι τοῦ περὶ Εὐχῆς βιβλίου εἰπὼν, ὅτι ὁ θεὸς ἢ νοῦς ἐστιν ἢ ἐπέκεινά τι τοῦ νοῦ.

In edit. Aldina fol. 118 verso hæc ita expressa sunt : Ὅτι μὲν γὰρ νοεῖ τι καὶ ὑπὲρ τὸν νοῦν ὁ Ἀριστοτέλης καὶ ὑπὲρ τὴν οὐσίαν δῆλός ἐστι παρὰ τοῖς ἐσχάτοις τοῦ βιβλίου περὶ Προσευχῆς διαρρήδην λέγων· ὅτι ὁ θεὸς ἢ νοῦς ἐστιν ἤ τι καὶ ὑπὲρ νοῦν, quum in versione latina Guil. de Moerbeke, quam, ut A. Peyron ostendit, in *Fragm. Empedocl. et Parmenid.* Lips. 1810, p. 9, græcam fecit, qui Simplicium edidit, legantur (ed. Veneta, 1555, f. 74 recto) : *Quod enim intelligat aliquid et supra intellectum et supra substantiam Aristoteles manifestans* (-*us*) *est in calce libri de Oratore plane dicens quod deus aut intellectus est aut et aliquid ultra intellectum.* In his tamen male *de Oratore* pro *de Oratione* legitur, ut e verbis apparet quæ post finem vitæ Aristotelis latine versæ in multis codicibus adscripta sunt, cf. Arist. ed. Buhle, t. I, p. 59, quæ emendatiora e cod. Paris. lat. 7695, A, edidit Rosius (cf. *de Aristot. librorum ordine* p. 247) : *Fecit autem et Aristoteles librum de Oratione. Unde Simplicius : Quod enim intelligat et aliquid supra intellectum et super substantiam Aristoteles, manifestus est apud finem libri de Oratione plane dicens, quod deus aut intellectus est aut est aliquid ultra intellectum.*

XIV. ΠΕΡΙ ΕΥΓΕΝΕΙΑΣ.

De auctore dialogi περὶ Εὐγενείας α', quem præter utrumque indicem (Diog. Laert. 15, Anonym. 11, cf. Dschemalud. (6) *de generis Nobilitate, libri IV*) Athenæus et Diogenes Laertius laudant et ex quo majora excerpta præbet Joannes Stobæus, solus dubitat Plutarchus, vel quem secutus videtur Panætius, libri mentioni his verbis additis εἰ δὴ τὸ βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον. Quare vero id factum sit quum causa ignoretur, nisi tamen suspiceris Panætium, qui et de Socraticorum quorumdam dialogis dubitaverat (cf. Diog. Laert. II, 64), tali modo Socrati illatam criminationem diluere studuisse, de re ipsa non liquet. Ipsa vero fragmenta Aristotele nullo modo indigna sunt cum propter sententiarum acumen tum propter verborum elegantiam.

1. (79.)

Joann. Stob. Floril. 86, 24 : Ἐκ τοῦ Ἀριστοτέλους περὶ Εὐγενείας. Ὅλως περὶ εὐγενείας ἐγὼ ἀπορῶ, τίνας χρὴ καλεῖν τοὺς εὐγενεῖς. — Εἰκότως γε, ἔφην, τοῦτο σὺ διαπορῶν. Καὶ γὰρ παρὰ τῶν πολλῶν καὶ μᾶλλον παρὰ τῶν σοφῶν τὰ μὲν ἀμφισβητεῖται τὰ δ' οὐ λέγεται σαφῶς, εὐθὺς τὰ περὶ τῆς

DE PRECATIONE.

2.

Manifestum est Aristotelem intelligere aliquid supra intellectum et substantiam ex his quæ in calce libri de Precatione dixit : « Deus est sive intellectus aut aliquid ultra intellectum. »

DE NOBILITATE.

1.

De nobilitate autem ego plane dubito quosnam oporteat appellare nobiles. — Nec immerito, inquam, tu dubitas. Nam et apud vulgus et apud sapientes quædam in dubium vocantur et quædam non perspicue dicuntur et ita statim

δυνάμεως· λέγω δὲ τοῦτο, πότερον τῶν τιμίων ἐστὶ καὶ τῶν σπουδαίων ἢ καθάπερ Λυκόφρων ἔγραψε κενόν τι πάμπαν. Ἐκεῖνος γὰρ ἀντιπαραβάλλων ἑτέροις ἀγαθοῖς αὐτὴν, Εὐγενείας μὲν οὖν, φησίν, ἀφανὲς τὸ κάλλος, ἐν λόγῳ δὲ τὸ σεμνόν· ὡς πρὸς δόξαν οὖσαν τὴν αἵρεσιν αὐτῆς, κατὰ δ' ἀλήθειαν οὐθὲν διαφέροντας τοὺς ἀγεννεῖς τῶν εὐγενῶν.

In his secuti sumus Wyttenbachii et Luzacii emendationes : quorum ille ad Plutarchi Moralia t. V, p. 968, σὺ διαπορῶν pro εὖ, quæ est lectio codd., scripsit, hic vero in *Lectt. Att.* p. 87, κενόν et εὐγενείας, pro καινόν et εὐγένειαν. Post nomen Λυκόφρων in ed. Trincav. Ven. 1536, additur ὁ σοφιστής. Hujus mentionem nemo, quod sciam, præter Aristotelem fecisse videtur, cf. Physic. I, c. 2, § 15 (cf. Simplic. ad h. l. f. 20), Metaphys. VII, c. 6, § 6 (cf. Pseudo-Alex. Aphrod. p. 533, 18 Bonitz), Polit. III, c. 5, § 11, Rhetor. III, c. 3, § 1 et § 2, c. 9, § 7, de Soph. Elench. c. 16, § 16 (cf. Alex. Aphrod. ad h. l. f. 38).

2. (80.)

Joann. Stob. Floril. 86, 25 : Ἐν τῷ αὐτῷ. Ἀμφισβητεῖται δὲ καθάπερ καὶ περὶ τοῦ πηλίκον ἀγαθόν ἐστιν, οὕτω καὶ τίνας δεῖ καλεῖν εὐγενεῖς. Οἱ μὲν γὰρ τοὺς ἐξ ἀγαθῶν γονέων εὐγενεῖς εἶναι νομίζουσι, καθάπερ καὶ Σωκράτης· διὰ γὰρ τὴν Ἀριστείδου ἀρετὴν καὶ τὴν θυγατέρα αὐτοῦ γενναίαν εἶναι. Σιμωνίδην δέ φασιν ἀποκρίνασθαι διερωτώμενον τίνες εὐγενεῖς, τοὺς ἐκ πάλαι πλουσίων· καίτοι κατὰ τοῦτον τὸν λόγον οὐκ ὀρθῶς ἐπιτιμῶσιν ὁ Θέογνις οὐδ' ὁ ποιητὴς ὁ ποιήσας ὡς ὅτι

τὴν μὲν [γὰρ] εὐγένειαν αἰνοῦσιν βροτοί,
μᾶλλον δὲ κηδεύουσι τοῖσι πλουσίοις.
(Cf. Euripidis Fragm. ed. Wagner. Thyestes, 393).

Ἦ πρὸς Διὸς οὐχ αἱρετώτερος ὁ πλουτῶν αὐτὸς, ἢ οὗ ὁ πρόπαππος ἢ τῶν προγόνων τις πλούσιος ἦν, αὐτὸς δὲ πένης; — Πῶς γὰρ οὔκ; εἶπε. — Καὶ δέοι δ' ἂν κηδεύειν τοῖς πλουσίοις μᾶλλον ἢ τοῖς εὐγενέσιν· εὐγενεῖς γὰρ οἱ παλαιοί, κρείττους δὲ οἱ νῦν. Οὐκ οὖν ὁμοίως κἂν τις ὑπολαμβάνῃ οὐ τοὺς εὐγενεῖς εἶναι τοὺς ἐκ πάλαι πλουσίων ἀλλὰ τοὺς ἐξ ἀγαθῶν πάλαι; κρείττων γὰρ ἂν δόξειεν ἀρχαίας ἀρετῆς πρόσφατος καὶ μετέχειν μᾶλλον ἕκαστον πατρὸς ἢ προπάππου, αἱρετώτερον δ' αὐτὸν εἶναι σπουδαῖον ἀλλ' οὐ τὸν πρόπαππον ἤ τινα τῶν ἄλλων προγόνων. — Ὀρθῶς, ἔφη, λέγεις. — Ἆρ' οὖν οὐκ ἐπεὶ ἐν μηδετέρῳ τούτων ὁρῶμεν τὴν εὐγένειαν, σκεπτέον ἄλλον τρόπον; — Τίνα τοῦτον δήποτε; — Σκεπτέον δή, ἔφην. Τὸ εὖ σημαίνει τι δήπου τῶν ἐπαινετῶν καὶ σπουδαίων, οἷον τὸ εὐπρόσωπον καὶ εὐόφθαλμον· ἀγαθὸν γάρ τι ἢ καλὸν σημαίνει κατὰ τοῦτον τὸν λόγον. — Πάνυ γε, εἶπεν. — Οὐκ οὖν εὐπρόσωπον μέν ἐστι τὸ ἔχον ἀρετὴν προσώπου, εὐόφθαλμον δὲ τὸ ὀφθαλμοῦ ἀρετήν; — Οὕτως, εἶπεν. — Ἀλλὰ μὴν ἔστι γένος τὸ μὲν σπουδαῖον, τὸ δὲ φαῦλον ἀλλ' οὐ σπουδαῖον. — Πάνυ γε, εἶπε. — Σπουδαῖον δέ γέ φαμεν ἕκαστον κατὰ τὴν αὑτοῦ ἀρετὴν εἶναι, ὥστε καὶ γένος σπουδαῖον ὡσαύτως. — Οὕτως, εἶπε. — Δῆλον ἄρ', ἔφης, ὅτι ἐστὶν ἡ εὐγένεια ἀρετὴ γένους.

In his plura quæ in codd. corrupta sunt e criticorum conjecturis emendavimus. Quod post l. 8, ἐκ πάλαι πλουσίων, additur φάναι, nihili est, nec opus videtur pro eo ut Rosius conjiciebat φύντας corrigere. Poeta cujus versus afferuntur Euripides est, ut ex ipso Joannis Stobæi Floril. XCII, 3, apparet. Pro δέοιτ' l. 15, quæ lectio codd. est dedimus cum Halmio, *Lect. Stobens.*, I, 22 δέοι δ'. Ro-

---

de potentia quam nobilitas habeat. Hoc autem dico, pretiosa et studio digna sit an, ut Lycophron scripsit, aliquid omnino inane. Ille enim quum eam cum aliis bonis conferat non apparere dicit nobilitatis præstantiam, magnificentiam vero in verbis esse, ita ut ad famam appelletur, revera autem ignobiles nihil a nobilibus differant.

2.

Dubitatur autem, quemadmodum de ipsius boni essentia, ita et quosnam oporteat appellari nobiles. Aliqui enim nobiles putant esse, qui ex bonis parentibus nati sint, ut etiam Socrates. Nam propter virtutem Aristidis etiam filiam ejus generosam esse dicunt. Simonidem vero interrogatum, qui essent nobiles, respondisse dicunt, illos qui majoribus longo tempore locupletibus nati essent. Etsi secundum hoc dictum non jure succensent neque Theognis, neque poeta qui dixit :

Homines laudant quidem nobilitatem,
Affinitates autem potius ineunt cum ditioribus.

An hercle non præstat ille qui dives ipse fuerit, quam qui proavum aut alium inter majores suos divitem habuerit, at ipse pauper sit? — Qui aliter? inquit. — Et oporteret affines fieri divitum potius quam nobilium : nobiles enim sunt prisci homines, nostri vero temporis meliores. Atqui similiter aliquis ita secum reputaverit, non esse nobiles ex majoribus olim divitibus natos, sed ex bonis jam longo tempore. Virtus enim recens antiquiori melior esse videtur, et unumquemque plus a patre suo quam ab avo accepisse. Præstat autem, si quis ipse virtutis amator sit, quam si talem avum aut alium ex majoribus habuerit. — Recte loqui me dixit. — Nonne igitur, inquam, quandoquidem in istorum neutro nobilitatem deprehendimus, alia ratione eam inquiremus? — Quanam ista? — Quoniam nobilitas græce εὐγένεια vocatur, considerandum quod εὖ dictio aliquid laude studioque dignum

sius δέοι γ'; αὐτὸν l. 21, pro αὐτοῦ ut in codd. est Gesnerus, l. 23, λέγειν in λέγεις a Cobetio mutatum *Mnemos.*, t. IX, p. 140. Paulo post pro ἐνίοτε ut in codd. δήποτε Halm. l. l. Rosius αἰνίττει. Idem post σκεπτέον, pro δ' quod in codd. est δὴ dedit. Ἔφης vero pro ἔφην emendatio est Luzacii in *Lectt. Att.* p. 89.

3. (81.)

Joann. Stob. Floril., 88, 13 : Ἐκ τοῦ Ἀριστοτέλους περὶ Εὐγενείας. Φανερὸν τοίνυν, ἔφην ἐγώ, περὶ ὧν πάλαι διηπορησάμην, διὰ τί ποτε οἱ ἐκ πάλαι πλουσίων ἢ οἱ ἐκ πάλαι σπουδαίων εὐγενέστεροι δοκοῦσιν εἶναι μᾶλλον τῶν σύνεγγυς τἀγαθὰ κεκτημένων. Αὐτὸς γὰρ ἐγγύτερος σπουδαῖος ὢν ἢ πάππου σπουδαίου τετυχηκώς, ὥστ' εἴη ἂν εὐγενὴς ὁ ἀγαθὸς ἀνήρ. Καί τινες εἰρήκασιν οὕτως ἐκ τοῦ διελέγχειν προσποιούμενοι τὸν συλλογισμὸν τῆς εὐγενείας, ὥσπερ φησὶ καὶ Εὐριπίδης, οὐχὶ τῶν ἐκ πάλαι σπουδαίων εὐγένειαν φάμενος εἶναι, ἀλλ' ὅστις ἀνὴρ ἀγαθὸς ἁπλῶς. Τὸ δ' οὐκ ἔστιν· ἀλλ' ὀρθῶς ζητοῦσιν οἱ τὴν ἀρχαίαν ἀρετὴν προτιθέντες. Τὰ δ' αἴτια εἴπομεν, τουτέστιν ὅτι ἡ μὲν εὐγένειά ἐστιν ἀρετὴ γένους, ἡ δ' ἀρετὴ σπουδαῖον· σπουδαῖον δ' ἐστὶ γένος, ἐν ᾧ πολλοὶ σπουδαῖοι πεφύκασιν ἐγγίνεσθαι. Συμβαίνει δὲ τὸ τοιοῦτον, ὅταν ἐγγένηται ἀρχὴ σπουδαία ἐν τῷ γένει· ἡ γὰρ ἀρχὴ τοιαύτην ἔχει τὴν δύναμιν, πολλὰ παρασκευάζειν οἷάπερ αὐτή· τοῦτο γάρ ἐστιν ἀρχῆς ἔργον, ποιῆσαι οἷον αὐτὴ ἕτερα πολλά. Ὅταν οὖν ἐγγένηται τοιοῦτος εἷς τις ἐν τῷ γένει καὶ οὕτω σπουδαῖος ὥστ' ἔχειν τὸ ἀπ' ἐκείνου ἀγαθὸν πολλὰς γενεάς, τοῦτο σπουδαῖον ἀνάγκη εἶναι τὸ γένος. Πολλοὶ γὰρ ἔσονται σπουδαῖοι ἄνθρωποι, ἄν τε ἀνθρώπων ᾖ τὸ γένος, ἄν τε ἵππων, ἵπποι· ὁμοίως δὲ καὶ ἐπὶ τῶν ἄλλων ζῴων. Ὥστ' εὐλόγως οὐχ οἱ πλούσιοι οὐδ' οἱ ἀγαθοί, ἀλλ' οἱ ἐκ πάλαι πλουσίων ἢ ἐκ πάλαι ἀγαθῶν εὐγενεῖς εἶεν ἄν. Ζητεῖ γὰρ ὁ λόγος τἀληθῆ. Ἀρχὴ γὰρ ἄνωθεν πάντων. Οὐ μὴν ἀλλ' οὐδ' οἱ ἐκ προγόνων ἀγαθῶν εὐγενεῖς πάντως, ἀλλ' ὅσοις τυγχάνουσιν ἀρχηγοὶ τῶν προγόνων ὄντες. Ὅταν μὲν οὖν αὐτὸς ἀγαθὸς, μὴ ἔχῃ δὲ τοιαύτην δύναμιν τῆς φύσεως ὡς τίκτειν πολλοὺς ὁμοίους, οὐκ ἔχει ἡ ἀρχὴ τοιαύτην δύναμιν ἐν τούτοις... Ἀρετὴ τοῦ γένους καὶ εὐγενεῖς οἱ ἀπὸ τούτου τοῦ γένους ὄντες, οὐκ ἐὰν ὁ πατὴρ εὐγενὴς ᾖ, ἀλλ' ἐὰν ὁ ἀρχηγὸς τοῦ γένους. Οὐ γὰρ δι' αὐτὸν ὁ πατὴρ ἐγέννησεν ἀγαθόν, ἀλλ' ὅτι ἐκ τοιούτου γένους ἦν.

Quæ hîc leguntur verba : Ὅστις ἀνὴρ ἀγαθός a Gesnero posita sunt pro lectione cod. A οἷς τισιν, vel ed. Ven. οἷς τὶς ἀνὴρ ἀγαθός. Pro ἀλλ' ὅσοις, codd. ὅσοι, in quibus etiam pro οὐκ ἔχει ἡ ἀρχή, οὐκ ἔχει ἀρχήν legitur, quod Gesnerus emendavit. Cum verbis : τοῦτο γάρ ἐστιν ἀρχῆς ἔργον κτλ. quodammodo conferri possunt quæ in libris de Anima II, c. 4, leguntur, cum totius vero loci sententia optime congruit quod dictum est Polit. IV, 6, 5 : ἡ γὰρ εὐγένειά ἐστιν ἀρχαῖος πλοῦτος καὶ ἀρετή.

---

significet, ut εὐπρόσωπον (*faciem pulchram habens*), εὐόφθαλμον (*pulchris oculis ornatum*). Bonum enim aut pulchrum aliquid his verbis indicatur. — Maxime vero. — Videlicet εὐπρόσωπον est, quod faciei, εὐόφθαλμον, quod oculi virtutem habet? — Sic est, inquit. — Porro genus aliud laudabile est, aliud vile, studioque indignum. — Ita profecto. — Laude autem studiove dignam rem quamlibet virtutis suæ merito vocamus : itaque genus etiam laudabile similiter nominandum est. — Nominandum, dixit. — Constat igitur, inquam, nobilitatem generis virtutem esse.

3.

Nunc igitur de illis constat, quæ pridem in dubium vocavimus, quam ob causam ex majoribus olim aut divitibus aut bonis nati, nobiliores videantur esse illis, qui bona propinquiora possident. Propinquius autem bona possidet, qui ipse bonus fuerit, quam qui avum habuerit virtutis studiosum. Itaque nobilis fuerit quicunque bonus est. Sic enim aliqui syllogismo colligunt, redarguere cupientes illos qui aliter sentiunt. Euripides etiam nobilem esse ait, non qui majoribus longo jam tempore bonis natus sit, sed qui vir bonus ipse fuerit simpliciter. Quod quidem non ita se habet, sed recte quæstionem instituunt, qui virtutem antiquam præponunt. Causas autem diximus : quoniam videlicet nobilitas virtus est generis, virtus autem res laudabilis studioque digna est. Item genus, in quo multi studiosi bonique fuerint, laudem studiumque meretur. Fit autem tale genus, quum principium ejus laudabile fuerit. Principium enim hanc facultatem habet ut multa efficiat quale ipsum est. Hæc enim vis est principii ut plurima quale ipsum est efficiat. Quum igitur unus talis in aliquo genere fuerit, adeoque bonus, ut virtus ab ipso in multas ætates transfundatur, hoc certe genus omni laude studioque dignissimum erit. Sic enim permulti fient studiosi homines, si genus humanum sit, si equorum vero equi, atque aliis animalibus eadem est ratio. Proinde merito non divites, neque boni, sed qui a priscis divitibus aut antiquis bonis descenderint, nobiles judicandi sunt, si veritatem inquiras. Omnium enim principium longa retro origine deducitur. At neque simpliciter nobiles sunt, qui a bonis majoribus nati fuerint : sed illi tantum qui progenitores seu generandi auctores esse possunt. Si quis igitur ipse bonus est, non pollet autem hac naturæ facultate, ut multos sibi similes generet, principii rationem ad posteritatem non habet... Generis nobilitas et

4. (82.)

Diog. Laert., II, 26 : Φησὶ δ' Ἀριστοτέλης δύο γυναῖκας αὐτὸν (τὸν Σωκράτην) ἀγαγέσθαι, προτέραν μὲν Ξανθίππην, ἐξ ἧς αὐτῷ γενέσθαι Λαμπροκλέα· δευτέραν δὲ Μυρτὼ, τὴν Ἀριστείδου τοῦ δικαίου θυγατέρα, ἣν καὶ ἄπροικον λαβεῖν, ἐξ ἧς γενέσθαι Σωφρονίσκον καὶ Μενέξενον. Οἱ δὲ προτέραν γῆμαι τὴν Μυρτώ φασιν· ἔνιοι δὲ καὶ ἀμφοτέρας σχεῖν ὁμοῦ, ὧν ἐστὶ Σάτυρός τε καὶ Ἱερώνυμος ὁ Ῥόδιος. Φασὶ γὰρ βουληθέντας Ἀθηναίους διὰ τὸ λειπανδρεῖν συναυξῆσαι τὸ πλῆθος, ψηφίσασθαι γαμεῖν μὲν ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ ἐξ ἑτέρας, ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην.

Plutarch. Vit. Arist., c. 27 : Δημήτριος δ' ὁ Φαληρεὺς καὶ Ἱερώνυμος ὁ Ῥόδιος καὶ Ἀριστόξενος ὁ μουσικὸς καὶ Ἀριστοτέλης, εἰ δὴ τὸ περὶ Εὐγενείας βιβλίον ἐν τοῖς γνησίοις Ἀριστοτέλους θετέον, ἱστοροῦσι Μυρτὼ θυγατριδῆν Ἀριστείδου Σωκράτει τῷ σοφῷ συνοικῆσαι, γυναῖκα μὲν ἑτέραν ἔχοντι, ταύτην δ' ἀναλαβόντι χηρεύουσαν διὰ πενίαν καὶ τῶν ἀναγκαίων ἐνδεομένην. Πρὸς μὲν οὖν τούτους ἱκανῶς ὁ Παναίτιος ἐν τοῖς περὶ Σωκράτους ἀντείρηκεν.

Athen. XIII, p. 556, A : Ἐκ τούτων οὖν τις ὁρμώμενος μέμψαιτ' ἂν τοὺς περιτιθέντας Σωκράτει δύο γαμετὰς γυναῖκας, Ξανθίππην καὶ τὴν Ἀριστείδου Μυρτὼ, οὐ τοῦ δικαίου καλουμένου, οἱ χρόνοι γὰρ οὐ συγχωροῦσιν, ἀλλὰ τοῦ τρίτου ἀπ' ἐκείνου. Εἰσὶ δὲ Καλλισθένης, Δημήτριος ὁ Φαληρεὺς, Σάτυρος ὁ Περιπατητικὸς, Ἀριστόξενος, οἷς τὸ ἐνδόσιμον Ἀριστοτέλης ἔδωκεν ἱστορῶν τοῦτο ἐν τοῖς περὶ Εὐγενείας. Εἰ μὴ ἄρα συγκεχωρημένον κατὰ ψήφισμα τοῦτο ἐγένετο τότε διὰ σπάνιν ἀνθρώπων, ὥστ' ἐξεῖναι καὶ δύο ἔχειν γυναῖκας τὸν βουλόμενον..... ἀντεῖπε δὲ τοῖς λέγουσι περὶ τῶν Σωκράτους γυναικῶν Παναίτιος ὁ Ῥόδιος.

De duplici Socratis matrimonio uberrima est disputatio Luzacii, in libro *Lectiones atticæ, sive de* Διγαμίᾳ *Socratis*, Lugd. Batav. 1809, qui et posteriores nominat scriptores apud quos hujus rei mentio facta est.

XV. (ΠΕΡΙ ΗΔΟΝΗΣ.)

Libri περὶ Ἡδονῆς inscripti bis mentio apud Diogenem fit, primum inter dialogos (16), quo loco et apud Anonymum nominatur (15, cf. Dschemaluddin. 18, *de Voluptate, liber I*), deinde vero (66), ubi in cod. Laur. περὶ Ἡδονῶν α' legitur. In catalogo scriptorum Theophrasti, p. 5, 5 apud Usener. *Analecta Theophrastea*, affertur titulus : περὶ Ἡδονῆς ὡς Ἀριστοτέλης α', et statim post περὶ Ἡδονῆς ἄλλο α'. Theophrastum περὶ Ἡδονῆς laudat Athenæus XII, p. 511, C et 526, D quum de auctore libri alibi ambigit, VI, p. 273, C : Χαμαιλέων ὁ Ποντικὸς ἐν τῷ περὶ Ἡδονῆς· τὸ δ' αὐτὸ βιβλίον καὶ ὡς Θεοφράστου φέρεται· et VIII, p. 347, E : Θεόφραστος ἢ Χαμαιλέων ἐν τῷ περὶ Ἡδονῆς. Duo igitur de Voluptate libri exstitisse videntur, quorum alterius auctor sive Aristoteles sive Theophrastus habebatur, alterius vero sive Theophrastus sive Chamæleon.

Quæ sequuntur fragmenta ad nullum aptius referri posse puto librum, quam ad dialogum περὶ Ἡδονῆς. Philoxeni dictum ipse Aristoteles in Ethic. Nicom. III, 10, 9, tangit, ubi de voluptate loquitur (cf. Ethic. Eudem., III, 2, Problem., XXVIII, 7), Sardanapali vero mentionem Theophrastus in dialogo περὶ Ἡδονῆς fecerat, teste Athenæo, XII, p. 511, C. Cf. quæ e dialogo Heraclidis Pontici περὶ Ἡδονῆς apud eundem leguntur, p. 512, A.

---

nobiles qui ex illo sunt genere oriundi. Non sufficit autem patrem esse virum excellentem, sed antiquum generis auctorem talem fuisse oportet. Neque enim pater per se bonum genuit, sed quia ex tali genere erat.

4.

Duas illum (Socratem) uxores duxisse, priorem Xanthippen, ex qua Lamproclem genuerit; alteram Myrtonem, Aristidis illius justi filiam, quam et sine dote acceperit, quæque ipsi Sophroniscum Menexenumque pepererit, Aristoteles auctor est. Alii Myrtonem illum prius duxisse, nonnulli utrasque simul habuisse tradunt, ex quibus et Satyrus est et Hieronymus Rhodius.

Demetrius Phalereus, Hieronymus Rhodius, Aristoxenus musicus et Aristoteles (si modo liber de Nobilitate inter germanos est Aristotelis libros recensendus) Myrto tradunt Aristidis ex filia neptim a Socrate illo sapiente domum acceptam : habuisse quidem illum aliam uxorem, verum eum hanc ob inopiam viduam et omnium rerum egenam recepisse. Ceterum refellit hæc abunde Panætius in libris quos de Socrate scripsit.

His positis non injuria quispiam arguat eos qui uxores duas Socratem habuisse prodiderunt, Xanthippen nimirum et Myrto, Aristidis, non cognomento Justi filiam (repugnant enim tempora), sed ejus qui ab eo tertius est. Auctores ejus rei sunt Callisthenes, Demetrius Phalereus, Satyrus Peripateticus, Aristoxenus : quibus ad id scribendum ansam dedit Aristoteles, qui libro de Nobilitate literis id mandavit... His qui de duabus Socratis uxoribus scripserunt, contradixit Panætius Rhodius.

1. (83.)

Athen. Epit., I, p. 6, D : Ἄλλοι δὲ φίλιχθυν τὸν Φιλόξενόν φασιν. Ἀριστοτέλης δὲ φιλόδειπνον ἁπλῶς, ὃς καὶ γράφει που ταῦτα· « Δημηγοροῦντες ἐν τοῖς ὄχλοις κατατρίβουσιν ὅλην τὴν ἡμέραν ἐν τοῖς θαύμασι καὶ πρὸς τοὺς ἐκ τοῦ Φάσιδος ἢ Βορυσθένους καταπλέοντας, ἀνεγνωκότες οὐδὲν πλὴν εἰ τὸ Φιλοξένου Δεῖπνον οὐδ' ὅλον.

2. (84.)

Athen., VIII, p. 335, F : Τί γὰρ τῶν ἐπιτρῖψαι δυναμένων παρέλιπεν ὁ καλὸς οὗτος ἐποποιὸς (Ἀρχέστρατος scil.) καὶ μόνος ζηλώσας τὸν Σαρδαναπάλλου τοῦ Ἀνακυνδαράξεω βίον, ὃν ἀδιανοητότερον εἶναι κατὰ τὴν προσηγορίαν τοῦ πατρὸς Ἀριστοτέλης ἔφη. Ἐφ' οὗ τοῦ τάφου ἐπιγεγράφθαι φασὶ Χρύσιππος τάδε·

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς τὸν θυμὸν ἄεξε.
Κεῖν' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ σὺν ἔρωτι
Τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλυνται.....

Cicero Disputat. Tuscul., V, 35 : *Ex quo Sardanapali opulentissimi Syriæ regis error agnoscitur, qui incidi jussit in busto :*

Hæc habeo quæ edi quæque exsaturata libido
Hausit : at illa jacent multa et præclara relicta.

Quid aliud, inquit Aristoteles, in bovis, non in regis, sepulcro inscriberes? Hæc habere se mortuum dicit, quæ ne vivus quidem diutius habebat quam fruebatur. Cf. de Finibus II, 32, 106 : *Corporis autem voluptas si etiam præterita delectat, non intelligo cur Aristoteles Sardanapali epigramma tanto opere derideat, in quo ille rex Syriæ glorietur se omnes secum libidinum voluptates abstulisse. Quod enim ne vivus quidem, inquit, diutius sentire poterat quam dum fruebatur, quo modo id potuit mortuo permanere?*

Alias inscriptiones e Clearcho περὶ Βίων affert Athenæus, XII, p. 529, A et ex Aristobulo, XII, p. 530, A : Ἐπιγεγράφθαι δὲ αὐτῷ Ἀσσυρίοις γράμμασι· « Σαρδανάπαλλος Ἀνακυνδαράξεω παῖς, Ἀγχιάλην καὶ Ταρσὸν ἔδειμεν ἡμέρῃ μιῇ. Ἔσθιε, πῖνε, παῖζε· ὡς τἄλλα τούτου οὐκ ἄξια. » Quinque tantum versus, ex iis qui apud Athenæum leguntur, habet Diodorus, II, 23; duos vero quos laudat Cicero græce ita exhibet Strabo, XIV, p. 672 : Καὶ δὴ καὶ περιφέρεται τὰ ἔπη ταυτί·

Ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα καὶ μετ' ἔρωτος
Τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια πάντα λέλειπται.

Cf. Davisius ad Cic. Tusc., V, 35, Næke ad Chœrili Fragm., p. 196, sqq.

XVI. ΠΕΡΙ ΒΑΣΙΛΕΙΑΣ.

Ad dijudicandam quæstionem quanam forma conscriptus fuerit περὶ Βασιλείας liber, cujus titulus inter dialogos apud Diogenem (18) et Anonymum (16) legitur, præcipue valent quæ duobus in locis de eo a Cicerone dicta sunt. Ita enim ille de consilio quod aliquandiu agitaverat, mittendæ ad Cæsarem cohortatoriæ sive suasoriæ epistolæ, Ep. ad Attic., XII, 40, 2 : Συμβουλευτικὸν *sæpe conor : nihil reperio : et quidem mecum habeo et* Ἀριστοτέλους et Θεοπόμπου πρὸς Ἀλέξανδρον : *sed quid simile? Illi et quæ ipsis honesta essent scribebant et grata Alexandro. Ecquid tu ejusmodi reperis? Mihi quidem nihil in mentem venit.* Susceptum vero consilium plane se abjecisse cum Ep. XIII, 31, tum præsertim XIII, 28, 2, hisce testatur verbis : *De epistola ad Cæsarem, jurato mihi crede, non possum : nec me turpitudo deterret, etsi maxime debeat. Quam enim turpis est assentatio, quum vivere ipsum turpe sit nobis? Sed ut cœpi, non me hoc turpe deterret, ac vellem quidem : essem enim qui esse debeam, sed in mentem nihil venit. Nam quæ sunt ad Alexandrum hominum eloquentium et doctorum suasiones, vides quibus in rebus versentur : adolescentem, incensum cupiditate verissimæ gloriæ, cupientem sibi aliquid consilii dari quod ad laudem sempiternam valeret, cohortantur, ad decus non deest oratio.* Quæ si, ut e sequentibus fragmentis apparet, ad librum περὶ Βασιλείας referenda sunt, non jam de dialogo cogitandum erit, sed de cohortatoria quadam epistola sive oratione, qualis Theopompi quoque liber fuit, cum quo a Cicerone conjungitur. At hunc Athenæus semel, IV, p. 230, B, Συμβουλαὶ πρὸς Ἀλέξανδρον, in altero vero loco, XIII, p. 595, A, Ἐπιστολὴ πρὸς Ἀλέξανδρον vocat. Ad

---

DE VOLUPTATE.

1.

Philoxenum alii piscium amantem dicunt; Aristoteles vero nude cœnarum studiosum; qui etiam alicubi sic scribit : « Qui in circulis conciones habent, totumque diem præstigia spectant et cum iis versantur qui e Phasi aut Borysthene huc adpellunt : legerunt autem nihil quidquam, nisi forte Philoxeni Cœnam, ac ne eam quidem totam!

2.

Sardanapalum, Anacyndaraxæ filium, obscuriorem reddi adjecto patris nomine Aristoteles dixit.

ipsa vero Ciceronis verba, de quibus ambigi nullo modo potest, accedit testimonium magis etiam disertum Ammonii qui vocatur, Proleg. in Categor. f. 9 verso (p. 35, B, 14 Brand.) : Μερικὰ μὲν οὖν ἐστιν, ὅσα πρός τινα ἰδίᾳ γέγραπται, ὡς ἐπιστολαὶ ἢ ὅσα ἐρωτηθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος περί τε βασιλείας καὶ ὅπως δεῖ τὰς ἀποικίας ποιεῖσθαι γεγράφηκε, in quibus illud tantum falsum esse videtur, quod dicitur Aristotelem ab Alexandro rogatum fuisse ut de regni officio scriberet.

De arabica libri περὶ Βασιλείας versione, quæ in codice Vaticano sub hoc titulo : *Epistola Aristotelis ad Alexandrum magnum de regio regimine*, exstare dicitur, cf. Dressel, *Philologus*, t. XVI, p. 353, et præterea quæ narrat Minoïdes-Mynas, in notis ad Gennadium contra Plethonem, p. 173.

1. (85.)

Pseudo-Ammon. Vita Aristot., f. 5 verso (p. 11, 45 Westerm.) : Τῷ δ' Ἀλεξάνδρῳ καὶ περὶ Βασιλείας ἔγραψεν ἐν ἑνὶ μονοβίβλῳ, παιδεύων αὐτὸν ὅπως δεῖ βασιλεύειν.

Eadem brevius Joann. Philoponus (cf. Vit. Marc., p. 5 Robbe) : Ἵνα δὲ καὶ πάντας ἀνθρώπους εὐεργετήσῃ, γράφει τῷ Ἀλεξάνδρῳ βιβλίον περὶ Βασιλείας, διδάσκων ὅπως βασιλευτέον. Ὅπερ οὕτως ἴδρασεν εἰς τὴν Ἀλεξάνδρου ψυχήν, ὡς λέγειν ὅτε μὴ ὠφέλησέ τινα· « Σήμερον οὐκ ἐβασίλευσα, οὐδένα γὰρ εὖ ἐποίησα. »

2. (86.)

Plutarch. de Alexandri Fort. aut Virt. I, c. 6 : Οὐ γάρ, ὡς Ἀριστοτέλης συνεβούλευεν αὐτῷ (τῷ Ἀλεξάνδρῳ scil.), τοῖς μὲν Ἕλλησιν ἡγεμονικῶς, τοῖς δὲ βαρβάροις δεσποτικῶς χρώμενος· καὶ τῶν μὲν ὡς φίλων καὶ οἰκείων ἐπιμελούμενος, τοῖς δὲ ὡς ζώοις ἢ φυτοῖς προσφερόμενος, πολεμοποιῶν φυγῶν ἐνέπλησε καὶ στάσεων ὑπούλων τὴν ἡγεμονίαν, ἀλλὰ κοινὸς ἥκειν θεόθεν ἁρμοστὴς καὶ διαλλακτὴς τῶν ὅλων νομίζων etc.

Inde patet de Aristotele intelligenda esse et quæ ex Eratosthene apud Strabonem, l. I, p. 116, afferuntur : Ἐπὶ τέλει δὲ τοῦ ὑπομνήματος (cf. Bernhardy, Eratosthenica, p. 70, LVI), οὐκ ἐπαινέσας τοὺς δίχα διαιροῦντας ἅπαν τὸ τῶν ἀνθρώπων πλῆθος εἴς τε Ἕλληνας καὶ βαρβάρους καὶ τοὺς Ἀλεξάνδρῳ παραινοῦντας, τοῖς μὲν Ἕλλησιν ὡς φίλοις χρῆσθαι, τοῖς δὲ βαρβάροις ὡς πολεμίοις, βέλτιον εἶναί φασιν ἀρετῇ καὶ κακίᾳ διαιρεῖν ταῦτα... διόπερ τὸν Ἀλέξανδρον ἀμελήσαντα τῶν παραινούντων, ὅσους οἷόν τ' ἦν ἀποδέχεσθαι τῶν εὐδοκίμων ἀνδρῶν καὶ εὐεργετεῖν. Cf. Aristotel. Polit., III, 4.

3. (87.)

Themist. Orat., VIII, p. 107, C Hard. : Πλάτων μὲν οὖν, εἰ καὶ τὰ ἄλλα ταῦτα θεῖος καὶ αἰδοῖος, ἀλλὰ τοῦτόν γε ἀτεχνῶς ἀποκεκινδυνευμένως προήκατο λόγον (de Republ., p. 473, D), ὅτι μὴ πρότερον τὰ κακὰ λήξει τοῖς ἀνθρώποις, πρὶν ἂν ἢ φιλόσοφοι βασιλεύσωσιν ἢ βασιλεῖς φιλοσοφήσωσιν. Ἐλήλεγκται δὲ ὁ λόγος καὶ δέδωκεν εὐθύνας τῷ χρόνῳ. Ἄγασθαι δὲ ἄξιον Ἀριστοτέλην, ὅτι μικρὸν τὰ Πλάτωνος ῥήματα μεταθεὶς τὸν λόγον πεποίηκεν ἀληθέστερον· φιλοσοφεῖν μὲν τῷ βασιλεῖ, οὐχ ὅπως ἀναγκαῖον εἶναι φάσκων, ἀλλὰ καὶ ἐμποδών, τὸ δὲ φιλοσοφοῦσιν ἀληθινῶς ἐντυγχάνειν εὐπειθῆ καὶ εὐήκοον· ἔργων γὰρ ἀγαθῶν τὴν βασιλείαν ἐνέπλησεν, οὐχὶ ῥημάτων. Cf. Isocrat. Epist. V, 3, Dio Chrysost., Orat. II, 26.

DE REGNO.

1.

Alexandro scripsit de Regno librum singularem, quo eum quæ regis officia essent docuit.

Ut autem et omnibus hominibus universaliter benefecerat, scripsit Alexandro librum unum de Regno, docens ipsum qualiter oporteat regnare; et in tantum movit animam Alexandri ad faciendum, quod dicebat : Quod non benefeci aliquibus hodie non regnavi (*vetus versio latina*).

2.

Aristoteles jubebat Alexandrum Græcis se tanquam principem, barbaris tanquam dominum præbere, et illorum quidem ut amicorum et domesticorum curam gerere, his tanquam brutis aut stirpibus uti.

3.

Plato quidem, licet cetera omnia divinus ac venerabilis, hanc tamen sententiam periculose admodum emisit, non prius hominibus mala desitura, quam aut philosophi regnent, aut reges philosophentur. Quam quidem sententiam temporis ipsius experientia convicit ac redarguit. Aristotelem autem potius admirari par est, qui Platonis verba paululum immutans, veriorem sermonem expressit : totum illud philosophari non modo regi non necessarium, sed et impedimento esse dictitans : satis autem esse, si vere philosophantibus pareat atque obsequatur : factis enim præclaris, non verbis regnum impleverit.

XVII. ΑΛΕΞΑΝΔΡΟΣ Η ΥΠΕΡ ΑΠΟΙΚΩΝ.

Cum libro περὶ Βασιλείας conjungitur alius qui apud Diogenem (17) vocatur Ἀλέξανδρος ἢ ὑπὲρ ἀποίκων α', et rectius fortasse apud Anonymum (22) Ἀλ. ἢ ὑπὲρ ἀποικιῶν, etiam in commentario ad Categorias Ammonio adscripto, f. 9 verso, p. 35, B, 14 :

(88.)

Μερικὰ μὲν οὖν ἐστιν, ὅσα πρός τινα ἰδίᾳ γέγραπται, ὡς Ἐπιστολαὶ ἢ ὅσα ἐρωτηθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ Μακεδόνος περί τε βασιλείας καὶ ὅπως δεῖ τὰς ἀποικίας ποιεῖσθαι γεγράφηκε.

XVIII. ΠΕΡΙ ΠΑΙΔΕΙΑΣ.

Περὶ Παιδείας α', Diog. Laert. (19), περὶ Παιδείας ἢ Παιδευτικὸν, α', Anon. (22), *de Institutione morumque elegantia, libri IV*, Dschemaludd. (4).

1. (89.)

Diogen. Laert., IX, 53 : Καὶ πρῶτος (ὁ Πρωταγόρας scil.) τὴν καλουμένην τύλην, ἐφ' ἧς τὰ φορτία βαστάζουσιν, εὗρεν, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ Παιδείας· φορμοφόρος γὰρ ἦν, ὥς καὶ Ἐπίκουρός που φησί. Καὶ τοῦτον τὸν τρόπον ἤρθη πρὸς Δημόκριτον, ξύλα δεδεχὼς ὀφθείς. Cf. Suidas, s. v. κοτύλη. Aul. Gell. N. Att., V, 3.

2. (90.)

Plutarch. Quæst. conv., VIII, 10, 1 : Προβλήμασιν Ἀριστοτέλους φυσικοῖς ἐντυγχάνων Φλῶρος εἰς Θερμοπύλας κομισθεῖσιν, αὐτός τε πολλῶν ἀποριῶν, ὅπερ εἰώθασι πάσχειν ἐπιεικῶς αἱ φιλόσοφοι φύσεις, ὑπεπίμπλατο καὶ τοῖς ἑταίροις μετεδίδου, μαρτυρῶν αὐτῷ τῷ Ἀριστοτέλει, λέγοντι τὴν πολυμάθειαν πολλὰς ἀρχὰς ποιεῖν. Reiskius πολλὰς [ἀποριῶν] ἀρχὰς, rectius fortasse quam Wyttenbachius, qui ταραχὰς scribi voluit.

3. (91.)

Joann. Stob. Floril. III, 54 : Ἀριστοτέλους. Νόμιζε (νομίζειν δεῖ cod. Max.) τὴν εὐδαιμονίαν οὐχ ἐν τῷ πολλὰ κεκτῆσθαι γίγνεσθαι, ἀλλ' ἐν τῷ τῇ ψυχῇ εὖ διακεῖσθαι. Καὶ γὰρ οὐδὲ τὸ σῶμα αὐτὸ (οὐ τὸ Bernaysius) τὸ λαμπρᾷ ἐσθῆτι κεκοσμημένον φαίη τις εἶναι μακάριον, ἀλλὰ τὸ τὴν ὑγίειαν ἔχον καὶ σπουδαίως διακείμενον, κἂν μηδὲν τῶν προειρημένων (παραρτημάτων conj. Bernays.) αὐτῷ παρῇ· τὸν αὐτὸν δὲ τρόπον καὶ ἡ ψυχὴ ἐὰν ᾖ πεπαιδευμένη, τὴν τοιαύτην καὶ τὸν τοιοῦτον ἄνθρωπον εὐδαίμονα προσαγορευτέον ἐστὶν, οὐκ ἂν τοῖς ἐκτὸς ᾖ λαμπρῶς κεκοσμημένος αὐτὸς μηδενὸς ἄξιος ὤν. Οὔτε (οὐδὲ Bern.) γὰρ ἵππον κἂν ψέλλια χρυσᾶ καὶ σκευὴν ἔχῃ πολυτελῆ (αὐτὸς add. Bern.) φαῦλος ὤν, τὸν τοιοῦτον ἄξιόν τινος νομίζομεν εἶναι, ἀλλ' ὃς ἂν διακείμενος ᾖ σπουδαίως, τοῦτον μᾶλλον ἐπαινοῦμεν. Ὥσπερ γὰρ εἴ τις τῶν οἰκετῶν αὐτοῦ χείρων εἴη, καταγέλαστος ἂν γένοιτο, τὸν αὐτὸν τρόπον οἷς πλείονος ἀξίαν τὴν κτῆσιν εἶναι συμβέβηκε τῆς ἰδίας φύσεως, ἀθλίους τούτους εἶναι δεῖ νομίζειν. Καὶ τοῦτο κατ' ἀλήθειαν οὕτως ἔχει· τίκτει γὰρ, ὥσπερ φησὶν ἡ παροιμία, κόρος μὲν ὕβριν, ἀπαιδευσία δὲ μετ' ἐξου-

---

ALEXANDER SIVE PRO COLONIS.

Particularia appellantur scripta Aristotelis quæcunque proprie ad aliquem scripta sunt, ut Epistolæ, vel quæ ab Alexandro Macedone rogatus sive de Regno sive de ducendis coloniis scripsit.

DE INSTITUTIONE.

1.

Protagoras primus quam nuncupant culcitam, in qua onera portant, invenit, ut Aristoteles in libro de Institutione ait : erat enim bajulus, ut etiam Epicurus alicubi memorat. Atque hunc in modum Democrito innotuit, quum ligna scite et concinne colligasset ab eo conspectus.

2.

Florus quum faceret lectionum Quæstionum Aristotelis physicarum, ad ipsum Thermopylas allatarum, tum ipse multas animo dubitationes concepit, ut solent ingenia doctrinæ studiosa, tum sodales iis impertivit, testimonium ferens Aristoteli qui dixit, multam sciendi cupiditatem multa facere principia (*quæstionum*).

3.

Existimandum est felicitatem non in magnitudine possessionis esse sitam, sed in bono statu animæ. Etenim neque corpus ornatum veste splendida beatum aliquis dixerit, sed quod sanitate fruitur et bene se habet, licet nihil ex prædictis ei adsit. Eodem modo si anima bene sit instituta, ipsam et hominem hujusmodi felicem appellari decet, non vero illum qui ornatus foris magnifice nitet, quum ipse sit nullius pretii : quoniam ne equum quidem, licet phaleris aureis et reliquo apparatu pretioso ornetur, magnum faciemus, si natura malus sit. At illum qui natura sit generosus, impensius laudamus. Quemadmodum enim ille ridiculus fuerit, qui servis suis deterior est, ita non minus habendi sunt miseri, quorum possessio majoris est pretii, quam ingenium proprium. Atque hoc revera sic se habet. Parit enim, ut proverbio dicitur, satietas ferocitatem, imperitia autem potestati conjuncta,

σίας ἄνοιαν. Τοῖς γὰρ διακειμένοις τὰ περὶ τὴν ψυχὴν κακῶς οὔτε πλοῦτος, οὔτε ἰσχὺς, οὔτε κάλλος τῶν ἀγαθῶν ἐστιν· ἀλλ' ὅσῳ περ ἂν αὗται μᾶλλον αἱ διαθέσεις καθ' ὑπερβολὴν ὑπάρξωσι, τοσούτῳ καὶ πλείω καὶ μείζω τὸν κεκτημένον βλάπτουσι, χωρὶς φρονήσεως παραγενόμεναι.

Eadem usque ad εἶναι δεῖ νομίζειν Maxim. Confess. c. ιζ', Apostol., XII, 19, a, Arsen., XXXVII, 50. De proverbio quod laudatur cf. Welcker ad Theognid. v. 109, Bergk. Poet. Lyric., p. 391 ed. sec. Fragmentum tale est ut vel dialogo Περὶ πλούτου vel περὶ Παιδείας recte adscribi possit. Bernays, l. l. p. 163, de dialogo περὶ Φιλοσοφίας vel Νηρίνθῳ cogitat. Cur id cum Rosio l. l. p. 609, e Theophrasti libro περὶ Εὐδαιμονίας desumptum credamus, nullam video satis idoneam causam. Cf. Aristot. Polit. IV, 1.

4. (91[b].)

Append. Flor. ad Joann. Stobæum XVI, 47 : Τοῦ αὐτοῦ (scil. Ἀριστοτέλους). Ἅπασα φύσις βελτίων γίνεται παιδείαν προσλαβοῦσα τὴν προσήκουσαν, πολὺ δὲ μάλιστα ὅσαις ἐξ ἀρχῆς εὐφυέστερον τῶν ἄλλων ἔχειν ὑπῆρξε· τοῖς μὲν γὰρ αὐτῶν πόνῳ βελτίοσι γίγνεσθαι, τοῖς δὲ καὶ τῶν ἄλλων συμβαίνει διενεγκεῖν.

Nec minus fortasse e dialogo περὶ Παιδείας desumptæ sunt sententiæ quæ Aristoteli tribuuntur :

5. (91[c].)

Diog. Laert. V, 19 : Τὴν παιδείαν ἔλεγεν ἐν μὲν ταῖς εὐτυχίαις εἶναι κόσμον, ἐν δὲ ταῖς ἀτυχίαις καταφυγήν. Paulo aliter Append. Joann. Stob. XVI, 34 : Ἀριστοτέλης ἔφη τὴν παιδείαν εὐτυχοῦσι μὲν κόσμον εἶναι, πταίσασι δὲ καταφυγὴν ἐλευθέριον, et iterum ib. 50 : Ἡ παιδεία εὐτυχοῦσι μέν ἐστι κόσμος, ἀτυχοῦσι δὲ καταφύγιον, ubi tamen Democrati cuidam adscribitur. Cf. Ciceron. orat. pro Archia c. 7.

Diog. Laert. V, 21 : Κάλλιστον ἐφόδιον τῷ γήρᾳ τὴν παιδείαν ἔλεγε.

Append. ad Joann. Stob. XVI, 44 : Ἀριστοτέλους· Οὗτος, ἐρωτηθεὶς τί τῶν ζῴων κάλλιστον, ἔφη, ἄνθρωπος τὴν ψυχὴν παιδείᾳ κεκοσμημένος.

Ib. 46 : Οὐ μικρὸν ὠφελεῖ τὸ τὰ βέλτιστα ὑμᾶς ἀκούειν καὶ συνεθίζειν.

Diog. Laert. V, 19 : Ἐρωτηθεὶς τίνι διαφέρουσιν οἱ πεπαιδευμένοι τῶν ἀπαιδεύτων· Ὅσῳ, εἶπεν, οἱ ζῶντες τῶν τεθνεώτων.

Id. ib. : Τῶν γονέων τοὺς παιδεύσαντας ἐντιμοτέρους εἶναι τῶν μόνον γεννησάντων· τοὺς μὲν γὰρ τὸ ζῆν, τοὺς δὲ τὸ καλῶς ζῆν παρασχέσθαι.

Id. ib. : Ἐρωτηθεὶς πῶς ἂν προκόπτοιεν οἱ μαθηταὶ, ἔφη, Ἐὰν τοὺς προέχοντας διώκοντες τοὺς ὑστεροῦντας μὴ ἀναμένωσι. Cf. Arsen. Violar. p. 121 ed. Walz.

ΟΙΚΟΝΟΜΙΚΟΣ.

Inter dialogorum titulos sine dubio reponendus est Οἰκονομικὸς α', qui apud Diogenem Laertium, fortasse librarii culpa simul cum eo qui statim sequitur, περὶ Φιλίας α' (23, 24) ex ordine motus est, quum rectum locum obtinet apud Anonymum (17), a quo statim post librum περὶ Βασιλείας recensetur. Ad hunc librum potius pertinere videntur quæ infra apposuimus fragmenta quam ad titulos περὶ Συμβιώσεως ἀνδρὸς καὶ γυ-

---

insaniam. Nam quibus male affectus est animus, illis non divitiæ, non robur, non forma pro bonis sunt : sed quo magis augmentum acceperint, eo pluribus majoribusque damnis possessorem suum mulctant, cuicunque sine prudentia accesserint.

4.

Omnis natura quæ convenientem institutionem accipiat melior efficitur, sed multo maxime quæcunque ab origine ceteris generosiores erant : illæ enim proprio labore meliores fiunt, hæ vero et ceteris præstant donis.

5.

Aristoteles dicebat eruditionem in secundis esse decus, in adversis confugium.

Eruditionem optimum viaticum dicebat esse senectutis.

Aristoteles interrogatus quod pulcherrimum esset animalium, respondit : Homo cujus animus optima institutione ornatus est.

Multum proficit nobis audire optima et iis assuefieri.

Rogatus quo differrent docti ab indoctis, Quo, inquit, viventes a mortuis.

Parentes qui liberos erudiendos curassent, longe honorabiliores esse iis qui solum genuissent : hos enim vivendi tantum, illos etiam bene honesteque vivendi auctores esse.

Interrogatus quo pacto discipuli egregie proficerent, respondit : Si præstantiores persequentes non exspectent tardiores.

ναιχὸς et Νόμους ἀνδρὸς καὶ γαμετῆς, in solo Appendice Anonymi memoratos (25, 26), quorumque alterum respicere videtur Hieronymus adversus Jovinian. I, t. IV, 2, p. 191 ed. Paris. 1706 : *Scripserunt Aristoteles et Plutarchus et noster Seneca de Matrimonio libros, ex quibus et superiora nonnulla sunt* (cf. p. 185, 187, 190) *et ista quæ subjicimus*. Quæ ex Œconomico retulerunt philosophi interpretes, ex simili fonte fluxisse videntur quam quæ e Protreptico habent.

1. (92.)

Anonymi Proleg. philosoph. e cod. Paris. 1939, f. 51 verso, apud Rosium (168) : Ἔγραφε δὲ καὶ Οἰκονομικὰ Ἀριστοτέλης, ἐν οἷς διαλέγεται ὅτι πῶς ὀφείλει εὖ οἰκονομεῖσθαι ὁ οἶκος. Ἐν οἷς καί φησιν ὅτι χρὴ συντρέχειν ἐπὶ τοῦ οἴκου ταῦτα πάντα, σχέσιν γυναικὸς πρὸς ἄνδρα, στοργὴν γονέων πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότας, καὶ ἵνα ἴσα ὦσι τὰ εἰσερχόμενα πλείω εἰσὶ τῶν ἐξερχομένων ἀσώτως, quæ ultima corrupta in hunc sensum restituit Rose : ἵνα ἴσα ὦσι τὰ εἰσεργόμενα τοῖς ἐξερχομένοις. Εἰ γὰρ... πλείω ὦσι τὰ ἐξερχόμενα τῶν εἰσερχομένων, ἄσωτός ἐστι.

David. in Categ. p. 25, B, 6 Brand. : Ἀλλὰ μὴν καὶ Οἰκονομικά εἰσιν αὐτῷ γεγραμμένα βιβλία, ὡς τὸ Οἰκονομικὸν σύνταγμα καὶ περὶ Συμβιώσεως ἀνδρὸς καὶ γυναικὸς, ἐν ᾧ λέγει ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι τὸν εὖ ἔχοντα οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντα, καὶ ὡς εἴρηται ἡμῖν ἐν τοῖς τῆς Πορφυρίου εἰσαγωγῆς προλεγομένοις, in loco scilicet a Brandisio p. 16, B, 16 omisso, quem vero e cod. Paris. 1900, fol. 36 verso, ita edidit Rosius : Ἔγραφε δὲ καὶ τὰ Οἰκονομικὰ, ἐν οἷς περὶ διοικήσεως οἴκου διαλέγεται. Ἔνθα λέγει ὅτι δεῖ τινὰ τέσσαρα συνδραμεῖν εἰς οἴκου σύστασιν, σχέσιν ἀνδρὸς πρὸς γυναῖκα, στοργὴν πατρὸς πρὸς τέκνα, δέος οἰκετῶν πρὸς δεσπότην, καὶ ἵνα ᾖ σύμμετρα τὰ ἐξιόντα τοῖς εἰσιοῦσιν. Ἑκατέρα γὰρ ἀμετρία αἰσχρά ἐστιν· ὅταν γὰρ πολλὰ εὑρεθῶσι τὰ εἰσιόντα, ὀλίγα δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· ὁ γὰρ τοιοῦτος φιλάργυρος εὑρίσκεται. Εἴτε πάλιν ὀλίγα εὑρεθῶσι τὰ εἰσιόντα, πολλὰ δὲ τὰ ἐξιόντα, αἰσχρόν τι συμβαίνει· εὑρίσκεται γὰρ ὁ τοιοῦτος ἄσωτος.

Anonym. Proleg. philos. e cod. Paris. 1977, f. 19, in Crameri Anecd. Paris., t. III, p. 424 : Διὰ δὲ τὸ οἰκονομικὸν γέγραπται αὐτῷ ὁ Οἰκονομικὸς τὸ σύνταγμα, ἐν ᾧ φησὶν ἐκ τεσσάρων σχέσεων συγκεκροτῆσθαι τὸν οἶκον, πατρὸς πρὸς τέκνα, ἀνδρὸς πρὸς γυναῖκα, δεσπότου πρὸς δούλους, εἰσιόντων πρὸς ἐξιόντα, ἵνα μήτε πλείονα τὰ εἰσιόντα τῶν ἐξιόντων, φειδωλία γὰρ τοῦτο καὶ ἀνελευθερία, μήτε πλείονα τὰ ἐξιόντα τῶν εἰσιόντων, ἀσωτία γὰρ τοῦτο, ἀλλ' ἐπ' ἴσης.

Anonymus Proleg. philos. e cod. Paris. 1973, fol. 17 verso, apud Rosium : Καὶ δηλοῖ Ἀριστοτέλης ἔν τινι αὐτοῦ μονοβιβλίῳ περὶ Οἰκονομίας ἀρίστης διαλεγόμενος· καὶ λέγει ταύτην ἐκ τεσσάρων γενέσθαι σχέσεων, πατρὸς πρὸς τέκνα, δούλου πρὸς δεσπότην, γυναικὸς πρὸς ἄνδρα, εἰσιόντων πρὸς ἐξιόντα, ἵνα μὴ ἐλλείπῃ μηδὲ πλεονάζῃ, ἀλλὰ φυλάττῃ ἀναλογίαν πρὸς ἄλληλα. Εἰ γὰρ κακῶς ἔχει ὁ πατὴρ πρὸς τὸν υἱὸν καὶ ὁ ἀνὴρ πρὸς τὴν γυναῖκα ἢ ὁ δεσπότης πρὸς τὸν δοῦλον, καὶ τὸ ἀνάπαλιν τὰ λοιπὰ ἐναντίως ἔχουσι πρὸς ἄλληλα, κακὸς ὁ οἶκος ἔσται, ὅτι οὐ μίαν προαίρεσιν ἔχουσιν ἐν τῷ οἴκῳ πάντες, ἀλλὰ διαφόρους.

2. (93.)

Clemens Alex. Pædag. III, 12, p. 111 Sylb. : Ἐγὼ δὲ καὶ τοῖς γεγαμηκόσι παραινέσαιμι ἂν οἴκοι τὰς γυναῖκας μήποτε κατὰ πρόσωπον οἰκετῶν φιλεῖν· οὐδὲ γὰρ προσγελᾶν δούλοις Ἀριστοτέλης εἴα ποτὲ, πολλοῦ γε καὶ δεῖ κατ' ὄψιν αὐτῶν φιλοφρονούμενον φαίνεσθαι τὴν γυναῖκα. Ἄμεινον δὲ οἴκοθεν ἀρξαμένους ἀπὸ τοῦ γάμου τὴν σεμνότητα ἐπιδείκνυσθαι. Μεγίστη γὰρ ἡ σωφροσύνης συζυγία καθαρὰς ἡδονὰς ἀποπνέουσα. Πάνυ γὰρ θαυμασίως ἡ τραγῳδία φησί· « φεῦ φεῦ γυναῖκες ». (Cf. Apollonidis fragm. 1 in Tragic. Fragm. ed. Wagner. p. 145.) Ταῦτα τῆς δικαιοσύνης παραγγέλματα καὶ παρὰ τοῖς τὴν κοσμικὴν μετιοῦσι σοφίαν ἐκφωνηθέντα οὐ παραιτητέον. Confert Rosius quæ e Theophrasto ab Eustathio in Odyss. p. 1775, 51 ed. Rom. afferuntur.

ŒCONOMICUS.

1.

Scripsit et Œconomica Aristoteles in quibus disserit quomodo bene administranda sit domus. In his dicit ut domus bene instituatur confluere oportere hæc omnia : habitum conjugis erga maritum, amorem parentum erga liberos, reverentiam servorum in dominum, et æqualitatem eorum quæ intrent et eorum quæ exeant. Utraque enim inæqualitas turpis est : multa enim si intrent, pauca vero exeant, turpe quid evenit : talis enim dominus avarus esse dicitur. Sin autem admodum pauca intrent, multa vero exeant, turpe quid evenit : talis enim dominus prodigus habebitur.

2.

Ego vero iis quoque, qui uxores, duxerint consuluerim, ne unquam uxores suas coram famulis osculentur : nam nec famulis quidem unquam arridere permisit Aristoteles, tantum abest ut in eorum conspectu cernatur quisquam amplecti uxorem.

ΠΕΡΙ ΜΕΘΗΣ.

Titulus περὶ Μέθης in indicibus nusquam comparet, nisi quod Hadschi Khalfa (5) affert : *De vino ejusque potu ac inebriandi vi, quæstiones XXII*, quæ tamen ad Problemata manifeste pertinent, nec fortasse ab illis diversa sunt quæ, περὶ Μέθης inscripta, in nostra Problematum collectione s. III leguntur. Satis probabiliter vero dialogicam libro formam fuisse conjicias, qui fortasse, quum ab eo quem sive sub Theophrasti sive sub Chamæleontis nomine laudat Athenæus (cf. E. Kœpke, *de Chamæleontis Heracl. vita et reliquiis*, Berol. 1856, p. 39), non diversus fuerit, in indicibus omissus est, nisi statuas eodem modo quo et in Magico factum est, Aristotelis nomen male pro Antisthenis positum esse, cujus librum περὶ οἴνου χρήσεως ἢ περὶ Μέθης ἢ περὶ τοῦ Κύκλωπος, a Diogene Laertio VI, 18 et Aristide Orat. XXV, t. I, p. 496, 20 Dind., affertur.

1. (94.)

Epit. Athen. II, p. 40, D : Τὸ δὲ μεθύειν φησὶν Ἀριστοτέλης τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι.

Athenæus sine dubio scripserat : Τὸ δὲ μ. φ. Ἀ. ὠνομάσθαι διὰ τὸ μ. τ. θ. α. χ. Quid sibi velint illa apud Etym. Gud. p. 383, 48, Ἐτυμολογεῖται δὲ παρὰ τὸ ἐμὲ θύειν, non satis intelligo.

2. (95.)

Epit. Athen. II, p. 44, D : Ἀριστοτέλης δ' ἐν τῷ περὶ Μέθης φησὶν ὅτι ἁλμυράς τινες προσφερόμενοι τροφὰς ἄδιψοι διέμειναν· ὧν ἦν Ἀρχωνίδης ὁ Ἀργεῖος. Μάγων δὲ ὁ Καρχηδόνιος τρὶς τὴν ἄνυδρον διῆλθεν ἄλφιτα ξηρὰ σιτούμενος καὶ μὴ πίνων.

Eadem paulo aliter Apollonius Mirab. c. 25 : Ἀριστοτέλης ἐν τῷ περὶ Μέθης. Ἄνδρων, φησὶν, Ἀργεῖος ἐσθίων πολλὰ καὶ ἁλμυρὰ καὶ ξηρὰ δι' ὅλου τοῦ βίου ἄδιψος καὶ ἄποτος διετέλεσεν. Ἔτι δὶς πορευθεὶς εἰς Ἄμμωνα διὰ τῆς ἀνύδρου ὁδοῦ ἄλφιτα ξηρὰ σιτούμενος οὐ προσηνέγκατο ὑγρόν. Τοῦτο δὲ ἐποίησε δι' ὅλου τοῦ βίου.

Diog. Laert. IX, 81 : Ἄνδρων δὲ ὁ Ἀργεῖος, ὥς φησιν Ἀριστοτέλης, διὰ τῆς ἀνύδρου Λιβύης ὥδευεν ἄποτος. Omisso Aristotelis nomine Sextus Emp. Hypot. I, 84 : Ἄνδρων δὲ ὁ Ἀργεῖος οὕτως ἄδιψος ἦν, ὡς διὰ τῆς ἀνύδρου Λιβύης ὁδεύειν αὐτὸν μὴ ἐπιζητοῦντα ποτόν.

3. (96.)

Athen. XIV, p. 641, B : Ἀριστοτέλης δ' ἐν τῷ περὶ Μέθης τὰ τραγήματά φησι λέγεσθαι ὑπὸ τῶν ἀρχαίων τρωγάλια, ὡσεὶ γὰρ ἐπιδορπισμὸν εἶναι. Idem paulo post p. 641, D : Ἀριστοτέλης δ' ἐν τῷ περὶ Μέθης παραπλησίως ἡμῖν δευτέρας τραπέζας ἀπαγορεύει διὰ τούτων· « Τὸ μὲν οὖν ὅλον διαφέρειν τράγημα βρώματος νομιστέον ὅσον ἔδεσμα τρωγαλίου. Τοῦτο γὰρ πάτριον τοὔνομα τοῖς Ἕλλησιν, ἐπεὶ ἐν τραγήμασι τὰ βρώματα παρατίθενται. Διόπερ οὐ κακῶς ἔοικεν εἰπεῖν ὁ πρῶτος δευτέραν προσαγορεύσας τράπεζαν· ὄντως γὰρ ἐπιδορπισμός τις ὁ τραγηματισμός ἐστι, καὶ δεῖπνον ἕτερον παρατίθεται τραγήματα. »

Pro ἐπεὶ ἐν τραγήμασι τὰ βρώματα παρατίθενται, Schweighæuserus ἐπεὶ ἐντραγηματικὰ βρώματα παρατίθεται, A. Becker, *Charikles*, t. I, p. 449, ἐπεὶ ἐν τραγήμασι καὶ βρώμασι παρατίθενται, conjiciebant. Schol. Aristoph. Pac. 767, cum Suida, s. τρωγαλίων : Τρωγαλίων δὲ ἀντὶ τοῦ τραγημάτων· οὕτω γὰρ ἐκάλουν τὰ τραγήματα οἱ παλαιοί. Hesychius : Τρωγάλια τὰ τραγήματα, Λάκωνες. Cf. Problem. XXII, 6, ubi quæstio ponitur, διὰ τί τὰ τραγήματα ἐδεστέον.

DE EBRIETATE.

1.

Verbum μεθύειν (*inebriari*) inde dictum Aristoteles ait, quod μετὰ τὸ θύειν (*peracto sacrificio*) vino indulgeant homines.

2.

Aristoteles in libro de Ebrietate scribit, fuisse nonnullos qui quum salsis uterentur cibis, absque siti durarint : in his fuit Archonides Argivus. Mago vero Carthaginiensis ter (Africæ) deserta aquis carentia peragravit, sicca polenta victitans absque potu.

Aristoteles in libro de Ebrietate, Andron, inquit, Argivus, per omne vitæ tempus siti potuque caruit, quanquam multis cibis et salsis et siccis utebatur. Præterea bis ad Ammonem profectus, per aquæ expertem viam sicca polenta vescens, nullum adhibuit humorem, idque per totam vitam tenuit.

Andron Argivus, ut ait Aristoteles, per arida Libyæ loca absque potu iter agebat.

3.

Aristoteles, in libro de Ebrietate, tragemata ait ab antiquis *trogalia* (bellaria) vocari : esse enim veluti secundam cœnam.

Aristoteles in libro de Ebrietate, perinde ac nos, secundas mensas vocat, ubi scribit : « Omnino igitur differre censendum est inter tragema et cibum, quemadmodum inter edulium et trogalium (bellarium). Est enim hoc patrium nomen Græcis; quando cibi apponuntur in tragematis. Quare non male dixisse videtur qui primus secundam mensam nominavit . vere enim epidorpismus aliquis (postcœnium) est tragematismus. »

4. (97.)

Epit. Athen. I, p. 34, B : Ἀριστοτέλης δέ φησιν ὅτι οἱ μὲν ἀπ' οἴνου μεθυσθέντες ἐπὶ πρόσωπον φέρονται, οἱ δὲ τὸν κρίθινον πεπωκότες ἐξυπτιάζονται τὴν κεφαλήν· ὁ μὲν γὰρ οἶνος καρηβαρικὸς, ὁ δὲ κρίθινος καρωτικός.

Eadem plenius apud eundem l. X, p. 447, A : Ἀλλ' ὥς φησιν Ἀριστοτέλης ἐν τῷ περὶ Μέθης, εἰς τὰ νῶτα καταπίπτουσιν οἱ τὸν κρίθινον πεπωκότες, ὃν πῖνον καλοῦσι, λέγων οὕτως· « Πλὴν ἴδιόν τι συμβαίνει περὶ τὰς τῶν κριθῶν, τὸ καλούμενον πῖνον· ὑπὸ μὲν γὰρ τῶν λοιπῶν τε καὶ μεθυστικῶν οἱ μεθυσθέντες ἐπὶ πάντα τὰ μέρη πίπτουσι· καὶ γὰρ ἐπὶ τὰ ἀριστερὰ καὶ δεξιὰ καὶ πρηνεῖς καὶ ὕπτιοι, μόνοι δὲ οἱ τῷ πίνῳ μεθυσθέντες εἰς τοὐπίσω καὶ ὕπτιοι κλίνονται. »

5. (98.)

Athen. X, p. 429, C : Ἀριστοτέλης δ' ἐν τῷ περὶ Μέθης φησίν· « Εἰ ὁ οἶνος μετρίως ἀφεψηθείη, πινόμενος ἧττον μεθύσκει· τὴν γὰρ δύναμιν ἀφεψηθέντος αὐτοῦ ἀσθενεστέραν γίνεσθαι. Μεθύσκονται δέ, φησίν, οἱ γεραίτεροι τάχιστα, δι' ὀλιγότητα καὶ ἀσθένειαν τοῦ περὶ αὐτοὺς ἐνυπάρχοντος φύσει θερμοῦ. Καὶ οἱ παντελῶς δὲ νέοι τάχιον μεθύσκονται, διὰ τὸ πλῆθος τοῦ ἐνυπάρχοντος θερμοῦ· τῷ γὰρ ἐκ τοῦ οἴνου προσγινομένῳ κρατοῦνται ῥᾳδίως. Μεθύσκονται δὲ κἂν τοῖς ἀλόγοις ζῴοις ὕες μὲν σταφυλῆς στεμφύλων χορτασθέντες καὶ τὸ τῶν κοράκων καὶ τῶν κυνῶν γένος τὴν οἰνοῦτταν καλουμένην φαγόντα βοτάνην, πίθηκος δὲ καὶ ἐλέφας πιόντες οἶνον. Διὸ καὶ τὰς θήρας ποιοῦνται τῶν πιθήκων καὶ τῶν κοράκων μεθυσθέντων τῶν μὲν οἴνῳ, τῶν δὲ τῇ οἰνούττῃ. »

Ex eodem fonte ducta videntur quæ leguntur apud Ælianum Var. Hist. II, 40 : Πᾶν μὲν ὅσον ἄλογόν ἐστιν, ἀλλοτρίως πρὸς οἶνον πέφυκε, μάλιστα δὲ τῶν ζῴων ἐκεῖνα, ὅσα σταφυλῆς ἢ γιγάρτων ὑπερπλησθέντα μεθύει. Καὶ οἱ κόρακες δὲ τὴν καλουμένην οἰνοῦτταν βοτάνην ὅταν φάγωσι, καὶ οἱ κύνες δὲ καὶ αὐτοὶ βακχεύονται. Πίθηκος δὲ καὶ ἐλέφας, ἐὰν οἴνου πίωσιν, ὁ μὲν τῆς ἀλκῆς ἐπιλανθάνεται, ὁ δὲ τῆς πανουργίας, καί εἰσιν αἱρεθῆναι πάνυ ἀσθενεῖς. Cf. Plin. Hist. nat. XXIV, 17, 102; XXVI, 11, 69.

6. (99.)

Plutarch. Quæst. conv. III, 3 : Ἐθαύμαζε δὲ Φλῶρος, εἰ γεγραφὼς Ἀριστοτέλης ἐν τῷ περὶ Μέθης, ὅτι μάλιστα μὲν οἱ γέροντες, ἥκιστα δὲ αἱ γυναῖκες ἁλίσκονται, τὴν αἰτίαν οὐκ ἐξειργάσατο, μηδὲν εἰωθὼς προΐεσθαι τῶν τοιούτων.

Quæ Plutarchus postea adjecit, ubi ipse causam declarare conatur : Ἔστι δέ τι καὶ παρ' αὐτοῦ λαβεῖν Ἀριστοτέλους· τοὺς γὰρ ἄθρουν καὶ ἀπνευστὶ πίνοντας, ὅπερ ἀμυστίζειν ὠνόμασαν οἱ παλαιοί, φησὶν ἥκιστα περιπίπτειν μέθαις. Οὐ γὰρ ἐνδιατρίβειν τὸν ἄκρατον αὐτοῖς, ἀλλ' ἐξωθούμενον ῥύμῃ διαπορεύεσθαι διὰ τοῦ σώματος, etsi similia leguntur in Problem. III, 21, tamen non inde, sed ob verbum ἀμυστίζειν, cujus mentio sine dubio Aristoteli debetur, e libro περὶ Μέθης desumpta puto. Cf. Hesychius : Ἄμυστις· τὴν ἀπνευστὶ καὶ ἀθρόαν πόσιν Τίμαρχός φησιν οὕτως λέγεσθαι· et schol. Eurip. Rhesi, 419.

E Plutarcho, non ex ipso Aristotele, ut volebat Stahrius, *Aristoteles bei den Ræmern*,

---

4.

Aristoteles scribit, qui vino temulenti sint, hos in faciem pronos ferri; qui vero zytho, in caput resupinari : vino enim caput gravari, zytho vero torporem afferri.

Ut dicit Aristoteles in libro de Ebrietate, in tergum recidunt, qui zythum biberunt, quod πῖνον vocant. Sic autem ille scribit : « Ceterum peculiare aliquid accidit circa vinum ex hordeo, quod πῖνον vocant. Nam qui ab aliis potionum inebriantium generibus inebriati sunt, in omnes partes prolabi possunt, cum ad dextram aut ad sinistram, tum et proni et supini; at pino ebrii soli in posteriora et supini cadunt. »

5.

Aristoteles in libro de Ebrietate scribit : « Vinum si modice fuerit decoctum, minus inebriat bibentes, quum ipsa decoctione vis ejus debilitetur. Inebriantur autem, inquit, grandiores natu citissime, propter exiguitatem et debilitatem caloris qui illis natura inest. Qui vero admodum sunt juvenes, citius inebriantur, propter caloris qui illis inest abundantiam : nam eo calore, qui e vino illis accedit, facile vincuntur, eique succumbunt. Inebriantur vero etiam ex brutis animalibus sues, quum uvarum fracibus saginantur; et corvorum, itemque canum genus, quum herba vescuntur quæ *œnussa* vocatur : simiæ vero atque elephas, quum vinum bibunt. Quare etiam venationes instituunt simiarum et corvorum, inebriando illas vino, hos vero *œnussa.* »

6.

Mirabatur Florus quod Aristoteles, quum, in libro de Ebrietate, dixisset creberrime senes, mulieres vero rarissime inebriari, causam hujus rei non indicavisset, nihil tale præterire solitus.

Quin etiam ex ipso Aristotele aliquid sumi potest. Nam eos ait, qui uno haustu absque respiratione magna siccant pocula quod ἀμυστίζειν dicunt veteres (*id est :* hiante ore bibere), non facile inebriari; nimirum quod merum in his non diu moretur, sed impetu impulsum per corpus transeat.

p. 188, sua habet Macrobius Saturnal. VII, 6 : *Legisse apud philosophum græcum memini (ni fallor ille Aristoteles fuit, in libro quem de Ebrietate composuit), mulieres raro in ebrietatem cadere, crebro senes, nec causam vel hujus frequentiæ, vel illius raritatis adjecit. Et quia ad naturam corporum tota hæc quæstio pertinet, quam nosse et industriæ tuæ et professionis officium est, volo te causas rei quam ille sententiæ loco dixit, si tamen philosopho assentiris, aperire. — Tum ille : Recte et hoc Aristoteles, ut cetera, nec possum non assentiri viro, cujus inventis nec ipsa natura dissentit. Mulieres, inquit, raro ebriantur, crebro senes. Rationis plena gemina ista sententia et altera pendet ex altera. Nam quum didicerimus quid mulieres ab ebrietate defendat, jam tenemus quid senes ad hoc frequenter impellat : contrariam enim sortita naturam sunt muliebre corpus et senile.*

7. (100.)

Athen. X, p. 429, F : Τὸν δὲ Σαμαγόρειον οἶνον καλούμενόν φησιν ὁ Ἀριστοτέλης ἀπὸ τριῶν κοτυλῶν κερασθεισῶν μεθύσκειν ὑπὲρ τεσσαράκοντα ἄνδρας. De hoc nomine nihil aliunde compertum ; ceterum in eo scribendo variant libri, ita cod. Laur. Σαμαγόνιον, lib. Casaub. Σαμαγόνειον, epit. Hœschelii σαμόγειρον.

8. (101.)

Athen. XI, p. 464, C : Καὶ Ἀριστοτέλης δὲ ἐν τῷ περὶ Μέθης, « Αἱ Ῥοδιακαὶ, φησὶ, προσαγορευόμεναι χυτρίδες διά τε τὴν ἡδονὴν εἰς τὰς μέθας παρεισφέρονται καὶ διὰ τὸ θερμαινομένας τὸν οἶνον ἧττον ποιεῖν μεθύσκειν· σμύρνης γὰρ καὶ σχοίνου καὶ τῶν τοιούτων ἑτέρων εἰς τὸ ὕδωρ ἐμβληθέντων ἕψονται, καὶ παραχεόντων εἰς τὸν οἶνον ἧττον μεθύσκουσιν. »

9. (102.)

Ibid. : Κἂν ἄλλῳ δὲ μέρει φησίν· « Αἱ Ῥοδιακαὶ χυτρίδες γίνονται σμύρνης, σχοίνου ἄνθους, κρόκου, βαλσάμου, ἀμώμου, κινναμώμου συνεψηθέντων· ἀφ' ὧν καὶ τὸ γινόμενον τῷ οἴνῳ παραχυθὲν οὕτω μέθας ἵστησιν, ὥστε καὶ τῶν ἀφροδισίων παραλύειν τὰ πνεύματα πέττον. » Idem XI, p. 496, F : Ῥοδίας... μνημονεύει δ' αὐτῶν (scil. τῶν ῥοδιακῶν)... καὶ Ἀριστοτέλης ἐν τῷ περὶ Μέθης. Cf. Hesych. s. v. Ῥοδιακόν.

ΜΑΓΙΚΟΣ.

Libri Μαγικὸς inscripti in Diogenis Laertii indice nulla fit mentio, licet apud ipsum in libro primo bis Ἀριστοτέλης ἐν τῷ Μαγικῷ citetur. Apud Anonymum tantum modo inter Ψευδεπίγραφα recensetur, cui quodammodo assentiri Suidas videtur s. v. Ἀντισθένης : Ἀθηναῖος... ὅστις Περιπατητικὸς ἐκλήθη πρῶτον, εἶτα ἐκύνισεν... οὗτος συνέγραψε τόμους δέκα, πρῶτον Μαγικόν... τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥόδωνι (cod. A ῥόδων) ἀνατιθέασιν. In his quot verba tot pæne errores esse cuivis apertum : primum enim vix dubitari potest quin Περιπατητικὸς male pro Σωκρατικὸς scripserit Suidas, nisi cum Jonsio, *Scriptt. Hist. philosoph.* p. 46, credere malis eum, cum Antisthene vetere Socratico, juniorem quendam Peripateticum confudisse, cujus meminit Phlegon Trallianus Mirab. c. 3. Non magis autem verum est quod deinde affirmat, primum e decem tomis, in quos ab Alexandrinis sive Pergamenis grammaticis Antisthenis distributa erant scripta, Magicum appellatum fuisse, quum apud Diogenem Laert. VI, 15, nec primus nec alius quis ex his decem tomis talem titulum ferat : φέρονται δ' αὐτοῦ συγγράμματα τόμοι δέκα· πρῶτος ἐν ᾧ περὶ λέξεως ἢ περὶ χαρακτήρων etc. Restat illud nomen plane inauditum Ῥόδωνος, pro quo Bernhardyus Ῥοδίῳ scribendum esse statuit, ita ut de Antisthene quodam Rhodio cogitandum esset, cujus nomen e Demetrio Magnete affert Diogenes Laert. VI, 19 : Γεγόνασι καὶ ἄλλοι Ἀντισθένεις τρεῖς, Ἡρακλείτειος εἷς, ἕτερος Ἐφέσιος, καὶ Ῥόδιός τις ἱστορικός. Huic tamen Antistheni Rhodio talem librum tribui potuisse qualis Magicus fuit, vix credere poterit qui, quæ de eo narrat Poly-

7.

Samagoreum quod vocatur vinum, ait Aristoteles, tribus cotylis aqua temperatis, amplius quadraginta viros inebriare.

8.

Aristoteles in libro de Ebrietate ait : « Rhodiacæ quæ vocantur ollulæ, cum voluptatis causa in compotationes adhibentur, tum quod, quando calidæ sunt, efficiunt ut vinum minus inebriet. Nam myrrha et junco odorato et aliis talibus in aquam injectis decoquuntur; quod decoctum si vino adfunditur, minus illud inebriat. »

9.

Et in alia ejusdem operis parte scribit : « Rhodiacæ ollulæ fiunt myrrha, squinantho (sive junco odorato), croco, balsamo, amomo, cinnamomo una decoctis : qua de potione nonnihil vino adfusum ita prohibet ebrietatem, ut etiam Veneris vim enervet, spiritus vitales cohibens. »

bius, ejus æqualis, legerit, Exc. l. XVI, 14 (cf. C. Müller. Fragm. Hist. græc. t. III, p. 174 et 182, et Adolph. Müller, *de Antisthenis Cynici vita et scriptis*, Marb. 1860, p. 56), ubi hæc de Zenone et Antisthene Rhodiis : Καὶ γὰρ κατὰ τοὺς καιροὺς (temporibus scilicet quibus res gestæ sunt quas narrant) γεγόνασι, καὶ πατρίδι πεπολίτευνται, καὶ καθόλου πεποίηνται τὴν πραγματείαν οὐκ ὠφελείας χάριν, ἀλλὰ δόξης καὶ τοῦ καθήκοντος ἀνδράσι πολιτικοῖς. Non multum igitur, vereor, Bernhardyi conjectura juvamur, nisi forte sub Rhodio isto, non Antisthenem sed Aristotelem quendam Rhodium, de quo loquitur Proclus ad Platonis Timæum p. 27, A, latere putemus, quamquam et sic in errorem manifestum incidisse Suidam statuendum erit, quum ille Aristoteles multo junior fuisse videatur quam ipse Magicus. Quod ad Magicum attinet, dialogica forma conscriptum fuisse hunc librum, inde conjecit Rosius, quod Antistheni Socratico tribui potuerit. Satis probabilis esset conjectura si minus lubrico fundamento niteretur quam Suidæ auctoritati, ita vero illud tantum affirmari licet de Magis post Alexandri ætatem satis multos scripsisse, e quorum numero, ut Hermippum Peripateticum tolleret, non satis firmo argumento adductus est C. Müllerus, Fragm. Hist. gr. t. III, p. 36. Error autem quo factum est ut talis liber Aristoteli Stagiritæ tribueretur, inde fortasse ortus est quod in primo de Philosophia libro satis multa de Magis disseruisse videtur.

1. (103.)

Suidas s. Ἀντισθένης : Ἀθηναῖος... οὗτος συνέγραψε τόμους δέκα, πρῶτον Μαγικόν· ἀφηγεῖται δὲ περὶ Ζωροάστρου τινὸς μάγου, εὑρόντος τὴν σοφίαν. Τοῦτο δέ τινες Ἀριστοτέλει, οἱ δὲ Ῥοδίῳ ἀνατιθέασιν. Cf. quæ supra dicta sunt.

2. (104.)

Diog. Laert. I, 1 : Τὸ τῆς φιλοσοφίας ἔργον ἔνιοί φασιν ἀπὸ βαρβάρων ἄρξαι. Γεγενῆσθαι γὰρ παρὰ μὲν Πέρσαις Μάγους, παρὰ δὲ Βαβυλωνίοις ἢ Ἀσσυρίοις Χαλδαίους, καὶ Γυμνοσοφιστὰς παρ' Ἰνδοῖς, παρά τε Κελτοῖς καὶ Γαλάταις τοὺς καλουμένους Δρυΐδας καὶ Σεμνοθέους, καθά φησιν Ἀριστοτέλης ἐν τῷ Μαγικῷ καὶ Σωτίων ἐν τῷ εἰκοστῷ τρίτῳ τῆς Διαδοχῆς. Φοίνικά τε γενέσθαι Ὦχον καὶ Θρᾷκα Ζάμολξιν καὶ Λίβυν Ἄτλαντα.

3. (105.)

Diogen. Laert. I, 6 sqq.: Τοὺς δὲ Μάγους περί τε θεραπείας θεῶν διατρίβειν καὶ θυσίας καὶ εὐχάς, ὡς αὐτοὺς μόνους ἀκουομένους. Ἀποφαίνεσθαί τε περί τε οὐσίας θεῶν καὶ γενέσεως, οὓς καὶ πῦρ εἶναι καὶ γῆν καὶ ὕδωρ· τῶν δὲ ξοάνων καταγινώσκειν, καὶ μάλιστα τῶν λεγόντων ἄρρενας εἶναι θεοὺς καὶ θηλείας. Περί τε δικαιοσύνης λόγους ποιεῖσθαι, καὶ ἀνόσιον ἡγεῖσθαι πυρὶ θάπτειν, καὶ ὅσιον νομίζειν μητρὶ ἢ θυγατρὶ μίγνυσθαι, ὡς ἐν τῷ εἰκοστῷ τρίτῳ φησὶν ὁ Σωτίων· ἀσκεῖν τε μαντικὴν καὶ πρόρρησιν, καὶ θεοὺς αὐτοῖς ἐμφανίζεσθαι λέγοντας. Ἀλλὰ καὶ εἰδώλων πλήρη εἶναι τὸν ἀέρα, κατ' ἀπόρροιαν ὑπ' ἀναθυμιάσεως εἰσκρινομένων ταῖς ὄψεσι τῶν ὀξυδερκῶν· προκοσμήματά τε καὶ χρυσοφορίας ἀπαγορεύειν. Τούτων δὲ ἐσθὴς μὲν λευκή, στιβὰς δὲ εὐνή, καὶ λάχανον τροφὴ τυρός τε καὶ ἄρτος εὐτελής, καὶ κάλαμος ἡ βακτηρία, ᾧ κεντοῦντες, φασί, τοῦ τυροῦ ἀνῃροῦντο καὶ ἀπήσθιον. Τὴν δὲ γοητικὴν μαντείαν (μαγείαν Cob.) οὐδ' ἔγνωσαν, φησὶν ὁ Ἀριστοτέλης ἐν τῷ Μαγικῷ, καὶ Δείνων ἐν τῇ πέμπτῃ τῶν Ἱστοριῶν, ὃς καὶ μεθερμηνευόμενόν φησι τὸν Ζωροάστρην ἀστροθύτην εἶναι· φησὶ δὲ τοῦτο καὶ ὁ Ἑρμόδωρος.

MAGICUS.

1.

Antisthenes Atheniensis... Hic conscripsit tomos decem, primum autem Magicum, quo agit de Zoroastre Mago, qui sapientiæ inventor exstitit. Hoc vero opus quidam Aristoteli, alii vero Rhodio tribuunt.

2.

Philosophiæ munus nonnulli a barbaris initia sumpsisse autumant. Nam Persis Magos, Babyloniis vel Assyriis Chaldæos, Indis Gymnosophistas, Celtis seu Gallis Druidas et qui Semnothei appellabantur, ejus rei fuisse auctores ait Aristoteles in Magico et Sotion in vicesimo tertio Successionis libro. Phœnicem præterea fuisse Ochum, et Zamolxim Thracem et Atlantem Libycum.

3.

Magos deorum vacare cultui, et preces illis ac vota et sacrificia, quasi soli ab iis exaudiantur, offerre : de deorum natura et generatione disserere, quos et ignem et terram et aquam esse arbitrentur; signa statuasque reprehendere, et eorum inprimis qui mares esse deos ac feminas dicunt, errores improbare : de justitia verba facere, iniquumque arbitrari atque impium igni sepelire : justum matri ac filiæ misceri, ut in vicesimo tertio libro ait Sotion : divinationem præterea prædictionemque exercere, sibi deos apparere asserentes : plenum esse spectris aerem, quæ tenuiter veluti ex evaporatione acute cernentium oculis influant : exteriorem cultum atque auri usum interdicere. His autem vestis candida, lectus humus, esca olus, caseus panisque cibaria erant : arun-

Num in his, præter ea quæ diserte Aristotelis testimonio comprobantur et alia ex ejus libro fluxerint, ut Patritius credidit, non liquet.

ΠΕΡΙ ΤΩΝ ΦΙΛΟΣΟΦΩΝ.

I. ΠΕΡΙ ΠΥΘΑΓΟΡΕΙΩΝ.

Diligentissimum fuisse Aristotelem in exquirendis aliorum doctrinis cum superstites demonstrant libri, tum quæ in indicibus recensentur scripta satis multa, quorum illud erat propositum, ut antiquiorum philosophorum placita atque decreta sive solum exponerentur, sive etiam refellerentur. Cui generi adnumeranda sunt quæ exstant Excerpta de Xenophane, Melisso, Gorgia, nisi quod pro genuinis vix haberi possunt. Alterum genus repræsentat de Pythagoreis liber a multis allatus, nam etsi variis modis enuntietur titulus, omnia quæ ex Aristotele sive de ipsius Pythagoræ vita, sive de Pythagoreorum institutis afferuntur fragmenta, ad unum eundemque librum pertinere videntur. In titulo qualem exhibent Diogenes (101) et Anonymus (79) περὶ Πυθαγορείων α, illud tantum minus rectum videtur, quod non plures libri indicantur quum primus liber citetur apud Joannem Stobæum (fr. 10), secundus vero ab Alexandro Aphrodiseo (fr. 13) et Simplicio (fr. 17). Liber Πυθαγορικός vocatur a Theone (fr. 10), Πυθαγορικά a Simplicio (fr. 15), Συναγωγὴ τῶν Πυθαγορικῶν ab eodem (fr. 17) sive τῶν Πυθαγορείοις ἀρεσκόντων Συναγωγή (fr. 11), Πυθαγορικῶν δόξαι ab Alexandro (fr. 14), sive περὶ τῆς Πυθαγορικῶν δόξης (fr. 13), περὶ τῆς Πυθαγόρου vel περὶ τῆς Πυθαγορικῆς φιλοσοφίας a Joanne Stobæo et Iamblicho (fr. 12 et 13). Diversum ab eo librum recenset Diogenes (97), omisit autem Anonymus, πρὸς τοὺς Πυθαγορείους α'. Duo tituli in unum coaluisse videntur apud Dschemaluddinum (19) : *De arte poetica secundum Pythagoram ejusque sectatorum placita libri*, quem errorem exscripsit quoque Hadschi Khalfa V, 104 : *idem libros duos de arte poetica secundum disciplinam Pythagoræ scripsit.*

De quæstione num ipse Aristoteles Metaph. I, 5, 4, hunc de Pythagoreis librum innuerit, v. quæ infra ad fragm. 14 dicta sunt.

1. (106.)

Clemens Alexandr. Stromat. I, 14, 62, p. 129 Sylb.: Πυθαγόρας μὲν οὖν Μνησάρχου Σάμιος, ὥς φησιν Ἱππόβοτος, ὡς δὲ Ἀριστόξενος ἐν τῷ Πυθαγόρου βίῳ καὶ Ἀρίσταρχος καὶ Θεόπομπος Τυρρηνὸς ἦν, ὡς δὲ Νεάνθης Σύριος ἢ Τύριος.

Ex Clemente Theodoret. Græc. Affect. cur. I, p. 19 Gaisf. Pro Ἀρίσταρχος καὶ Θεόπομπος corrigendum hîc esse Ἀριστοτέλης καὶ Θεόφραστος conjecit Preller ad Polem. Perieg. Fragm. p. 59. Cf. Diog. Laert. VIII, 1 : Πυθαγόρας... ὡς Ἀριστόξενος Τυρρηνὸς, ἀπὸ μιᾶς τῶν νήσων (Lemnus scil.), ἃς κατέσχον Ἀθηναῖοι Τυρρηνοὺς ἐκβαλόντες. Porphyr. Vit. Pyth. 2, Plut. Quæst. conviv. VIII 10, 1.

2. (107.)

Apollonius Mirab. c. 6 ed. Westerm.: Τούτοις δὲ ἐπιγενόμενος Πυθαγόρας, Μνησάρχου υἱὸς, τὸ μὲν πρῶτον διεπονεῖτο περὶ τὰ μαθήματα καὶ τοὺς ἀριθμοὺς, ὕστερον δὲ ποτε καὶ τῆς Φερεκύδου τερατοποιίας οὐκ ἀπέστη. Καὶ γὰρ ἐν Μεταποντίῳ πλοίου εἰσερχομένου φορτίον ἔχοντος (ita cum Rosio dedimus pro : καὶ γὰρ Μεταποντίῳ πλοίῳ εἰσερχομένῳ φορτίον ἔχοντι) καὶ τῶν παρατυχόντων εὐχομένων σωστὸν κατελθεῖν διὰ τὸν φόρτον, ἐφεστῶτα τοῦτον εἰπεῖν· « Νεκρὸν (ita Meurs. pro μικρόν. Cf. Iambl.

---

dine pro baculo utebantur, qua figentes, ut narratur, de caseo frusta tollebant et vescebantur. Magicarum illos præstigiarum ignaros ait Aristoteles in libro quem inscripsit Magicum et Dinon in quinto Historiarum libro, qui Zoroastrem quoque ex interpretatione nominis sui astrorum sacrificulum sonare asserit. Hoc etiam Hermodorus tradit.

DE PHILOSOPHORUM DOCTRINIS.

I. DE PYTHAGOREIS.

1.

Pythagoras Mnesarchi filius, Samius, ut ait Hippobotus; secundum Aristoxenum in libro de Vita Pythagoræ et Aristarchum et Theopompum (*Aristotelem et Theophrastum*) Tyrrhenus fuit, ut vero Neanthes, Syrius vel Tyrius.

2.

Subsecutus hos (*Epimenidem scil. et alios*) Pythagoras, Mnesarchi filius, principio mathematibus et numeris animum intendit. Postea vero Pherecydis etiam præstigiis non abstinuit. Nam Metaponti nave adveniente mercibus onusta, et iis qui aderant optantibus ut salva portum intraret propter merces, adstans ipse : « Ergo, inquit, mortuum vobis apparebit corpus, hanc ducens navem. » Rursum in Caulonia, ut ait Aristoteles, scribens de eo etiam multa alia, in Etruria serpentem qui morsu neca-

V. Pyth. 142, Porphyr. V. Pyth. 28) τοίνυν φανήσεται ὑμῖν σῶμα ἄγον τὸ πλοῖον τοῦτο.» Πάλιν δὲ ἐν Καυλωνίᾳ, ὥς φησιν Ἀριστοτέλης γράφων περὶ αὐτοῦ πολλὰ μὲν καὶ ἄλλα λέγει καὶ τὸν ἐν Τυρρηνίᾳ, φησὶ, δάκνοντα θανάσιμον ὄφιν αὐτὸς δάκνων ἀπέκτεινεν. Καὶ τὴν γενομένην δὲ στάσιν τοῖς Πυθαγορείοις προειπεῖν· διὸ καὶ εἰς Μεταπόντιον ἀπῆρεν ὑπὸ μηδενὸς θεωρηθείς. Καὶ ὑπὸ τοῦ Κόσα τοῦ ποταμοῦ (ita Rosius pro vulg. ὑπὸ τοῦ κατὰ Σάμον ποταμοῦ) διαβαίνων σὺν ἄλλοις ἤκουσε φωνὴν μεγάλην [καὶ] ὑπὲρ ἄνθρωπον· «Πυθαγόρα, χαῖρε·» τοὺς δὲ παρόντας περιδεεῖς γενέσθαι. Ἐφάνη δέ ποτε καὶ ἐν Κρότωνι καὶ ἐν Μεταποντίῳ τῇ αὐτῇ ἡμέρᾳ καὶ ὥρᾳ. Ἐν θεάτρῳ δὲ καθήμενός ποτε ἐξανίσταται, ὥς φησιν Ἀριστοτέλης, καὶ τὸν ἴδιον μηρὸν παρέφηνε τοῖς καθημένοις (conj. παρακαθημένοις Ros.) χρυσοῦν. Λέγεται δὲ περὶ αὐτοῦ καὶ ἄλλα τινὰ παράδοξα, ἡμεῖς δὲ μὴ βουλόμενοι μεταγραφέων ἔργον ποιεῖν, αὐτοῦ τὸν λόγον καταπαύσομεν.

Ælianus Var. Hist. II, 26 : Ἀριστοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα Ὑπερβόρειον προσαγορεύεσθαι· κἀκεῖνα δὲ προσεπιλέγει ὁ τοῦ Νικομάχου ὅτι τῆς αὐτῆς ἡμέρας ποτὲ καὶ κατὰ τὴν αὐτὴν ὥραν καὶ ἐν Μεταποντίῳ ὤφθη ὑπὸ πολλῶν καὶ ἐν Κρότωνι ** τῷ ἀγῶνι ἐξανιστάμενος, ἔνθα καὶ τῶν μηρῶν ὁ Πυθαγόρας παρέφηνε τὸν ἕτερον χρυσοῦν. Λέγει δὲ ὁ αὐτὸς καὶ ὅτι ὑπὸ τοῦ Κόσα ποταμοῦ διαβαίνων προσερρήθη· καὶ πολλούς φησιν ἀκηκοέναι τὴν πρόσρησιν ταύτην.

Conjungendus est cum hoc loco alter apud eundem Ælianum Var. Hist. IV, 17 : Ἐδίδασκε Πυθαγόρας τοὺς ἀνθρώπους ὅτι κρειττόνων γεγένηται σπερμάτων ἢ κατὰ τὴν φύσιν τὴν θνητήν· τῆς γὰρ αὐτῆς ἡμέρας ὤφθη καὶ κατὰ τὴν αὐτὴν ὥραν ἐν Μεταποντίῳ φησὶ (ita Perizonius, supplend. est Ἀριστοτέλης, aut cum Herchero scrib. φασὶ), καὶ ἐν Κρότωνι. Καὶ ἐν Ὀλυμπίᾳ δὲ παρέφηνε χρυσοῦν τὸν ἕτερον τῶν μηρῶν. Καὶ Μυλλίαν δὲ τὸν Κροτωνιάτην ὑπέμνησεν ὅτι Μίδας ὁ Γορδίου ἐστὶν ὁ Φρύξ, καὶ τὸν ἀετὸν δὲ τὸν λευκὸν κατέψησεν ὑπομείναντα αὐτόν. Ἀλλὰ καὶ ὑπὸ τοῦ Κόσα ποταμοῦ διαβαίνων προσερρήθη, τοῦ ποταμοῦ εἰπόντος αὐτῷ· «Χαῖρε, Πυθαγόρα.» Cf. Diog. Laert. VIII, 11 : Καὶ γὰρ καὶ σεμνοπρεπέστατος λέγεται γενέσθαι (ὁ Πυθαγόρας scil.) καὶ οἱ μαθηταὶ δόξαν εἶχον περὶ αὐτοῦ ὡς εἴη Ἀπόλλων ἐξ Ὑπερβορέων ἀφιγμένος. Λόγος δέ ποτ' αὐτοῦ παραγυμνωθέντος τὸν μηρὸν ὀφθῆναι χρυσοῦν· καὶ ὅτι Νέσσος (Κόσας) ὁ ποταμὸς διαβαίνοντα αὐτὸν προσαγορεύσαι πολὺς ἦν ὁ φάσκων. Iambl. de Vita Pyth. c. 28, 140 : Τὴν δὲ πίστιν τῶν παρ' αὐτοῖς ὑπολήψεων ἡγοῦνται εἶναι ταύτην, ὅτι ἦν ὁ πρῶτος εἰπὼν αὐτὸ, οὐχ ὁ τυχὼν, ἀλλ' ὁ θεός. Καὶ ἓν τοῦτο τῶν ἀκουσμάτων ἐστὶ, τίς ὁ Πυθαγόρας; Φασὶ γὰρ εἶναι Ἀπόλλω Ὑπερβόρεον. Τούτου δὲ τεκμήρια ἔχεσθαι ὅτι ἐν τῷ ἀγῶνι ἐξανιστάμενος τὸν μηρὸν παρέφηνε χρυσοῦν, καὶ ὅτι Ἄβαριν τὸν Ὑπερβόρεον εἱστία καὶ τὸν ὀιστὸν αὐτοῦ ἀφείλετο ᾧ ἐκυβερνᾶτο. Λέγεται δὲ ὁ Ἄβαρις ἐλθεῖν ἐξ Ὑπερβορέων ἀγείρων χρυσὸν εἰς τὸν νεὼν καὶ προλέγων λοιμόν. Κατέλυε δὲ ἐν τοῖς ἱεροῖς καὶ οὔτε πίνων οὔτε ἐσθίων ὤφθη ποτὲ οὐθέν. Λέγεται δὲ καὶ ἐν Λακεδαιμονίοις θῦσαι τὰ κωλυτήρια καὶ διὰ τοῦτο οὐδένα πώποτε ὕστερον ἐν Λακεδαίμονι λοιμὸν γενέσθαι. Τοῦτον οὖν τὸν Ἄβαριν παρελόμενος ὃν εἶχε χρυσοῦν ὀιστὸν, οὗ ἄνευ οὐχ οἷός τ' ἦν τὰς ὁδοὺς ἐξευρίσκειν, ὁμολογοῦντα ἐποίησε. Καὶ ἐν Μεταποντίῳ εὐξαμένων τινῶν γενέσθαι αὐτοῖς τὰ ἐν τῷ προσπλέοντι πλοίῳ· «Νεκρὸς τοίνυν ἂν ὑμῖν,» ἔφη, καὶ ἐφάνη νεκρὸν ἄγον τὸ πλοῖον. Καὶ ἐν Συβάρει τὸν ὄφιν τὸν ἀποκτείνοντα τὸν δασὺν ἔλαβε καὶ ἀπεπέμψατο. Ὁμοίως δὲ καὶ τὸν ἐν Τυρρηνίᾳ τὸν μικρὸν ὄφιν αὐτὸς (ita Rosius pro ὃς) ἀπέκτεινε δάκνων. Ἐν Κρότωνι δὲ τὸν ἀετὸν τὸν λευκὸν κατέψησεν ὑπομείναντα, ὥς φασι. Βουλομένου δέ τινος ἀκούειν οὐκ ἔφη πω λέξειν πρὶν ἢ σημεῖόν τι φανῇ· καὶ μετὰ ταῦτα ἐγένετο ἐν Καυλωνίᾳ ἡ λευκὴ ἄρκτος. Καὶ πρὸς τὸν μέλλοντα ἐξαγγέλλειν αὐτῷ τούτου τὸν θάνατον προεῖπεν αὐτός. Καὶ Μυλλίαν τὸν Κροτωνιάτην ἀνέμνησεν ὅτι ἦν Μίδας ὁ Γορδίου· καὶ ᾤχετο ὁ Μυλλίας εἰς τὴν ἤπειρον ποιήσων ὅσα ἐπὶ τῷ τάφῳ ἐκέλευσε. Λέγεται δὲ καὶ ὅτι τὴν οἰκίαν αὐτοῦ ὁ πριάμενος καὶ ἀνορύξας ἃ μὲν

---

bat iste mordens interfecit. Seditionem etiam orientem suis indicavit discipulis : ideoque Metapontum transiit, a nemine visus. Et flumen Cosam transiens, vocem magnam, humana ampliorem audiit, quæ diceret : « Salve Pythagora », unde summus comitibus incidit pavor. Visus est aliquando Crotone et Metaponti eadem die atque hora. Aliquando in theatro sedens, ut Aristoteles refert, surrexit et assidentibus ostendit femur suum aureum. Feruntur de eo etiam alia mirabilia. Nos autem nolentes transcriptorum munere fungi, hic finem facimus.

Aristoteles dicit a Crotoniatis Pythagoram Apollinem Hyperboreum cognominari. Sed et hæc addit Nicomachi filius, aliquando eodem die atque hora visum illum esse a multis et Metaponti et Crotone... (*lacuna ex Apollonio supplenda est*) ludis surgens, ubi etiam alterum Pythagoras femur ostendit aureum. Dicit idem ille, Pythagoram quum Cosam fluvium transiret appellatum esse, multosque hanc appellationem audiisse.

Pythagoras homines docebat, se præstantiori semine natum, quam mortalis est natura. Nam eadem die et eadem hora visus fuit Metaponti, ut ait (*Aristoteles*), et Crotone. Sed et Olympiæ alterum femur aureum ostendit. Mylliam vero Crotoniaten admonuit, esse eum Midam, filium Gordii, Phrygem. Aquilam quoque albam, quæ se ei submittebat, contrectavit. Transiens etiam fluvium Cosam ab eo appellatus est, dicente : Salve Pythagora.

εἶδεν οὐδενὶ ἐτόλμησεν εἰπεῖν, ἀντὶ δὲ τῆς ἁμαρτίας ταύτης ἐν Κρότωνι ἱεροσυλῶν ἐλήφθη καὶ ἀπέθανε· τὸ γὰρ γένειον ἀποπεσὸν τοῦ ἀγάλματος τὸ χρυσοῦν ἐφωράθη λαβών. Ταῦτα δὲ οὖν λέγουσι πρὸς πίστιν καὶ ἄλλα τοιαῦτα. Similia habent quoque Porphyrius Vit. Pythag. c. 27, 28, Plutarch. Vit. Numæ c. 8, Diog. Laert. VIII, 15.

3. (108.)

Iamblich. de vita Pythag. c. 6 § 31 : Ἱστορεῖ δὲ καὶ Ἀριστοτέλης ἐν τοῖς περὶ τῆς Πυθαγορικῆς φιλοσοφίας, διαίρεσίν τινα τοιάνδε ὑπὸ τῶν ἀνδρῶν ἐν τοῖς πάνυ ἀπορρήτοις διαφυλάττεσθαι· τοῦ λογικοῦ ζῴου τὸ μέν ἐστι θεός, τὸ δ' ἄνθρωπος, τὸ δὲ οἷον Πυθαγόρας. Cf. Iamblich. c. 28 § 144 : Ἔστι γὰρ παρ' αὐτοῖς λεγόμενον ὅτι « ἄνθρωπος δίπος ἐστὶ καὶ ὄρνις καὶ τρίτον ἄλλο »· τὸ γὰρ τρίτον Πυθαγόρας ἐστί.

4. (109.)

Apulejus de Deo Socratis c. 20 : *Credo vestrûm plerósque hoc quod modo dixi cunctantius credere et impendio mirari formam dæmonis Socrati visam. At hoc seculo oppido mirari solitos Pythagoricos, si quis se negaret unquam vidisse dæmonem, satis ut reor idoneus auctor est Aristoteles.* Ita Rosius e cod. Harleiano. In editione Hildebr.: *Etenim secundum Pythagoricos mirari solitos oppido.*

5. (110.)

Plutarch. apud Gellium IV, 11 : *Plutarchus quoque, homo in disciplinis gravi auctoritate, in primo librorum quos de Homero composuit,* Aristotelem *philosophum scripsit eadem ipsa de Pythagoricis scripsisse, quod non abstinuerunt edendis animalibus nisi pauca carne quadam. Verba ipsa Plutarchi, quoniam res inopinata est, subscripsi :* « Ἀριστοτέλης δὲ μήτρας καὶ καρδίας καὶ ἀκαλήφης καὶ τοιούτων ἀπέχεσθαί φησι τοὺς Πυθαγορικούς, χρῆσθαι δὲ τοῖς ἄλλοις. » Ἀκαλήφη *autem est animal marinum quod urtica appellatur. Sed et piscibus nonnullis abstinere Pythagoricos Plutarchus in Symposiacis dicit* (VIII, 8, 1 : Μάλιστα τῶν ἰχθύων ἀπείχοντο· καὶ γὰρ ἱστορεῖται τοῦτο περὶ τῶν παλαιῶν Πυθαγορικῶν).

Porphyr. Vit. Pythag. c. 45 : Ἀπέχεσθαι δὲ καὶ ἄλλων παρῄνει, οἷον μήτρας τε καὶ τριγλίδος καὶ ἀκαλήφης, σχεδὸν δὲ καὶ τῶν ἄλλων θαλασσίων ξυμπάντων. Cf. Iambl. de Pyth. v. 21, § 98.

Diogen. Laert. VIII, 19 : Παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτ' ἐρυθῖνον ἐσθίειν μήτε μελάνουρον· καρδίας τ' ἀπέχεσθαι καὶ κυάμων. Ἀριστοτέλης δέ φησι καὶ μήτρας καὶ τρίγλης ἐνίοτε.

6. (111.)

Diog. Laert. VIII, 33 ss.: Τιμὰς θεοῖς δεῖν νομίζειν καὶ ἥρωσι μὴ τὰς ἴσας, ἀλλὰ θεοῖς ἀεὶ μετ' εὐφημίας λευχειμονοῦντας καὶ ἁγνεύοντας, ἥρωσι δ' ἀπὸ μέσου ἡμέρας. Τὴν δ' ἁγνείαν εἶναι διὰ καθαρμῶν καὶ λουτρῶν καὶ περιρραντηρίων καὶ διὰ τοῦ καθαρεύειν ἀπό τε κήδους καὶ λεχοῦς καὶ μιάσματος παντὸς καὶ ἀπέχεσθαι βρωτῶν θνησειδίων τε κρεῶν καὶ τριγλῶν καὶ μελανούρων καὶ ᾠῶν καὶ τῶν ᾠοτόκων ζῴων καὶ κυάμων καὶ τῶν ἄλλων ὧν παρακελεύονται καὶ οἱ τὰς τελετὰς ἐν τοῖς ἱεροῖς ἐπιτελοῦντες. Φησὶ δ' Ἀριστοτέλης περὶ τῶν κυάμων παραγγέλλειν αὐτὸν ἀπέχεσθαι τῶν κυάμων, ἤτοι ὅτι αἰδοίοις εἰσὶν ὅμοιοι ἢ ὅτι Ἅδου πύλαις· ἀγόνατον γὰρ μόνον· ἢ ὅτι φθείρει ἢ ὅτι τῇ τοῦ ὅλου φύσει ὅμοιον ἢ ὅτι ὀλιγαρχικόν· κληροῦνται γοῦν αὐτοῖς· τὰ δὲ πεσόντ' ἀπὸ τραπέζης μὴ ἀναιρεῖσθαι, ὑπὲρ τοῦ ἐθίζεσθαι μὴ ἀκολάστως ἐσθίειν ἢ ὅτι ἐπὶ τελευτῇ τινός... ἀλεκτρυόνος μὴ ἅπτεσθαι λευκοῦ, ὅτι ἱερὸς τοῦ Μηνὸς καὶ ἱκέτης· τὸ δ' ἦν τῶν ἀγαθῶν· τῷ τε Μηνὶ ἱερός· σημαίνει γὰρ τὰς ὥρας. Τῶν ἰχθύων μὴ ἅπτεσθαι

3.

Tradit vero etiam Aristoteles in libris de Pythagorica philosophia, hujuscemodi divisionem a viris illis inter præcipua arcana servari : animalium ratione præditorum aliud est deus, aliud homo, aliud quale Pythagoras.

5.

Aristoteles a vulva, corde et urtica marina atque id genus quibusdam abstinere dicit Pythagoricos, uti vero aliis.

Super omnia autem erythino et melanuro vesci vetabat, corde itidem ac fabis : addit Aristoteles et vulva et mullo interdum.

6.

Honores diis exhibendos et heroibus non æquales, sed diis quidem semper et cum laudibus amictuque candido et casto corpore honores adhibendos, heroibus vero a meridie. Puritatem vero expiationibus lavacrisque atque aspersionibus fieri, vacando a funere et puerpera et inquinamento omni, item abstinendo ab arrosis morticinisque carnibus triglisque ac melanuris ovisque et quæ ova pariunt animalibus, fabis quoque et ceteris quæ monent quoque qui in templis mysteria ritusque consummant. Ait autem Aristoteles de fabis ideo admonuisse illum fabis abstinendum, sive quod pudendis similes sint, sive quod Orci januis : sunt enim solæ non geniculatæ : sive quod corrumpant, sive quod naturæ universi similes sint, sive quod ad paucorum dominatum pertinent : his quippe in sortiendo utantur. Quæ vero de mensa ceciderint non

ὅσοι ἱεροί· μὴ γὰρ δεῖν τὰ αὐτὰ τετάχθαι θεοῖς καὶ ἀνθρώποις, ὥσπερ οὐδ' ἐλευθέροις καὶ δούλοις. Καὶ τὸ μὲν λευκὸν τῆς τἀγαθοῦ φύσεως, τὸ δὲ μέλαν τοῦ κακοῦ. Ἄρτον μὴ καταγνύειν, ὅτι ἐφ' ἕνα οἱ πάλαι τῶν φίλων ἐφοίτων, καθάπερ ἔτι καὶ νῦν οἱ βάρβαροι· μηδὲ διαιρεῖν ὃς συνάγει αὐτούς· οἱ δὲ πρὸς τὴν ἐν Ἅδου κρίσιν, οἱ δ' εἰς πόλεμον δειλίαν ποιεῖν, οἱ δὲ ἐπεὶ ἀπὸ τούτου ἄρχεται τὸ ὅλον. Καὶ τῶν σχημάτων τὸ κάλλιστον σφαῖραν εἶναι τῶν στερεῶν, τῶν δ' ἐπιπέδων κύκλον. Γῆρας καὶ πᾶν τὸ μειούμενον ὅμοιον· καὶ αὔξην καὶ νεότητα ταὐτόν. Ὑγίειαν τὴν τοῦ εἴδους διαμονήν, νόσον τὴν τούτου φθοράν. Περὶ τῶν ἁλῶν, ὅτι δεῖ παρατίθεσθαι πρὸς ὑπόμνησιν τοῦ δικαίου· οἱ γὰρ ἅλες πᾶν σώζουσιν ὅ τι ἂν παραλάβωσι καὶ γεγόνασιν ἐκ τῶν καθαρωτάτων ἡλίου καὶ θαλάσσης.

Καὶ ταῦτα μέν φησιν ὁ Ἀλέξανδρος ἐν τοῖς Πυθαγορικοῖς ὑπομνήμασιν εὑρηκέναι καὶ τὰ ἐκείνων ἐχόμενα ὁ Ἀριστοτέλης.

Ἀριστοτέλης ἐν τῷ περὶ κυάμων ut olim legebatur, e cod. Laur. correxerunt Cobetus et Rosius, ut jam nullus sit ita inscriptus Aristotelis liber.

Ex his multa apud alios iisdem pæne verbis leguntur : ita apud Ælian. Var. Hist. IV, 17 extr.: Προσέταττε δὲ ὁ αὐτὸς Πυθαγόρας καρδίας ἀπέχεσθαι καὶ ἀλεκτρυόνος λευκοῦ καὶ τῶν θνησειδίων παντὸς μᾶλλον καὶ μὴ χρῆσθαι βαλανείῳ, μηδὲ βαδίζειν τὰς λεωφόρους· ἄδηλον γὰρ εἰ καθαρεύουσι κατ' αὐτὰ ἐκεῖνα. De ovis cf. Plutarch. Quæst. conviv. II, 3, 1; de fabis Lucian. Vitt. auct. c. 6, Porphyr. de vit. Pyth. 44.

7 (112.)

Porphyrii Vit. Pyth. 41 : Ἔλεγε δὲ (ὁ Πυθαγόρας scil.) τινὰ καὶ μυστικῷ τρόπῳ συμβολικῶς, ἃ δὴ ἐπιπλέον Ἀριστοτέλης ἀνέγραψεν· οἷον ὅτι τὴν θάλατταν μὲν ἐκάλει εἶναι [Κρόνου] δάκρυον· τὰς δὲ ἄρκτους Ῥέας χεῖρας· τὴν δὲ Πλειάδα Μουσῶν λύραν· τοὺς δὲ πλανήτας κύνας τῆς Περσεφόνης· τὸν δ' ἐκ χαλκοῦ κρουομένου γινόμενον ἦχον, φωνήν εἶναί τινος τῶν δαιμόνων ἐναπειλημμένην τῷ χαλκῷ.

Κρόνου quod in Porphyrii editionibus deest, præbent Clem. Alexandr. Stromat. V, 8, 51 : Τοιαῦτα καὶ οἱ Πυθαγόρειοι ᾐνίσσοντο, Φερσεφόνης μὲν κύνας τοὺς πλανήτας, Κρόνου δὲ δάκρυον τὴν θάλασσαν ἀλληγοροῦντες. Plutarch. de Isid. c. 32 : Τὸ ὑπὸ τῶν Πυθαγορικῶν λεγόμενον ὡς ἡ θάλαττα Κρόνου δάκρυόν ἐστιν. Similia ænigmata apud Ælianum Var. Hist. IV, 17 : Καὶ τὸν σεισμὸν ἐγενεαλόγει οὐδὲν ἄλλο εἶναι ἢ σύνοδον τῶν τεθνεώτων. Ἡ δὲ ἶρις ἔφασκεν ὡς αὐγὴ τοῦ ἡλίου ἐστί, καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος φωνὴ τῶν κρειττόνων. Nonnullorum ipse Aristoteles in superstitibus meminit libris, ita Analyt. post. II, 10 § 8, de Cælo II, 9 § 3, Meteorol. I, 8 § 2, de Anima I, 2 § 4; cf. Lobeck. *Aglaopham.* p. 885 sqq.

8. (113.)

Porphyrius l. l. ita pergit § 42 : Ἦν δὲ καὶ ἄλλο εἶδος τῶν συμβόλων τοιοῦτον· ζυγὸν μὴ ὑπερβαίνειν, τουτέστι μὴ πλεονεκτεῖν. Μὴ τὸ πῦρ τῇ μαχαίρᾳ σκαλεύειν, ὅπερ ἦν μὴ τὸν ἀνοιδοῦντα καὶ ὀργιζόμενον κινεῖν λόγοις παρατεθηγμένοις. Στέφανόν τε μὴ τίλλειν, τουτέστι τοὺς νόμους μὴ λυμαίνεσθαι· στέφανοι γὰρ πόλεων οὗτοι. Πάλιν δ' αὖ ἕτερα τοιαῦτα· μὴ καρδίαν ἐσθίειν, οἷον μὴ λυπεῖν ἑαυτὸν ἀνίαις. Μηδ' ἐπὶ χοίνικος καθέζεσθαι, οἷον μὴ ἀργὸν ζῆν. Μηδ' ἀποδημοῦντα ἐπιστρέφεσθαι, [τουτέστι] μὴ ἔχεσθαι τοῦ βίου τούτου ἀποθνήσκοντα. Τὰς δὲ λεωφόρους μὴ βαδίζειν, δι' οὗ ταῖς τῶν πολλῶν ἕπεσθαι γνώμαις

---

tollenda, ut assuefiamus nonnisi temperanter edere, sive quod essent mortuo destinata... Gallo plumis albis abstinendum, quod Mensi sacer sit atque ejus supplex : hoc quidem habebatur in bonis : Mensi autem sacer erat, quod horas significat. Pisces item non gustandos eos qui sacri sunt, neque enim fas esse eadem diis et hominibus apponi, sicut nec servis et liberis. Candidum quidem quod est, ad boni pertinere naturam; atrum vero ad mali. Panem non frangendum : namque ad unum veteres amicorum coibant, quemadmodum nunc etiam barbari; neque dividendum esse qui illos cogat : alii ad judicium referunt quod apud inferos fit; alii quod in bello formidinem faciat; alii quod ab hoc incipiat universum. Solidarumque figurarum omnium pulcherrimam sphæram esse, planarum vero circulum. Senectutem et omne detrimento obnoxium pari ratione teneri : juventutem itidem et quicquid incrementa suscipit idem esse. Sanitatem speciei esse constantiam, morbum contra hujus esse interitum. De sale ita sensisse, ut apponendum idcirco statueret, quod justitiæ admoneret : hoc enim quicquid occupaverit servat et gignitur ex purissimis sole ac mari. Hæc sunt quæ Alexander in Pythagoricis reperisse se commentariis tradit, et his affinia Aristoteles.

7.

Quædam etiam arcano modo quasi per ænigmata proferebat, quorum pleraque Aristoteles perscripsit. Verbi gratia, quum mare Saturni lacrymam appellaret; ursas vero polares Rheæ manus, Pleiadem Musarum lyram, planetas canes Proserpinæ; sonum autem, qui æris percussu redditur, dæmonis cujusdam vocem esse in ipso ære inclusam.

8.

Erat et aliud quoddam symbolorum genus hujusmodi : Stateram non esse transiliendam : hoc est, avaritiam esse fugiendam. Ignem gladio non fodiendum : id est, tumi-

ἐκώλυεν, τάς τε τῶν ὀλίγων καὶ πεπαιδευμένων μεταθεῖν. Μηδὲ χελιδόνας ἐν οἰκίαις δέχεσθαι, τουτέστι λάλους ἀνθρώπους καὶ περὶ γλῶτταν ἀκρατεῖς ὁμωροφίους μὴ ποιεῖσθαι. Φορτίον δὲ συνανατιθέναι μὲν τοῖς βαστάζουσιν, συγκαθαιρεῖν δὲ μὴ, δι' οὗ παρῄνει μηδενὶ πρὸς ῥᾳστώνην ἀλλὰ πρὸς ἀρετὴν καὶ πόνους συμπράττειν. Θεῶν τε εἰκόνας ἐν δακτυλίοις μὴ φορεῖν, τουτέστι τὴν περὶ θεῶν δόξαν καὶ λόγον μὴ πρόχειρον μηδὲ φανερὸν ἔχειν μηδ' εἰς πολλοὺς φέρειν. Σπονδάς τε ποιεῖσθαι τοῖς θεοῖς κατὰ τὸ οὖς τῶν ἐκπωμάτων· ἐντεῦθεν γὰρ ᾐνίττετο τιμᾶν τοὺς θεοὺς καὶ ὑμνεῖν τῇ μουσικῇ· αὕτη γὰρ διὰ ὤτων χωρεῖ· μηδ' ἐσθίειν ὅσα μὴ θέμις, γένεσιν, αὔξησιν, ἀρχὴν, τελευτὴν, μηδ' ἐξ ὧν ἡ πρώτη τῶν πάντων ὑπόθεσις γίνεται.

Hieronymus adv. Rufin. l. III, t. IV, 2, p. 469 ed. Paris. 1706 : *Pythagorica et illa præcepta sunt, amicorum omnia esse communia... illaque ænigmata, quæ diligentissime Aristoteles in suis libris prosequitur : Stateram ne transilias, id est ne prætergrediare justitiam ; Ignem gladio ne fodias, iratum videlicet et tumidum animum verbis maledicis ne lacessas; Coronam minime carpendam, id est leges urbium conservandas ; Cor non comedendum, id est mœrorem de animo projiciendum. Quum profectus fueris, inquit, ne redeas, id est post mortem vitam ipsam ne desideres ; Per viam publicam ne ambules, id est ne multorum sequaris errores ; Hirundinem in domum non suscipiendam, id est garrulos et verbosos homines sub eodem tecto non habendos ; Oneratis superponendum, onus deponentibus non communicandum, id est ad virtutem incedentibus augmentanda præcepta, tradentes se otio relinquendos* (1).

Nec minus ex Aristotele fortasse fluxerunt, quæ de his symbolis aliisque similibus apud varios scriptores leguntur, præcipue apud Diogen. Laert. VIII, 17 : Ἦν δ' αὐτῷ τὰ σύμβολα τάδε· πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, ζυγὸν μὴ ὑπερβαίνειν, ἐπὶ χοίνικος μὴ καθίζειν, καρδίαν μὴ ἐσθίειν, φορτίον μὴ συγκαθαιρεῖν, συνεπιτιθέναι δέ· τὰ στρώματα ἀεὶ συνδεδεμένα ἔχειν, ἐν δακτυλίῳ εἰκόνα θεοῦ μὴ περιφέρειν, χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ, δᾳδίῳ θᾶκον μὴ ὀμόργνυσθαι, πρὸς ἥλιον τετραμμένον μὴ ὀμίχειν, τὰς λεωφόρους μὴ βαδίζειν, μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν, ὁμωροφίους χελιδόνας μὴ ἔχειν, γαμψώνυχα μὴ τρέφειν, ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν μηδὲ ἐφίστασθαι, ὀξεῖαν μάχαιραν ἀποστρέφειν, ἀποδημοῦντα ἐπὶ τοῖς ὅροις ἀνεπιστρεπτεῖν. Ἤθελε δ' αὐτῷ τὸ μὲν πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, δυναστῶν ὀργὴν καὶ οἰδοῦντα θυμὸν μὴ κινεῖν· τὸ δὲ ζυγὸν μὴ ὑπερβαίνειν, τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν. Ἐπί τε χοίνικος μὴ καθίζειν, ἐν ἴσῳ τοῦ ἐνεστῶτος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος· ἡ γὰρ χοῖνιξ ἡμερησία τροφή. Διὰ δὲ τοῦ καρδίαν μὴ ἐσθίειν ἐδήλου μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν. Διὰ δὲ τοῦ εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι παρῄνει τοῖς ἀπαλλαττομένοις τοῦ βίου μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν μηδ' ὑπὸ τῶν ἐνταῦθα ἡδονῶν ἐπάγεσθαι. Iamblich. Vit. Pythag. c. 18, s. 82 ss. Ælian. Var. Hist. IV, 17. In Œconomicis quæ Aristoteli tribuuntur, I, c. 4, § 1, legitur : Καθάπερ οἱ Πυθαγόρειοι λέγουσιν, ὥσπερ ἱκέτιν καὶ ἀφ' ἑστίας ἠγμένην ὡς δεῖ ἥκιστα δεῖν ἀδικεῖν.

Quæ apud Iamblichum scripta sunt, quum in iis haud pauca, ne dicam pæne omnia, ex Aristotele desumpta videantur, hîc apponenda sunt : Πάντα δὲ τοιαῦτα ἀκούσματα διῄρηται εἰς

(1) Inde procul dubio ducta sunt quæ frequentissime in codicibus medii ævi leguntur *Ænigmata Aristotelis*. En qualia scripta sunt in cod. Biblioth. Argentorat. 4329, f. 284 recto : *Incipiunt enigmata alristotelis moralizata per fratrem holkot* (cf. Fabricii *Bibl. med. et inf. latin.* l. VIII, p. 799) *sacre pagine professorem. Stateram ne transilias ; id est ne prætergrediaris justitiam. Ignem gladio ne fodias ; id est iracundum verbis asperis ne provoces. Coronam Minerve ne carpias ; id est leges civitatis ne reprehendas. Cor ne comedas ; id est mœrorem de animo expellas. Cum profectus fueris ne redeas : id est post mortem vitam istam ne desideres. Per viam publicam ne ambules ; id est ne multorum sequaris errorem. Irundinem in domo tua ne sustineas, id est verbosos sub eodem tecto tecum non* (habeas). *Primum enigma : stateram ne transilias. Ista statera est vita humana*, etc. In alio vero 1744, fol. 73 recto : *Valerius l.* 3 *ponit enigmata Aristotelis. Primum est* etc. Qui Valerius ille Julius Valerius est cujus historiam fabulosam Alexandri edidit Maius. In nostro vero textu nihil tale legitur.

---

dum et iracundum asperis verbis non commovendum. Coronam non vellicandam : hoc est leges non violandas ; illæ enim civitatum coronæ sunt. Præter hæc et alia hujusmodi : Cor non comedendum : hoc est non oportere semetipsum mœrore conficere. Chœnici seu modio non insidendum : sive non ignaviter vivendum. Ubi profectus fueris, non revertendum : hoc est, imminente morte vitam non desiderandam. Publica via non incedendum : quo vulgi opiniones sequi vetabat, sed paucorum atque eruditorum sectandas. Hirundines in ædes non recipiendas : hoc est, garrulos et intemperantioris linguæ homines in contubernium non admittendos. Homines onera imponendo, non detrahendo juvandos : quo admonebat, non ad ignaviam, sed ad virtutem operam aliis commodandam. Deorum imagines in annulis non ferendas : id est, sapientiam sermonemque de diis non temere passim in promptu habendum, nec in vulgus efferendum. Libamina diis facienda juxta auriculam poculorum. Eo enim indicabat, deos musica honorandos ac celebrandos esse : ea enim aures penetrat. Nec edenda ea, quæ nefas est edere, generationem scilicet, incrementum, principium, finem, neque ea, quibus rerum omnium fundamentum constat.

τρία εἴδη. Τὰ μὲν γὰρ αὐτῶν τί ἐστι σημαίνει, τὰ δὲ τί μάλιστα, τὰ δὲ τί δεῖ πράττειν ἢ μὴ πράττειν. Τὰ μὲν οὖν τί ἐστι τοιαῦτα, οἷον τί ἐστιν αἱ μακάρων νῆσοι, ἥλιος, σελήνη; τί ἐστι τὸ ἐν Δελφοῖς μαντεῖον; τετρακτύς· ὅπερ ἐστὶν ἡ ἁρμονία, ἐν ᾗ αἱ Σειρῆνες. Τὰ δὲ τί μάλιστα, οἷον τί τὸ δικαιότατον; θύειν. Τί τὸ σοφώτατον; ἀριθμὸς, δεύτερον δὲ, τὸ τοῖς πράγμασι τὰ ὀνόματα τιθέμενον. Τί σοφώτατον τῶν παρ' ἡμῖν; ἰατρική. Τί κάλλιστον; ἁρμονία. Τί κράτιστον; γνώμη. Τί ἄριστον; εὐδαιμονία. Τί δὲ τὸ ἀληθέστατον λέγεται; ὅτι πονηροὶ οἱ ἄνθρωποι .. (§ 83.) Ἔστι δὲ αὕτη ἡ αὐτὴ τῇ τῶν ἑπτὰ σοφιστῶν (cf. supra fragm. 29) λεγομένῃ σοφίᾳ. Καὶ γὰρ ἐκεῖνοι ἐζήτουν οὐ τί ἐστι τἀγαθὸν ἀλλὰ τί μάλιστα, οὐδὲ τί τὸ χαλεπὸν ἀλλὰ τί τὸ χαλεπώτατον, ὅτι τὸ αὑτὸν γνῶναι, οὐδὲ τί τὸ ῥᾴδιον ἀλλὰ τί τὸ ῥᾷστον, ὅτι τῷ ἔθει χρῆσθαι. Τῇ τοιαύτῃ γὰρ σοφίᾳ μετηκολουθηκέναι ἔοικε τὰ τοιαῦτα ἀκούσματα· πρότερον γὰρ οὗτοι Πυθαγόρου ἐγένοντο. Τὰ δὲ τί πρακτέον ἢ οὐ πρακτέον τῶν ἀκουσμάτων τοιαῦτά ἐστιν, οἷον ὅτι δεῖ τεκνοποιεῖσθαι· δεῖ γὰρ ἀντικαταλιπεῖν τοὺς θεραπεύοντας τὸν θεόν. Ἢ ὅτι δεῖ τὸν δεξιὸν ὑποδεῖσθαι πρότερον. Ἢ ὅτι οὐ δεῖ τὰς λεωφόρους βαδίζειν ὁδοὺς οὐδὲ εἰς περιρραντήριον ἐμβάπτειν οὐδὲ ἐν βαλανείῳ λούεσθαι· ἄδηλον γὰρ ἐν πᾶσι τούτοις εἰ καθαρεύουσιν οἱ κοινωνοῦντες. Καὶ ἄλλα τάδε· φορτίον μὴ συγκαθαιρεῖν· οὐ γὰρ δεῖ αἴτιον γίνεσθαι τοῦ μὴ πονεῖν, συνανατιθέναι δέ. Χρυσὸν ἐχούσῃ μὴ πλησιάζειν ἐπὶ τεκνοποιίᾳ. Μὴ λέγειν ἄνευ φωτός. Σπένδειν τοῖς θεοῖς κατὰ τὸ οὖς τῆς κύλικος οἰωνοῦ ἕνεκα καὶ ὅπως μὴ ἀπὸ τοῦ αὐτοῦ πίνηται. Ἐν δακτυλίῳ μὴ φέρειν σημεῖον θεοῦ εἰκόνα, ὅπως μὴ μιαίνηται· ἄγαλμα γὰρ, ὅπερ δεῖ φυτεῦσαι ἐν τῷ οἴκῳ. Γυναῖκα οὐ δεῖ διώκειν τὴν αὑτοῦ· ἱκέτις γάρ, διὸ καὶ ἀφ' ἑστίας ἀγόμεθα καὶ ἡ λῆψις διὰ δεξιᾶς. Μηδὲ ἀλεκτρυόνα λευκὸν θύειν· ἱκέτης γάρ, ἱερὸς τοῦ Μηνός, διὸ καὶ σημαίνουσιν ὥραν. Καὶ συμβουλεύειν μηδὲν παρὰ τὸ βέλτιστον τῷ συμβουλευομένῳ· ἱερὸν γὰρ συμβουλή. Ἀγαθὸν οἱ πόνοι, αἱ δὲ ἡδοναὶ ἐκ παντὸς τρόπου κακόν· ἐπὶ κολάσει γὰρ ἐλθόντας δεῖ κολασθῆναι. Θύειν χρὴ ἀνυπόδετον καὶ πρὸς τὰ ἱερὰ προσιέναι. Εἰς ἱερὸν οὐ δεῖ ἐκτρέπεσθαι· οὐ γὰρ πάρεργον δεῖ ποιεῖσθαι τὸ θεῖον. Ὑπομένοντα καὶ ἔχοντα τραύματα ἐν τῷ ἔμπροσθεν τελευτῆσαι ἀγαθόν, ἐναντίως δὲ ἐναντίον. Εἰς μόνα τῶν ζώων οὐκ ἐσέρχεται ἀνθρώπου ψυχὴ ἃ θέμις ἐστὶ τυθῆναι· διὰ τοῦτο τῶν θυσίμων χρὴ ἐσθίειν μόνον οἷς ἂν τὸ ἐσθίειν καθήκῃ, ἄλλου δὲ μηδενὸς ζῴου.

9. (114 b.)

Martianus Capella l. VII, § 731, p. 584 ed. Kopp.: *Licet Aristoteles, unus e sectatoribus meis* (Philosophiæ scilicet quæ loquitur), *ex eo quod unum solum ipsa sit et se quæri semper velit, Cupidinem asserat nominatam, quod se cupiat, siquidem ultra nihil habeat et expers totius elationis aut copulæ in se proprios detorquet ardores.*

Leguntur in capite *de Monade.*

9. (115.)

Theon Smyrn. Arithmet. c. 5, p. 30 ed. de Gelder.: Τῶν δὲ ἀριθμῶν ποιοῦνται τὴν πρώτην τομὴν εἰς δύο· τοὺς μὲν γὰρ αὐτῶν ἀρτίους, τοὺς δὲ περιττούς φασι... πρώτην δὲ τῶν περιττῶν ἔνιοι ἔφασαν μονάδα... Ἀριστοτέλης δὲ ἐν τῷ Πυθαγορικῷ τὸ ἓν φησιν ἀμφοτέρων μετέχειν τῆς φύσεως· ἀρτίῳ μὲν γὰρ προστεθὲν περιττὸν ποιεῖ, περιττῷ δὲ ἄρτιον, ὃ οὐκ ἂν ἠδύνατο εἰ μὴ ἀμφοῖν ταῖν φυσέοιν μετεῖχε· διὸ καὶ ἀρτιοπέριττον καλεῖσθαι τὸ ἕν. Συμφέρεται δὲ τούτοις καὶ Ἀρχύτας.

Cf. Aristot. Metaphys. I, c. 5, 8 : Φαίνονται δὴ καὶ οὗτοι (οἱ καλούμενοι Πυθαγόρειοι scil.) τὸν ἀριθμὸν νομίζοντες ἀρχὴν εἶναι καὶ ὡς ὕλην τοῖς οὖσι καὶ ὡς πάθη τε καὶ ἕξεις, τοῦ δὲ ἀριθμοῦ στοιχεῖα τό τε ἄρτιον καὶ τὸ περιττὸν, τούτων δὲ τὸ μὲν πεπερασμένον τὸ δὲ ἄπειρον, τὸ δὲ ἓν ἐξ ἀμφοτέρων εἶναι τούτων· καὶ γὰρ ἄρτιον εἶναι καὶ περιττόν· τὸν ἀριθμὸν ἐκ τοῦ ἑνὸς, ἀριθμοὺς δὲ καθάπερ εἴρηται τὸν ὅλον οὐρανόν, et Alex. Aphrod. ad h. l. p. 30, 17 Bonitz. : Τῶν δὲ ἀριθμῶν τὴν μονάδα ἀρχὴν εἶναι, συγκειμένην ἔκ τε τοῦ ἀρτίου καὶ περιττοῦ· εἶναι γὰρ τὴν μονάδα ἅμα ἀρτιοπέριττον, ὃ ἐδείκνυε διὰ τοῦ γεννητικὴν αὐτὴν εἶναι καὶ τοῦ περιττοῦ καὶ τοῦ ἀρτίου ἀριθμοῦ· ἀρτίῳ μὲν γὰρ προστιθεμένη περιττὸν γεννᾷ, περιττῷ δὲ ἄρτιον.

10. (116.)

Joann. Stob. Eclog. phys. I, 26, t. I, p. 558 Heer.: Περὶ ἐκλείψεως σελήνης... Τῶν Πυθαγο-

---

9.

Numerorum vero primam divisionem instituunt in duas species, ipsorum enim alios pares, alios impares appellant... Primam vero imparium quidam esse dixerunt unitatem... Aristoteles vero in Pythagorico unum ait utriusque naturæ esse participem. Pari enim additum imparem facit, impari vero parem. Quod præstare non posset, nisi utriusque naturæ particeps fuisset : quamobrem unum pariter impar appellatur ; in quam sententiam etiam Archytas fertur.

10.

Pythagorei quidem, teste Aristotelica narratione et Philippo Opuntio, de defectu lunæ ita sentiunt, obstaculo vel nostræ, vel oppositæ terræ fieri.

ρείων τινὲς κατὰ τὴν Ἀριστοτελικὴν (Ἀριστοτέλιον, i. e. Ἀριστοτέλειον cod. A ap. Meinek.) ἱστορίαν καὶ τοῦ Φιλίππου τοῦ Ὀπουντίου ἀπόφασιν ἀντιφράξει ποτὲ μὲν τῆς γῆς ποτὲ δὲ τῆς ἀντίχθονος. Quæ sequuntur apud Stobæum : τῶν δε νεωτέρων εἰσί τινες οἷς ἔδοξε, ad Aristotelem referri vix possunt, ut Heerenius voluit. Cur hoc fragmentum omiserit Rosius nescio.

11. (117.)

Simplic. in Arist. de Cælo f. 94 recto, p. 492, A, 13 Brand.: Οἱ μὲν οὖν Πυθαγόρειοι εἰς δύο συστοιχίας πάσας τὰς ἀντιθέσεις ἀναγαγόντες, τὴν μὲν χείρονα τὴν δὲ βελτίονα ἤτοι τοῦ ἀγαθοῦ καὶ τοῦ κακοῦ, καὶ τῇ δεκάδι συμβολικῶς ὡς τῷ παντὶ ἀριθμῷ συμπληρώσαντες ἑκατέραν, ἑκάστην ἀντίθεσιν τῶν δέκα οὕτω παρέλαβον ὡς πάσας τὰς ἑαυτῆς συγγενείας συνεμφαίνουσαν. Καὶ τῶν τοπικῶν οὖν σχέσεων τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν παρέλαβον... ἐκ τούτων καὶ τὰς ἄλλας τοπικὰς ἀντιθέσεις ἐδήλωσαν. Τὸ οὖν δεξιὸν καὶ ἄνω καὶ ἔμπροσθεν ἀγαθὸν ἐκάλουν, τὸ δ' ἀριστερὸν καὶ κάτω καὶ ὄπισθεν κακὸν ἔλεγον, ὡς αὐτὸς Ἀριστοτέλης ἱστόρησεν ἐν τῇ τῶν Πυθαγορείοις ἀρεσκόντων Συναγωγῇ.

Aristoteles de Cælo II, 2, § 5 dixerat : Διὸ καὶ τῶν Πυθαγορείων θαυμάσειεν ὅτι δύο μόνας ταύτας ἀρχὰς ἔλεγον, τὸ δεξιὸν καὶ τὸ ἀριστερὸν, τὰς δὲ τέτταρας παρέλιπον οὐθὲν ἧττον κυρίας οὔσας. Cf. ibid. § 1.

12. (118.)

Joann. Stob. Eclog. Phys. I, 18, 1, p. 380 Heer.: Ἀριστοτέλης ἐν τετάρτῳ Φυσικῆς Ἀκροάσεως (IV, 6) γράφει· « Εἶναι δέ φασιν (ἔφασαν καὶ ap. Aristotelem legitur) οἱ Πυθαγόρειοι κενὸν καὶ ἐπεισιέναι αὐτὸ τῷ οὐρανῷ ἐκ τοῦ ἀπείρου πνεύματος ὡς ἀναπνέοντι.» Ἐν δὲ τῷ περὶ τῆς Πυθαγόρου φιλοσοφίας πρώτῳ γράφει τὸν μὲν οὐρανὸν εἶναι ἕνα, ἐπεισάγεσθαι δ' ἐκ τοῦ ἀπείρου χρόνον τε καὶ πνοὴν καὶ τὸ κενὸν, ὃ διορίζει ἑκάστων τὰς χώρας ἀεί.

Idem Stobæus, ibid. I, 18, 4, p. 390 : Οἱ Πυθαγόρου ἐκτὸς εἶναι τοῦ κόσμου κενὸν, εἰς ὃ ἀναπνεῖ ὁ κόσμος καὶ ἐξ οὗ.

Ad Aristotelem fortasse, ut Rosius vidit, referenda sunt quæ ex Alexandro habet Simplicius ad Aristot. Physic. IV, 10, § 7, verba : Οἱ μὲν γὰρ τὴν τοῦ ὅλου κίνησιν εἶναί φασιν (τὸν χρόνον scil.), οἱ δὲ τὴν σφαῖραν αὐτήν· Simpl. f. 165 verso p. 387, B, 6 : Οἱ μὲν τὴν τοῦ ὅλου κίνησιν καὶ περιφορὰν τὸν χρόνον εἶναί φασιν, ὡς τὸν Πλάτωνα νομίζουσιν ὅ τε Εὔδημος καὶ ὁ Θεόφραστος καὶ ὁ Ἀλέξανδρος, οἱ δὲ τὴν σφαῖραν αὐτὴν τοῦ οὐρανοῦ, ὡς τοὺς Πυθαγορικοὺς ἱστοροῦσι λέγειν.

13. (119.)

Alexand. Aphrodis. in Aristot. Metaph. p. 56, 10 Bon.: Τῆς δὲ τάξεως τῆς ἐν τῷ οὐρανῷ ἣν ἐποιοῦντο τῶν ἀριθμῶν οἱ Πυθαγόρειοι, μνημονεύει ἐν τῷ δευτέρῳ περὶ τῆς Πυθαγορικῆς δόξης. De hac re ipse Aristoteles dixit quoque Metaphys. I, 5, § 2; c. 8, § 14.

14. (120.)

Alexand. Aphrodis. in Aristot. Metaphys. I, 5, § 4 : Διώρισται δὲ περὶ τούτων (de denario scil. numero et de Pythagoreorum de eo opinione) ἐν

11.

Pythagorei in duas series omnia quæ inter opposita sunt reducentes, hanc quidem deteriorem, hanc autem meliorem, scilicet boni et mali, et denario numero, tanquam omni numero complentes utramque, unamquamque oppositionem ipsarum decem sic assumpserunt, tamquam omnes sui ipsius cognationes simul declarantem. Et localium igitur habituum dextrum et sinistrum assumpserunt... ex his et alias oppositiones quæ in loco fiunt significaverunt. Nam dextrum et sursum et anterius bonum vocabant; sinistrum autem et deorsum et posterius malum vocabant, ut ipse Aristoteles in collectione eorum quæ Pythagoreis placuerunt narravit.

12.

Aristoteles in quarto Physicæ Auscultationis libro sic ait : Vacuum in cælo ponunt Pythagorei, cælumque illud ex infinito, quod ex eo spiritum ducat, animæ instar ingredi. Primo autem de philosophia Pythagorica libro ita scribit : Cælum esse unum atque ex infinito tempus et vacuum, quod singulorum loca describat, respiratione attrahere.

13.

De ordine cælesti numerorum, quem Pythagorici asserebant, Aristoteles meminit in secundo libro de opinione Pythagoreorum.

14.

Pythagorei quum numerum decem perfectum esse arbitrarentur viderentque in rebus sensu nobis exploratis novem globos moveri, septem errantium stellarum, octavum inerrantium, nonum terræ, nam et hanc in orbem moveri putabant, circa vestam consistentem, quæ secundum ipsos est ignis, quandam antichthonem (*i. e. terram*

ἑτέροις ἡμῖν ἀκριβέστερον· p. 30, 25 Bon.: Αὐτίκα γοῦν τέλειον ἀριθμὸν ἡγούμενοι τὴν δεκάδα, ὁρῶντες δὲ ἐν τοῖς φαινομένοις ἐννέα τὰς κινουμένας σφαίρας, ἑπτὰ μὲν τὰς τῶν πλανωμένων, ὀγδόην δὲ τὴν τῶν ἀπλανῶν, ἐννάτην δὲ τὴν γῆν (καὶ γὰρ καὶ ταύτην ἡγοῦντο κινεῖσθαι κύκλῳ περὶ μένουσαν τὴν ἑστίαν, ὅ πῦρ ἐστὶ κατ' αὐτούς), αὐτοὶ προσέθεσαν ἐν τοῖς δόγμασι καὶ τὴν ἀντίχθονά τινα, ἣν ἀντικινεῖσθαι ὑπέθεντο τῇ γῇ καὶ διὰ τοῦτο τοῖς ἐπὶ τῆς γῆς ἀόρατον εἶναι. Λέγει δὲ περὶ τούτων καὶ ἐν τοῖς περὶ Οὐρανοῦ μὲν καὶ ἐν ταῖς τῶν Πυθαγορικῶν δόξαις ἀκριβέστερον.

Illud ἐν ἑτέροις, quod apud Aristotelem legitur, optime ad secundum librum de Cælo referri posse puto, in cujus cap. 13 satis copiose de hac Pythagoreorum sententia exponitur, ita ut fortasse non necesse sit, propter ἀκριβέστερον quod addit philosophus, cum Bonitzio in comm. ad l. l. p. 79 et *Zeitschr. für œster. Gymn.* 1866, p. 773, de iis libris cogitare quos singillatim de Pythagoreorum doctrina conscripserat philosophus. Non tamen ideo cum Rosio negare velim, Alexandrum tantum modo e conjectura locutum esse, licet, ut et in libris de Bono factum videtur, vix ipse hosce libros quos laudat tractaverit. Ceterum vide sequens fragmentum.

15. (120.)

Ad ipsum locum Aristotelis de Cælo II, c. 13, quem fortasse in Metaphysicis respexerat philosophus, hæc adscripsit Simplicius p. 505, A 18 Brand., p. 229, A, 16 ed. Karsten. Traj. ad Rhen. 1866: Ἀντιφάσκουσι δὲ οἱ Πυθαγόρειοι· τοῦτο γὰρ σημαίνει τὸ ἐναντίως (Aristoteles dixerat: Ἐναντίως οἱ περὶ τὴν Ἰταλίαν, καλούμενοι δὲ Πυθαγόρειοι λέγουσιν)· οὐ περὶ τὸ μέσον λέγοντες αὐτὴν (τὴν γῆν scil.), ἀλλ' ἐν μὲν τῷ μέσῳ τοῦ παντὸς πῦρ εἶναί φασι, περὶ δὲ τὸ μέσον τὴν ἀντίχθονα φέρεσθαί φασι γῆν οὖσαν καὶ αὐτήν, ἀντίχθονα δὲ καλουμένην διὰ τὸ ἐξ ἐναντίας τῇδε τῇ γῇ εἶναι· μετὰ δὲ τὴν ἀντίχθονα ἡ γῆ ἥδε φερομένη καὶ αὐτὴ περὶ τὸ μέσον, μετὰ δὲ τὴν γῆν ἡ σελήνη· οὕτω γὰρ αὐτὸς (ὁ Ἀριστοτέλης scil.) ἐν τῷ περὶ τῶν Πυθαγορικῶν (ἐν τῷ πέρατι τ. II. ap. Brand. et similiter vet. versio lat. Venet. 1555, f. 77 recto: *sic in fine Pythagoricorum* narrat) ἱστορεῖ· τὴν δὲ γῆν ὡς ἓν τῶν ἄστρων οὖσαν κινουμένην περὶ τὸ μέσον κατὰ τὴν πρὸς τὸν ἥλιον σχέσιν νύκτα καὶ ἡμέραν ποιεῖν. Ἡ δὲ ἀντίχθων κινουμένη περὶ τὸ μέσον καὶ ἑπομένη τῇ γῇ οὐχ ὁρᾶται ὑφ' ἡμῶν διὰ τὸ ἐπιπροσθεῖν ἡμῖν ἀεὶ τὸ τῆς γῆς σῶμα... τέλειον γὰρ ἀριθμὸν ὑποθέμενοι τὴν δεκάδα ἐβούλοντο καὶ τῶν κυκλοφορητικῶν σωμάτων τὸν ἀριθμὸν εἰς δέκα συνάγειν. Θέντες οὖν, φησί, τὴν ἀπλανῆ μίαν καὶ τὰς πλανωμένας ἑπτὰ καὶ τὴν γῆν ταύτην σὺν τῇ ἀντίχθονι, τὴν δεκάδα συνεπλήρωσαν. Καὶ οὕτω μὲν αὐτὸς τὰ τῶν Πυθαγορείων ἀπεδέξατο, οἱ δὲ γνησιώτερον αὐτῶν μετασχόντες πῦρ μὲν ἐν τῷ μέσῳ λέγουσι τὴν δημιουργικὴν δύναμιν τὴν ἐκ μέσου πᾶσαν τὴν γῆν ζῳογονοῦσαν καὶ τὸ ἀπεψυγμένον αὐτῆς ἀναθάλπουσαν. Διὸ οἱ μὲν Ζανὸς πύργον αὐτὸ καλοῦσιν, ὡς αὐτὸς ἐν τοῖς Πυθαγορικοῖς (Schol. cod. Coisl. 169 e Simplicio excerptum f. 71 verso, ἐν τοῖς Πυθαγορείοις habet) ἱστόρησεν, οἱ δὲ Διὸς φυλακήν, ὡς ἐν τούτοις (apud Aristotelem scilicet l. l.), οἱ δὲ Διὸς θρόνον, ὡς ἄλλοι φασίν. Ἄστρον δὲ τὴν γῆν ἔλεγον ὡς ὄργανον καὶ αὐτὴν χρόνου (χρόνου deest in ed. Karst.)· ἡμερῶν γάρ ἐστιν αὕτη καὶ νυκτῶν αἰτία. Ἡμέραν μὲν γὰρ ποιεῖ τὸ πρὸς τῷ ἡλίῳ μέρος καταλαμπόμενον, νύκτα δὲ τὸ κατὰ τὸν (ποιεῖ τῷ πρὸς τῷ ἡλίῳ μέρει καταλαμπομένη, νύκτα δὲ κατὰ τὸν ed. Karst.) κῶνον τῆς γινομένης ἀπ' αὐτῆς σκιᾶς. Ἀντίχθονα δὲ τὴν σελήνην ἐκάλουν

---

oppositam) suis dogmatis addebant, quam ipsis in oppositum terræ moveri placebat, ac idcirco oculis in terra degentium esse ignotam. Quibus de rebus exactius disseruit Aristoteles in libris de Cælo, et in Opinionibus Pythagoricorum.

15.

Contradicunt vero Pythagorei; hoc enim significat contrarie (*quo verbo usus est Aristoteles in libro de Cælo*), non circa medium dicentes terram, sed in medio quidem universi ignem esse, circa medium autem antichthonem ferri aiunt, terram autem existentem et ipsam, antichthonem autem vocatam, propterea quod e contrario hujus sit terræ. Post antichthonem autem terra hæc mota et ipsa circa medium, post terram autem luna. Sic enim ipse in libro de Pythagoreis narrat. Terram autem tamquam unum astrorum existentem moveri circa medium et noctem atque diem facere, secundum locum quem ad solem obtinet. Antichthon autem circum medium movetur, et quum sequatur terram, non conspicitur a nobis, quod semper interjacet corpus terræ..... Perfectum enim numerum supponentes denarium voluerunt et corporum quæ in orbem feruntur numerum ad denarium conducere. Ponentes igitur, inquit, astrum infixum unum et septem errantia et hanc terram cum antichthona denarium numerum perfecerunt. Et sic quidem ipse quæ Pythagoricorum sunt accepit. Qui autem sincerius ista callent, ignem quidem in medio dicunt vim effectricem, quæ e medio omnem terram vivificet atque frigiditatem ejus calefaciat. Quapropter hi quidem Jovis turrem ipsum vocant, ut ipse in Pythagoricis narravit; alii autem Jovis custodiam ut in his (*in libris scil. de Cælo*); alii autem Jovis thronum, ut alii narrant. Astrum autem terram dicebant, tamquam instrumentum et ipsam temporis; dierum enim et no-

οἱ Πυθαγόρειοι, ὥσπερ καὶ αἰθερίαν γῆν, καὶ ὡς (ὡς om. Karst.) ἀντιφράττουσαν καὶ ἐπιπροσθοῦσαν τῷ ἡλιακῷ φωτὶ, ὅπερ ἴδιον γῆς, καὶ ὡς ἀποπερατοῦσαν τὰ οὐράνια καθάπερ ἡ γῆ τὰ ὑπὸ σελήνην. Cf. quæ Philolao tribuuntur ap. Joann. Stobæum Ecl. phys. I, c. 23, t. I, p. 488 Heer., Procl. in Plat. Timæum p. 61, C; 172, A; 282, E. Schol. cod. Coisl. 166 ap. Brandis. p. 505, A, 7: Διὸ καὶ Διὸς πύργον καὶ φυλακὴν αὐτὸ (τὸ πῦρ) ἀπεφήναντο. Ἐκάλουν δὲ αὐτὸ καὶ Ἑστίας οἶκον καὶ Διὸς θρόνον.

16. (121.)

Schol. vet. in Hesiod. Theog. v. 275, ἐσχατιῇ πρὸς νυκτὸς, ἵν' Ἑσπερίδες λιγύφωνοι: διὰ τοῦτο ταύτας καλεῖ, διότι κατὰ μουσικὴν ἁρμονίαν οἱ ἀστέρες κινοῦνται περὶ τὰ Γάδειρα, ὡς Ἀριστοτέλης φησί.

Hæc ad libros de Pythagoreorum doctrina retulit Rosius, ob ea quæ habet Simplicius in Arist. de Cælo II, 9, 3, ubi de symphonia Pythagoreorum cælesti dixit philosophus, p. 496, B, 11: Ἡ μέντοι τοῦ μὴ ἀκούειν ἡμᾶς ἀποδοθεῖσα αἰτία ἡ διὰ συντροφίαν καὶ συνήθειαν λέγουσα θαυμάζω εἰ τοῖς Πυθαγορείοις ἐπιπρέπει τὸν Πυθαγόραν ἱστοροῦσιν ἀκοῦσαί ποτε τῆς τοιαύτης ἁρμονίας, καίπερ καὶ ἐκείνῳ σύντροφος ἦν ὥσπερ καὶ τοῖς ἄλλοις ἀνθρώποις· et de eadem re v. 26: Ὥσπερ ὁ Πυθαγόρας ἱστόρηται. Cf. Porphyr. Vit. Pyth. 30, 31, Iamblich. V. Pyth. 65, Schol. Odyss. α, 371. Lobeck. *Aglaoph.* p. 944.

Res valde dubia et locus fortasse potius ad dialogos referendus, nisi de Institutis barbaricis cogitandum est. Ceterum conferri possunt quæ de solis occasu apud Hispanos narrabantur fabulæ, ad quas confutandas et Posidonium triginta dies Gadibus commoratum esse tradit Strabo III, p. 202, B.

17. (122.)

Simplic. in Aristot. de Cælo II, 2, 10: Δῆλον τοίνυν ὅτι ὁ ἀφανὴς πόλος ἐστὶ τὸ ἄνω. Καὶ οἱ μὲν ἐκεῖ οἰκοῦντες ἐν τῷ ἄνω εἰσὶν ἡμισφαιρίῳ καὶ πρὸς τοῖς δεξιοῖς, ἡμεῖς δ' ἐν τῷ κάτω καὶ πρὸς τοῖς ἀριστεροῖς, ἐναντίως ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν· ἐκεῖνοι γὰρ ἡμᾶς ἄνω τε ποιοῦσι καὶ ἐν τῷ δεξιῷ μέρει, τοὺς δ' ἐκεῖ κάτω καὶ ἐν τῷ ἀριστερῷ. Συμβαίνει δὲ τοὐναντίον. Ἀλλὰ τῆς μὲν δευτέρας περιφορᾶς, οἷον τῆς τῶν πλανήτων, ἡμεῖς μὲν ἐν τοῖς ἄνω καὶ ἐν τοῖς δεξιοῖς ἐσμεν, ἐκεῖνοι δὲ ἐν τοῖς κάτω καὶ ἐν τοῖς ἀριστεροῖς. Ἀνάπαλιν γὰρ τούτοις ἡ ἀρχὴ τῆς κινήσεως, p. 492, B, 39 Brand., p. 175, B, 29 Karst.: Πῶς δὲ τοὺς Πυθαγορείους ἡμᾶς ἄνω ποιεῖν φησὶ καὶ ἐν τῷ δεξιῷ, τοὺς δὲ ἐκεῖ κάτω καὶ ἐν τῷ ἀριστερῷ, εἴπερ ὡς αὐτὸς ἐν τῷ δευτέρῳ τῆς Συναγωγῆς τῶν Πυθαγορικῶν ἱστορεῖ, τοῦ ὅλου οὐρανοῦ τὰ μὲν ἄνω λέγουσιν εἶναι τὰ δὲ κάτω, καὶ τὸ μὲν κάτω τοῦ οὐρανοῦ δεξιὸν εἶναι, τὸ δὲ ἄνω ἀριστερόν, καὶ ἡμᾶς ἐν τῷ κάτω εἶναι; ἢ τὸ μὲν ἄνω καὶ πρὸς τοῖς δεξιοῖς ἐνταῦθα λεγόμενον οὐ κατὰ τὸ ἑαυτῷ ἀρέσκον εἶπεν ἀλλὰ κατὰ τοὺς Πυθαγορείους· ἐκεῖνοι γὰρ τῷ δεξιῷ τὸ ἄνω καὶ τὸ ἔμπροσθεν συνέταττον (cf. supra fragm. 11), τῷ δὲ ἀριστερῷ τὸ κάτω καὶ τὸ ὄπισθεν. Τὰ δὲ ἐν τῇ τῶν Πυθαγορικῶν Συναγωγῇ μεταγεγράφθαι μᾶλλον ὑπό τινος ὁ Ἀλέξανδρος οἴεται ὀφείλοντα ἔχειν οὕτω, τὸ μὲν ἄνω τοῦ οὐρανοῦ δεξιὸν εἶναι, τὸ δὲ κάτω ἀριστερόν, καὶ ἡμᾶς ἐν τῷ ἄνω εἶναι, οὐχὶ ἐν τῷ κάτω, ὡς γέγραπται· οὕτω γὰρ ἂν συνᾴδοι τοῖς ἐνταῦθα λεγομένοις, ὅτι ἡμᾶς κάτω λέγοντες οἰκεῖν καὶ διὰ τοῦτο καὶ ἐν τοῖς ἀριστεροῖς, εἴπερ τῷ ἀριστερῷ τὸ κάτω συντέτακται, ἐναντίως λεγόμενον ἢ ὡς οἱ Πυθαγόρειοι λέγουσιν ἄνω καὶ ἐν τοῖς δεξιοῖς. Καὶ τάχα ἔχει λόγον τὸ μεταγεγράφθαι, εἴπερ οἶδεν ὁ Ἀριστοτέλης τῷ μὲν δεξιῷ τὸ ἄνω τῷ δὲ ἀριστερῷ τὸ κάτω συντάττοντας.

ctium causa est. Diem enim facit versus solem pars illuminata, noctem autem versus conum umbræ factæ ab ipsa. Antichthona autem lunam vocabant Pythagorei, sicut et ætheriam terram, et tamquam obumbrantem solare lumen quod est proprium terræ et tamquam terminantem cælestia, sicut terra id quod sub luna est.

16.

Aristoteles dicit circum Gades astra moveri secundum musices harmoniam.

17.

Quomodo autem Aristoteles (*in libris de Cælo*) Pythagoreos nos sursum facere dicit et in dextro, illos autem qui ibi sunt (*in eo quod superius est hemisphærio scil.*), deorsum et in sinistro? siquidem ipse in secundo Collectionis Pythagoricorum narrat, totius cæli, hoc quidem sursum dicunt esse, hoc autem deorsum, et sursum cæli dextrum esse, deorsum autem et sinistrum, et nos deorsum esse? nisi quod sursum et quod ibi dicitur ad dextrum non ex propria mente sed e Pythagoreorum dixit. Illi enim dextro sursum et anterius coordinabant, sinistro vero deorsum et posterius. Ea vero quæ in Collectione Pythagoricorum sunt, Alexander ab aliquo ex errore ita scripta arbitrabatur, quum sic se habere deberent: Quod sursum in cælo est dextrum esse, quod deorsum sinistrum, et nos sursum esse non deorsum, ut scriptum est. Sic enim consonabit his quæ hic dicuntur, quia nos deorsum dicentes habitare propter hoc et in sinistra, siquidem sinistro deorsum coordinatum est, quod e contrario dicimus quam Pythagorei dicunt sursum et in dextris. Et forte rationem habet transcriptum fuisse, siquidem norit Aristoteles eos dextro quidem quod sursum, sinistro autem quod deorsum coordinantes.

Themistius Paraphr. in Arist. de Cœlo, lat. Moyse Alatino interpr. Venet. 1574, fol. 26 verso : *Siquidem Pythagorei dicunt superiorem partem eam esse, quæ dextræ e regione existit : quemadmodum invenimus Aristotelem iis annotationibus carpere eos, quas adversus Pythagoreorum sententias conscripsit : ubi contra eos disputat qui superiorem partem dextram esse contendebant.*

De re cf. Bœckh. *Untersuchung. über das kosmische System des Platon. Berl.* 1852, p. 109.

II. ΠΕΡΙ ΤΗΣ ΑΡΧΥΤΕΙΟΥ ΦΙΛΟΣΟΦΙΑΣ.

Consentiunt indices in recensendis libris tribus de Archytea philosophia, nisi quod pro περὶ τῆς Ἀρχυτείου φιλοσοφίας α′ β′ γ′, ut in Diogenis Laertii (92) codice Marc. et aliis legitur, apud Anonymum (76) περὶ τῆς Ἀρχύτου φιλοσοφίας γ′ editum est, quod et apud Dschemaluddinum (9) *de Archytæ philosophia, libri III*, exprimitur. Apud solum vero Anonymum (78) laudatur : Ἐκ τῶν Τιμαίου καὶ Ἀρχύτου, α′ inscriptus.

Eadem varietas in altero quoque titulo reperitur, quem hîc nominare oportet : τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων apud Diog. Laert. (94), ἐκ τοῦ Τιμαίου καὶ Ἀρχύτου α′ apud Anon. (76), qui, nisi illud conjicere velis, in unum coaluisse duos titulos : τὰ ἐκ τοῦ Τιμαίου et τὰ ἐκ τῶν Ἀρχυτείων, inde explicandus erit, quod in uno volumine hæc duo scripta continebantur, quorum ultimum e majore, tribus libris comprehenso, excerptum tantummodo fuerit.

(124.)

Damascius de Principiis e cod. Hamb. p. 409 apud Rosium (cf. Creuzer, *Meletemata* I, p. 105) : Πέμπτον ἀλλὰ δὴ τὰ ἄλλα τίνα φατέον ὡς ἀληθῶς; εἰ μὲν γάρ... μήποτε οὖν τὰ ἐν τῷ δημιουργῷ πλήθη τὰ ἄλλα ἐστὶν, ὡς οἱ παλαιότεροι λέγουσι τῶν φιλοσόφων. Ἢ οὕτω γε... βέλτιον ἄρα τῷ διορισμῷ αὐτοῦ ἐμμένειν κατὰ τὴν Πυθαγορικὴν συνήθειαν καὶ τὴν αὐτοῦ τοῦ Πλάτωνος ἄλλα νοοῦντας τὰ ἔνυλα πράγματα καὶ αὐτὴν τὴν ὕλην· ἔν τε γὰρ τῷ Φαίδωνι (p. 83, B) οὕτως ὀνομάζει τὰ ἄλλα, τὰ εἴδη τὰ αἰσθητὰ λέγων ἄλλα, καὶ ἐν ἄλλοις· Ἀ ρ ι σ τ ο τ έ λ η ς δὲ ἐν τοῖς Ἀρχυτείοις ἱστορεῖ καὶ Πυθαγόραν ἄλλο τὴν ὕλην καλεῖν ὡς ῥευστὴν καὶ ἀεὶ ἄλλο γιγνόμενον (ἀεὶ ἄλλο καὶ ἄλλο γιγν. Creuz. l. cit.). Ὥστε δῆλός ἐστι καὶ ὁ Πλάτων ταύτῃ τὰ ἄλλα ἀφοριζόμενος. Cf. p. 496 : Πρὸς δὲ τούτοις πᾶν τὸ ἐν ὕλῃ ὂν καὶ αὐτὴν τὴν ὕλην ἄλλα καλεῖ ὁ ἐν Φαίδωνι Σωκράτης καὶ πρὸ αὐτοῦ οἱ Πυθαγόρειοι.

III. ΠΕΡΙ ΔΗΜΟΚΡΙΤΟΥ.

Liber Aristotelis περὶ Δημοκρίτου in indicibus non memoratus, e quo tamen longius fragmentum exscriptum est apud Simplicium, num idem existimandus sit atque cujus titulum recensent Diogenes (124) et Anonymus (107) προβλήματα ἐκ τῶν Δημοκρίτου ζ′, incertum est. Rosius more suo Aristotelis nomen male pro Theophrasti positum conjicit, de libro περὶ Δημοκρίτου α′ cogitans qui in tertio indice scriptorum Theophrasteorum memoratur (Usen. *Anal. Theophr.* p. 11, 6), quem tamen vix diversum puto ab illo qui jam in priori (cf. ib. p. 4, 7) περὶ τῆς Δημοκρίτου ἀστρολογίας α′ nominatur.

(125.)

Simplicius in Arist. de Cælo (I, 10, 2 : Γενόμενον μὲν οὖν [τὸν οὐρανὸν scil.] ἅπαντες εἶναί φασιν, ἀλλὰ γενόμενον οἱ μὲν ἀΐδιον, οἱ δὲ φθαρτὸν ὥσπερ ὁτιοῦν ἄλλο τῶν φύσει συνισταμένων) p. 488, A, 6 Brand. : Καὶ ταῦτα δὲ προστίθησιν ὁ Ἀλέξανδρος ὅτι οἱ λέγοντες ποτὲ μὲν οὕτω τὸ πᾶν ποτὲ δὲ ἄλλως ἔχειν, ἀλλοίωσιν μᾶλλον τοῦ παντὸς ἀλλ' οὐ γένεσιν καὶ φθορὰν λέγουσιν. Οἱ δὲ γενητὸν, φησὶ, καὶ φθαρτὸν λέγοντες τὸν κόσμον ὡς ὁτιοῦν ἄλλο τῶν συνισταμένων εἶεν ἂν οἱ περὶ Δημόκριτον. Ὡς γὰρ ἕκαστον τῶν ἄλλων γίνεται καὶ φθείρεται κατ' αὐτοὺς, οὕτω δὲ καὶ τῶν κόσμων τῶν ἀπείρων ἕκαστος· ὡς γὰρ ἐπὶ τῶν ἄλλων τὸ γενόμενον οὐ ταὐτὸν τῷ φθαρέντι εἰ μὴ ἄρα κατ' εἶδος, οὕτω καὶ ἐπὶ τῶν κόσμων λέγουσιν. Εἰ δὲ αἱ ἄτομοι αἱ αὐταὶ μένουσιν ἀπαθεῖς οὖσαι, δῆλον ὅτι καὶ οὗτοι ἀλλοίωσιν ἂν λέγοιεν τῶν κόσμων, ἀλλ' οὐ φθορὰν, ὥσπερ Ἐμπεδοκλῆς δοκεῖ λέγειν καὶ Ἡράκλειτος· ὀλίγα γὰρ ἐκ τῶν Ἀριστοτέλει περὶ Δημοκρίτου παραγραφέντων δηλώσει τὴν τῶν ἀνδρῶν ἐκείνων διάνοιαν (vers. lat. Guilelmi fol. 45 recto : *Pauca autem ex dictis Ar. de Democrito manifesta faciunt virorum illustrium mentem*, unde sic corrigenda esse græca conjecit Rose : ἐκ τῶν Ἀριστοτέλους π. Δ. vel ἐκ τῶν Ἀριστοτέλει εἰρημένων π. Δημ. παραγραφέντα). In editione Karstenii recens edita, de cujus ta-

---

II. DE ARCHYTEA PHILOSOPHIA.

Aristoteles in Archyteis narrat Pythagoram materiam aliud vocare ut fluxam et quæ semper mutetur.

III. DE DEMOCRITO.

Pauca ex iis quæ Aristoteles de Democrito conscripsit illorum virorum (*Democriti, Empedoclis et Heracliti*

men subsidiis, quum annotatio critica desit, non satis bene judicare licet, hæc ita scripta sunt, p. 132, B, 41 sqq. : ὀλίγα δὲ ἐκ τῶν Ἀριστοτέλους περὶ Δημ. παραγραφέντα. Sunt hæc :

« Δημόκριτος ἡγεῖται τὴν τῶν ἀϊδίων φύσιν εἶναι μικρὰς οὐσίας πλῆθος ἀπείρους, ταύταις δὲ τόπον ἄλλον ὑποτίθησιν ἄπειρον τῷ μεγέθει. Προσαγορεύει δὲ τὸν μὲν τόπον τοῖσδε τοῖς ὀνόμασι, τῷ τε κενῷ καὶ τῷ οὐδενὶ καὶ τῷ ἀπείρῳ, τῶν δὲ οὐσιῶν ἑκάστην τῷ τῷδε καὶ τῷ ναστῷ καὶ τῷ ὄντι. Νομίζει δὲ εἶναι οὕτω μικρὰς τὰς οὐσίας ὥστε ἐκφυγεῖν τὰς ἡμετέρας αἰσθήσεις, ὑπάρχειν δὲ αὐταῖς παντοίας μορφὰς καὶ σχήματα παντοῖα καὶ κατὰ μέγεθος διαφοράν. Ἐκ τούτων οὖν ἤδη καθάπερ ἐκ στοιχείων γεννᾶν (corr. γεννᾶσθαι Ros.) καὶ συγκρίνειν (συγκρίνεσθαι id.) τοὺς ὀφθαλμοφανεῖς καὶ τοὺς αἰσθητοὺς ὄγκους. Στασιάζειν δὲ καὶ φέρεσθαι ἐν τῷ κενῷ διά τε τὴν ἀνομοιότητα καὶ τὰς ἄλλας τὰς εἰρημένας διαφοράς, φερομένας δὲ ἐμπίπτειν καὶ περιπλέκεσθαι περιπλοκὴν τοιαύτην, ἣ συμψαύειν μὲν αὐτὰ καὶ πλησίον ἀλλήλων εἶναι ποιεῖ, φύσιν μέντοι μίαν ἐξ ἐκείνων κατ' ἀλήθειαν οὐδ' ἡντιναοῦν γεννᾷ· κομιδῇ γὰρ εὔηθες εἶναι τὰ δύο ἢ τὰ πλείονα γενέσθαι ἄν ποτε ἕν. Τοῦ δὲ συμμένειν τὰς οὐσίας μετ' ἀλλήλων μέχρι τινὸς αἰτιᾶται τὰς ἐπαλλαγὰς καὶ τὰς ἀντιλήψεις τῶν σωμάτων· τὰ μὲν γὰρ αὐτῶν εἶναι σκαληνά, τὰ δὲ ἀγκιστρώδη, τὰ δὲ ἄλλα (ἄλλας Ros. et sic versio lat. Venet. 1563) ἀναρίθμους ἔχοντα διαφοράς. Ἐπὶ τοσοῦτον οὖν χρόνον σφῶν αὐτῶν ἀντέχεσθαι νομίζει καὶ συμμένειν, ἕως ἰσχυροτέρα τις ἐκ τοῦ περιέχοντος ἀνάγκη παραγενομένη καὶ διασείσῃ καὶ χωρὶς αὐτὰς διασπείρῃ. » Λέγει δὲ τὴν γένεσιν καὶ τὴν ἐναντίαν αὐτῇ διάκρισιν οὐ μόνον περὶ ζῴων ἀλλὰ καὶ περὶ φυτῶν καὶ περὶ κόσμων καὶ συλλήβδην περὶ τῶν αἰσθητῶν σωμάτων ἁπάντων. Εἰ τοίνυν ἡ μὲν γένεσις σύγκρισις τῶν ἀτόμων ἐστίν, ἡ δὲ φθορὰ διάκρισις, καὶ κατὰ Δημόκριτον ἀλλοίωσις ἂν εἴη ἡ γένεσις· καὶ γὰρ καὶ Ἐμπεδοκλῆς τὸ γινόμενον οὐ ταὐτὸ τῷ φθαρέντι φησὶν εἰ μὴ ἄρα κατ' εἶδος. Καὶ ὅλως τοῦτον ἀλλοίωσιν ἀλλ' οὐ γένεσιν ὑποτίθεσθαί φησιν Ἀλέξανδρος.

Quæ in Karstenii editione aliter se habent hæc sunt : l. 2, ante πλῆθος inseritur τό; l. 5, post ἑκάστην legitur πλήρει, στερεῷ καὶ ὄντι; l. 6, ἐκφεύγειν; l. 8, διαφοράς; l. 9, γεννᾶσθαι et συγκρίνεσθαι; l. 13, τὰς omiss. ante εἰρημένας; l. 18, τὸ δύο ἢ πλείονα; l. 22, post ἀγκιστρώδη, leg. τὰ δὲ κοῖλα, τὰ δὲ κυρτά, τὰ δὲ ἄλλας (cf. vers. latin.); l. 26, (om. καὶ) διασείσῃ.

ΠΕΡΙ ΠΛΑΤΩΝΟΣ.

Scriptorum quæ ad philosophiam Platonis pertinent duo sunt genera : alterum cui adnumerandi sunt libri περὶ τἀγαθοῦ et fortasse περὶ Ἰδεῶν: alterum vero quod ex illis constat, quæ Platonicorum scriptorum tantum compendia fuisse videntur. Ex his (ne de illo loquar titulo apud Dschemalud. (52) *Platonis jusjurandum libri VI*, quem Græci ignorant) opus quod inscribitur τὰ ἐκ τῶν Νόμων Πλάτωνος α' β' γ' in indicibus tantum memoratur, Diog. Laert. (21), Anonym. (23), apud quem β' legitur, reliquorum vero quum alibi quoque mentio occurrat, jam de singulis videndum erit.

---

scil.) manifestam faciunt mentem : « Democritus existimat naturam æternorum esse parvas substantias multitudine infinitas. His autem supponit alium locum infinitum magnitudine. Appellat autem locum his nominibus, vacuum, nullum et infinitum, substantiarum autem unamquamque plenum, solidum et ens. Putat autem substantias sic esse parvas ut effugiant nostros sensus, inesse vero ipsis omnimodas formas et figuras omnimodas et secundum magnitudinem diversas. Ex his igitur jam sicut ex elementis generari et concerni oculis apparentes et sensibiles moles; dissipari autem et corrumpi in vacuo propter dissimilitudinem et alias differentias dictas, notas autem incidere et complicari tali complexione, quæ contingere quidem ipsas et sibi invicem vicinas esse facit. Naturam vero unam ex illis secundum veritatem nullam generari : nam per absurdum esse duo aut plura fieri unquam unum. Causas vero cur ad tempus inter se commaneant substantiæ dicit esse adjunctiones et receptiones atomorum. Nam has quidem ipsarum esse scalares, has autem aduncas, [has autem concavas, has vero gibbas, *hæc in versione lat. Venet.* 1563 *expressa adduntur*], has alias habentes innumeras differentias. Tantum igitur tempus eas inter se cohærere putat et simul manere, donec validior aliqua ex continente necessitas adveniens dissolvat seorsumque ipsas dispergat. » Dicit autem generationem et contrariam ipsius disgregationem non solum de animalibus sed et de plantis et de mundis et summatim de sensibilibus corporibus omnibus. Si igitur generatio congregatio atomorum est, corruptio autem disgregatio, etiam secundum Democritum alteratio utique erit generatio. Nam etiam Empedocles quod generatur non idem esse cum corrupto ait, nisi forsan secundum speciem, et tamen hanc alterationem sed non generationem supponere ait Alexander.

IV. ΤΑ ΕΚ ΤΗΣ ΠΟΛΙΤΕΙΑΣ ΠΛΑΤΩΝΟΣ.

Compendium Platonis librorum de Republica recenset Diog. L. (22) τὰ ἐκ τῆς Πολιτείας α′ β′, ubi e præcedenti titulo τὰ ἐκ τῶν Νόμων Πλάτωνος nomen philosophi supplendum est. Titulum Anonymus omisit, habent vero Arabum indices : *Compendium operis Platonici de Regimine civitatum libri II*, Dschemalud. (15); *libri V de administranda Republica*, *excerpsit ibi cum delectu verba Platonis*, Hadschi Khalfa V, 60 Flügel. In quo titulo quod quinque indicantur libri, inde fortasse factum est, quod in unum conjuncti sunt tres libri Compendii Legum et duo Reipublicæ, cui conjecturæ alter favere titulus videtur qui apud eundem memoratur, p. 142 : *Aristoteles de Voluptate libri duo*, *in quibus potiora quæ Plato in Politia dixerat*, *selecta tractavit*. Facile enim perspicitur e duobus diversis titulis coaluisse hunc, quum in indice Dschemaluddini (16) liber *de voluptate* statim adjiciatur. Quæ in Theophrasti scriptorum tabula affertur Ἐπιτομὴ τῆς Πλάτωνος Πολιτείας α′ β′ (*Analecta Theophrastea*, p. 4, 15 Usen.), num eadem fuerit atque Aristotelis, quod et Usenerus sibi persuasit, cujus hæc sunt verba l. l. p. 19 : « Epitomam Reipublicæ Platonicæ duobus libris comprehensam quæ et in Theophrasti et in Aristotelis scriptis ferebatur, majore certe cum jure Aristoteli quam illi tribuas, nisi ab adolescentulo in præceptoris usum perscriptam esse existimaveris, » dijudicari vix licet, quum et ab utroque tale compendium confici potuerit.

(126.)

Proclus in Plat. Rempubl. p. 350 ed. Basil. : Ἕτεροι δὲ οὐχ ἐλάττους τούτων οὐδὲ ἀνεχεγγυώτερα γράφοντες περὶ πολιτείας εἶναι τὴν πρόθεσιν ἀξιοῦσιν, εἰ καὶ πρότερον ζήτημα γέγονε περὶ δικαιοσύνης, οὐχ ὡς προηγούμενον ὂν ἀλλ' ὡς εὐπρόσωπον τῷ περὶ πολιτείας σκέμματι παρέχον ὁδόν. Καὶ μαρτυροῦνται καὶ οὗτοι τὴν ἐπιγραφὴν ἀρχαιοτάτην οὖσαν· καὶ γὰρ Ἀριστοτέλης ἐπιτεμνόμενος τὴν πραγματείαν ταύτην οὑτωσί φησιν « ἐπιτέμνεσθαι τὴν Πολιτείαν. »

V. ΤΑ ΕΚ ΤΟΥ ΤΙΜΑΙΟΥ ΠΛΑΤΩΝΟΣ.

De compendio Timæi Platonici ab Aristotele facto, ita Simplicius in Arist. de Cælo, p. 491, B, 35 : Καὶ πάντων οἶμαι μᾶλλον ὁ Ἀριστοτέλης τὴν ἐν Τιμαίῳ περὶ τούτων τοῦ Πλάτωνος γνώμην ἠπίστατο, ὃς καὶ σύνοψιν ἢ ἐπιτομὴν τοῦ Τιμαίου γράφειν οὐκ ἀπηξίωσεν. Ad hunc igitur librum spectat titulus : Τὰ ἐκ τοῦ Τιμαίου καὶ τῶν Ἀρχυτείων apud Diog. Laert. (94), ἐκ τοῦ Τιμαίου καὶ Ἀρχύτου α′ apud Anon. (76) : diversus vero est, quem recenset Hadschi Khalfa (15) : *Timæus de scientia magica ad modum Græcorum*.

VI. ΠΕΡΙ ΤἈΓΑΘΟΥ.

In iis quæ de Platone tradidit, Aristotelem non solum superstitibus philosophi dialogis usum esse, præter ea quæ in Topicorum libro sexto, c. 2 § 5 leguntur : Ἔτι εἰ μὴ κειμένοις ὀνόμασι χρῆται, οἷον Πλάτων ὀφρυόσκιον τὸν ὀφθαλμόν, ἢ τὸ φαλάγγιον σηψιδακές, ἢ τὸν μυελὸν ὀστεογενές· πᾶν γὰρ ἀσαφὲς τὸ μὴ εἰωθός, manifeste declarant qui sequuntur loci, de Anima I, c. 2 § 7 : Πλάτων ἐν τῷ Τιμαίῳ (p. 35, A) τὴν ψυχὴν ἐκ τῶν στοιχείων ποιεῖ.... ὁμοίως δὲ καὶ ἐν τοῖς περὶ φιλοσοφίας λεγομένοις (λόγοις cod. V et ed. Camotiana) διωρίσθη, αὐτὸ μὲν τὸ ζῷον ἐξ αὐτῆς τῆς τοῦ ἑνὸς ἰδέας καὶ τοῦ πρώτου μήκους καὶ πλάτους καὶ βάθους, τὰ δ' ἄλλα ὁμοιοτρόπως. Ἔτι δὲ καὶ ἄλλως, νοῦν μὲν τὸ ἕν, ἐπιστήμην δὲ τὰ δύο· μοναχῶς γὰρ ἐφ' ἕν· τὸν δὲ τοῦ ἐπιπέδου ἀριθμὸν δόξαν, αἴσθησιν δὲ τὸν τοῦ στερεοῦ, præsertim vero Physicorum IV : Διὸ καὶ Πλάτων τὴν ὕλην καὶ τὴν χώραν ταὐτό φησιν εἶναι ἐν τῷ Τιμαίῳ (p. 52, A) · τὸ γὰρ μεταληπτικὸν καὶ τὴν χώραν ἓν καὶ ταὐτόν· ἄλλον δὲ τρόπον ἐκεῖ τε λέγων τὸ μεταληπτικὸν καὶ ἐν τοῖς λεγομένοις ἀγράφοις δόγμασιν, ὅμως τὸν τόπον καὶ τὴν χώραν τὸ αὐτὸ ἀπεφήνατο. Tertius præterea locus est apud Aristotelem de Gener. et Corrupt. II, 3 : Ὡσαύτως δὲ καὶ οἱ τρία λέγοντες (στοιχεῖα scil.) καθάπερ Πλάτων ἐν ταῖς Διαιρέσεσιν· τὸ γὰρ μέσον μίγμα ποιεῖ, quem, ut e Joannis Philoponi commentario ad h. l. fol. 50, B discimus : Ἀποδεκτέον οὖν μᾶλλον ὅπερ τελευταῖον προστίθησιν ὁ Ἀλέξανδρος φάσκων περὶ τῶν ἀγράφων δογμάτων τοῦ Πλάτωνος λέγειν τὸν Ἀριστοτέλην, ἅπερ αὐτὸς Ἀριστοτέλης ἀπεγράφετο, καὶ ταῦτα καλεῖν Διαιρέσεις. Ἐν ἐκείνοις τοίνυν ὁ Πλάτων τὸ μέγα καὶ μικρὸν καὶ τὸ μεταξὺ τούτων ὑποτίθεται, Alexander conjectura ad libros de Bono retulerat, quæ tamen res obscurior est quam ut dijudicari possit. Quid vero sint quæ illic περὶ φιλοσοφίας, hic

DE PLATONE.

IV. EXCERPTA E PLATONIS REPUBLICA.

Aristoteles quum in compendium redigeret Platonis Rempublicam dicit ita : « In compendium se redegisse Rempublicam. »

autem ἄγραφα δόγματα nominantur, optime intelligetur ipsius Aristotelis testimonio, quod ex ejus ore se excepisse tradit Aristoxenus. Cujus de auctoritate in hac re, cur, ut a nonnullis factum est, dubitetur, equidem ego nullam video causam. Hæc enim ille Elem. Rhythm. II, p. 30 Meibom. : Καθάπερ Ἀριστοτέλης ἀεὶ διηγεῖτο τοῦτο πλείστοις τῶν ἀκουσάντων παρὰ Πλάτωνος τὴν περὶ τἀγαθοῦ ἀκρόασιν παθεῖν· προσιέναι γὰρ ἕκαστον ὑπολαμβάνοντα λήψεσθαί τι τῶν νομιζομένων τούτων ἀνθρωπίνων ἀγαθῶν· οἷον πλοῦτον, ὑγίειαν, ἰσχύν, τὸ ὅλον εὐδαιμονίαν τινὰ θαυμαστήν. Ὅτε δὲ φανείησαν οἱ λόγοι περὶ μαθημάτων καὶ ἀριθμῶν καὶ γεωμετρίας καὶ τὸ πέρας ὅτι ἀγαθόν ἐστιν ἓν παντελῶς, οἶμαι, παράδοξόν τι ἐφαίνετο αὐτοῖς. Eandem rem quam sive ex Aristoxeno, sive aliunde acceperat, narrat quoque Themistius Orat. XXI, p. 245, C Hard., a quo licet pleraque rhetorico more exornata sint, tamen illud docemur, in consueto discipulorum consessu disputasse philosophum, postquam illa turba quæ primum undique confluxerat, ut Platonem audiret, dissipata esset. Cujus hæc sunt verba : Ἐπεὶ καὶ Πλάτωνα τὸν σοφὸν οὐδὲν ἐκώλυεν εἶναι σοφὸν, ὅτι αὐτοῦ λέγοντος ἐν τῷ Πειραιεῖ, ξυνέρρεόν τε καὶ ξυνῄεσαν οὐ μόνον ἐκ τοῦ ἄστεος κατιὼν ὁ δῆμος, ἀλλὰ καὶ ἐκ τῶν ἀγρῶν καὶ ἐκ τῶν ἀμπέλων καὶ ἐκ τῶν ἔργων τῶν ἀργυρείων. Καὶ οὖν ὁπηνίκα τοὺς περὶ τἀγαθοῦ διεξῄει λόγους, ἰλιγγίασέ ποτε ὁ πολὺς ὅμιλος, καὶ ἀπερρύησαν τοῦ χοροῦ, καὶ τελευτῶν δὴ κατέληξεν εἰς τοὺς συνήθεις ὁμιλητὰς τῷ Πλάτωνι μόνους τὸ θέατρον. Quæ vero in hunc modum Plato disputaverat, a multis excepta et scriptis mandata erant, de qua re præclarum exstat Alexandri Aphrodisiensis testimonium a Simplicio ad l. l. Physicor. allatum, fol. 32, verso (p. 334, B, 25 Brand.) : Λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι κατὰ Πλάτωνα πάντων ἀρχὴ καὶ αὐτῶν τῶν ἰδεῶν τό τε ἓν ἐστι καὶ ἡ ἀόριστος δυὰς, ἣν μέγα καὶ μικρὸν ἔλεγεν, ὡς καὶ ἐν τοῖς περὶ τἈγαθοῦ Ἀριστοτέλης μνημονεύει. Λάβοι δὲ ἄν τις καὶ παρὰ Σπευσίππου καὶ παρὰ Ξενοκράτους καὶ τῶν ἄλλων, οἳ παρεγένοντο ἐν τῇ περὶ τἀγαθοῦ Πλάτωνος ἀκροάσει· πάντες γὰρ συνέγραψαν καὶ διεσώσαντο τὴν δόξαν αὐτοῦ καὶ ταύταις αὐτὸν ἀρχαῖς χρῆσθαι λέγουσιν· eadem infra, ex eodem ut videtur fonte, iterum tangit fol. 104 verso (p. 362, A, 10 Brand.) : Τὴν δὲ ἀόριστον δυάδα καὶ ἐν τοῖς νοητοῖς τιθεὶς (ὁ Πλάτων scil.) ἄπειρον εἶναι ἔλεγεν, καὶ τὸ μέγα δὲ καὶ τὸ μικρὸν ἀρχὰς τιθεὶς ἄπειρα εἶναι ἔλεγεν ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις, οἷς ὁ Ἀριστοτέλης καὶ Ἡρακλείδης (cf. Roulez *de Heraclide Pontico*, Lovanii, 1828, p. 19) καὶ Ἑστιαῖος (cf. Diog. Laert. III, 46, Brandis, *Geschichte der gr.-rœm. Philosophie,* t. II, 1, p. 180), καὶ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι παραγενόμενοι ἀνεγράψαντο τὰ ῥηθέντα αἰνιγματωδῶς, ὡς ἐρρήθη, Πορφύριος δὲ διαρθροῦν αὐτὰ ἐπαγγελλόμενος τάδε περὶ αὐτῶν γέγραφεν ἐν τῷ Φιλήβῳ. Interposita deinde Porphyrii explicatione ita pergit Simplicius : Καὶ ὁ Ἀλέξανδρος δὲ καὶ αὐτὸς ἐκ τῶν περὶ τἀγαθοῦ λόγων τοῦ Πλάτωνος ὁμολογῶν λέγειν ὡς ἱστόρησαν Ἀριστοτέλης τε καὶ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι. Cum his conspirat quodammodo Theodorus Metochita in iis quæ annotavit ad locum supra laudatum Aristotelis de Anima, p. 190 latinæ versionis : *In opere autem, inquit, de philosophia, de iis quæ Platoni in summa visa sunt de iis quæ sunt : quod quidem opus nunc non exstat, fertur autem fuisse scriptum a Xenocrate Platonis successore,* nisi quod, ut a Joanne Philopono quoque factum est, in Aristot. Physic. l. l. p. 371, B, 23 : Τὰς δὲ ἀγράφους συνουσίας τοῦ Πλάτωνος αὐτὸς ὁ Ἀριστοτέλης ἀπεγράψατο, unum tantum modo ex illis nominat qui hanc de Bono disputationem scriptis mandaverant. Ex his vero quæ ex Alexandro tradita sunt manifestum fit libros περὶ τἀγαθοῦ quos recenset Diogenes Laertius in catalogo scriptorum Xenocratis (IV, 13) et Heraclidis (V, 87), nullos alios fuisse, quam qui Platonis disputationem continerent. Quæ si recte se habent, jam ex similitudine illud demonstrari poterit, quod et per se satis probabile videtur, libros περὶ τἈγαθοῦ ab Aristotele conscriptos, minime, ut Rosius voluit, dialogicam formam habuisse, quippe quum et Heraclidis de Bono libri non inter dialogos, sed inter physici argumenti scripta a Diogene reponantur.

De libris περὶ τἈγαθοῦ satis jam disputata forent, nisi et quædam adjicienda essent de errore, in quem, ut multi inciderent, ipsius Aristotelis verbis factum esse puto. Quum enim ille, ubi Platonis disputationem significat in libris de Anima I, 2, 7, eam τὰ περὶ φιλοσοφίας λεγόμενα appellasset, hæc a nonnullis ita intellecta sunt quasi de libris quos ipse περὶ Φιλοσοφίας conscripserat accipienda essent. Talis autem error eo facilius propagari potuit, quod jam antiqui philosophi interpretes non satis accurate semper distinxisse videntur quæ hic distinguenda erant. Cujus rei exemplo sunt qui exscriptus est a Suida vetus interpres s. v. Ἀγαθοῦ δαίμονος, ubi legitur : Ὅτι περὶ τἈγαθοῦ βιβλίον συντάξας Ἀριστοτέλης τὰς ἀγράφους τοῦ Πλάτωνος δόξας ἐν αὐτῷ κατατάττει καὶ μέμνηται τοῦ συντάγματος Ἀριστοτέλης ἐν τῷ α' περὶ Ψυχῆς ἐπονομάζων αὐτὸ περὶ Φιλοσοφίας (cf. Schol. e cod. Paris. apud Brandis. *Diatribe de Arist. de Bono*, etc.,

p. 49), non minus quam Simplicius, qui ita ad l. l. Aristotelis de Anima fol. 5 verso : Περὶ φιλοσοφίας μὲν νῦν λέγει, τὰς περὶ τοῦ ἀγαθοῦ αὐτῷ ἐκ τῆς Πλάτωνος ἀναγεγραμμένας συνουσίας, ἐν οἷς ἱστορεῖ τάς τε Πυθαγορείους καὶ Πλατωνικὰς περὶ τῶν ὄντων δόξας, quorum uterque in eo reprehendendus est, quod, quum de Platonis disputatione locutus esset Aristoteles, id ad ipsius Aristotelis libros, quibus illa continebatur disputatio, retulerunt. Simili plane errore factum esse arbitror ut Alexander Aphrod. in Metaphys. p. 86, 31 Bon., et qui illum manifeste exscripsit auctor commentarii ad Metaph. XII, 9, p. 756, 17 Bon., libros περὶ Φιλοσοφίας appellaverint qui alias περὶ τ'Ἀγαθοῦ nominantur. Aliter vero de loco, quem ut ex Aristotelis libris de Bono desumptum esse attestatur auctor Vitæ Marcianæ, statuendum esse patet. Etsi enim ignoro unde illius error natus sit, quin erraverit nullo tamen modo dubito, et quidem ita ut male libros de Bono pro libris de Philosophia nominasse existimandus sit. Quod si quis audacius a nobis affirmatum esse contendat, consideret, quæso, quam negligenter qui hanc Vitam consarcinavit, et in reliquis ubi verba Aristotelis apposuit, versatus sit (cf. p. 7 et notas Robbii p. 40 sqq.).

Librorum de Bono, ut et hoc addam, obscuriorem fortasse aliquam famam deprehendes apud Dionysium Halicarn. de Thucydide p. 815 Reiske : Ἀριστοτέλης τε γὰρ οὐχ ἅπαντα κατὰ τὸ κράτιστον εἰρῆσθαι πείθεται τῷ καθηγητῇ Πλάτωνι, ὧν ἐστὶ καὶ τὰ περὶ τῆς ἰδέας καὶ τὰ περὶ τἀγαθοῦ καὶ τὰ περὶ πολιτείας. De qua tamen re nihil affirmare velim, quum et de doctrina tantummodo ita loqui potuerit Dionysius.

1. (127.)

Alexand. Aphrodis. in Aristot. Metaphys. III, 2, § 6 (Σχεδὸν δὲ πάντα ἀνάγεται τἀναντία εἰς τὴν ἀρχὴν ταύτην· τεθεωρήσθω δ' ἡμῖν ταῦτα ἐν τῇ Ἐκλογῇ τῶν ἐναντίων), p. 206, 19 Bon. (p. 642, B, 20 Brand.) : Ἀναπέμπει δὲ ἡμᾶς περὶ τοῦ γνῶναι ὅτι σχεδὸν πάντα τὰ ἐναντία ὡς εἰς ἀρχὴν ἀνάγεται τό τε ἓν καὶ τὸ πλῆθος εἰς τὴν Ἐκλογὴν τῶν ἐναντίων, ὡς ἰδίᾳ περὶ τούτων πραγματευσάμενος. Εἴρηκε δὲ περὶ τῆς τοιαύτης ἐκλογῆς καὶ ἐν τῷ δευτέρῳ περὶ τ'Ἀγαθοῦ.

Eandem rem sæpius tangunt veteres interpretes, ita Alexand. Aphrod. in Metaphys. l. l. § 14 (Πάντα δὲ καὶ τἆλλα ἀναγόμενα φαίνεται εἰς τὸ ἓν καὶ πλῆθος· εἰλήφθω γὰρ ἡ ἀναγωγὴ ἡμῖν), p. 218, 10 Bon. : Διὰ δὲ τοῦ « εἰλήφθω γὰρ ἡ ἀναγωγὴ ἡμῖν » ἀναπέμπει πάλιν ἡμᾶς εἰς τὰ ἐν τῷ β' περὶ τ'Ἀγαθοῦ δεδειγμένα; in Metaph. l. l. § 15 (Φανερὸν οὖν καὶ ἐκ τούτων ὅτι μιᾶς ἐπιστήμης τὸ ὂν ᾗ ὂν θεωρῆσαι), p. 218, 15 : εἰπὼν ὅτι πως τὰ ἐναντία πάντα εἰς τὸ ἓν καὶ πλῆθος ἀνάγεται, καὶ τοῦτο δι' ἧς πεποίηται ἀναγωγῆς τῶν ἐναντίων ἐν τῷ β' περὶ τ'Ἀγαθοῦ εἰς ταῦτα πιστωσάμενος... δῆλόν φησι. Alexandrum in hisce omnibus locis exscripsit Asclepius, cf. schol. p. 649, B, 4 Brand. et Pseudo-Philoponus quem citat Ravaisson, *Essai sur la Métaphysique*, t. I, p. 73, nec minus ad eundem auctorem reducenda sunt quæ tribus locis in posterioribus libris commentarii ad Metaphysica qui ex Alexandro excerpti sunt, leguntur. Ita ad Metaph. IX, 3 § 3 (Ἔστι δὲ τοῦ μὲν ἑνός, ὥσπερ καὶ ἐν τῇ διαιρέσει τῶν ἐναντίων διεγράψαμεν, τὸ ταὐτὸ καὶ ὅμοιον καὶ ἴσον, τοῦ δὲ πλήθους τὸ ἕτερον καὶ ἀνόμοιον καὶ ἄνισον), p. 588, 1 Bon. : Πεποίηκε γὰρ διαίρεσιν ἐν τοῖς περὶ τ'Ἀγαθοῦ, ὡς καὶ ἐν ἄλλοις (ad libr. III, 2) εἴπομεν, δι' ἧς ἅπαντα τὰ ἐναντία εἴς τε τὸ πλῆθος καὶ τὸ ἓν ἀνήγαγεν, ad quem locum in cod. Paris. 1853 apud Brand. p. 788, A, 45 adscribitur hoc scholium : Τῷ ἐπιγραφομένῳ περὶ τ'Ἀγαθοῦ βιβλίῳ, ὃ νῦν οὐχ ἔστιν εὑρισκόμενον, in Metaph. X, 3, § 4 (Ἐπεὶ δὲ παντὸς τοῦ ὄντος πρὸς ἕν τι καὶ κοινὸν ἡ ἀναγωγὴ γίγνεται καὶ τῶν ἐναντιώσεων ἑκάστη πρὸς τὰς πρώτας διαφορὰς καὶ ἐναντιώσεις ἀναχθήσεται τοῦ ὄντος, εἴτε πλῆθος καὶ ἓν εἴθ' ὁμοιότης καὶ ἀνομοιότης αἱ πρῶται τοῦ ὄντος εἰσὶ διαφοραὶ εἴτ' ἄλλαι τινές· ἔστωσαν γὰρ αὗται τεθεωρημέναι), p. 616, 1 Bon. : Εἴρηκε γὰρ τίνες αὗται εἰσὶν ἐν τῷ περὶ τ'Ἀγαθοῦ ἐπιγραφομένῳ αὐτοῦ βιβλίῳ· in Metaph. XI, 7 § 4 (ὅτι δ' ἔστι τὸ οὗ ἕνεκα ἐν τοῖς ἀκινήτοις, ἡ διαίρεσις δηλοῖ), p. 669, 26 Bon. : Λέγων διαίρεσιν ἐν ᾗ πολλάκις εἴρηκε τὴν τῶν ἐναντίων πεποιηκέναι ἀναγωγήν· ταύτην δὲ πεποίηκεν ἐν τῷ περὶ τ'Ἀγαθοῦ ἐπιγραφομένῳ βιβλίῳ, quibus locis addendum est Schol. cod. Paris. 1853 ad Metaphys. IX, 4 § 11 (ἀπόχρη δὲ κἂν τὰ πρῶτα καὶ τὰ γένη τῶν ἐναντίων, οἷον τὸ ἓν καὶ τὰ πολλά· τὰ γὰρ ἄλλα εἰς ταῦτα ἀνάγεται), p. 790, A, 11 Brand. : Ἐν τῷ περὶ τ'Ἀγαθοῦ μονοβιβλίῳ, ἐν ᾧ διαίρεσιν πάντων τῶν ἐναντίων ἐποιήσατο, πάντα τε τὰ ἐναντία εἰς τὸ ἓν ἀνῆξε καὶ τὰ πολλά.

DE BONO.

1.

Ut cuncta fere contraria ad unius et multitudinis oppositionem referri intelligamus, relegat nos Aristoteles ad Eclogam (*delectionem seu explicationem*) Contrariorum, quasi de his peculiariter disseruerit. De qua locutus est et in secundo libro de Bono.

2. (128.)

Alexander Aphrod. in Arist. Metaph. I, 6, p. 41, 20 Bon.: Ἀρχὰς μὲν τῶν ὄντων τοὺς ἀριθμοὺς Πλάτων τε καὶ οἱ Πυθαγόρειοι ὑπετίθεντο, ὅτι ἐδόκει αὐτοῖς τὸ πρῶτον ἀρχὴ εἶναι καὶ τὸ ἀσύνθετον, τῶν δὲ σωμάτων πρῶτα τὰ ἐπίπεδα εἶναι (τὰ γὰρ ἁπλούστερά τε καὶ μὴ συναιρούμενα πρῶτα τῇ φύσει), ἐπιπέδων δὲ γραμμαὶ κατὰ τὸν αὐτὸν λόγον, γραμμῶν δὲ στιγμαί, ἃς οἱ μαθηματικοὶ σημεῖα, αὐτοὶ δὲ μονάδας ἔλεγον, ἀσύνθετα παντάπασιν ὄντα καὶ οὐδὲν πρὸ αὐτῶν ἔχοντα· αἱ δὲ μονάδες ἀριθμοί, οἱ ἀριθμοὶ ἄρα πρῶτοι τῶν ὄντων. Καὶ ἐπεὶ τὰ εἴδη πρῶτά τε καὶ αἱ ἰδέαι πρῶται τῶν πρὸς αὐτὰ ὄντων κατ' αὐτὸν καὶ παρ' αὐτῶν τὸ εἶναι ἐχόντων (ἃ ὅτι ἔστι, διὰ πλειόνων ἐπειρᾶτο δεικνύναι), τὰ εἴδη ἀριθμοὺς ἔλεγεν. Εἰ γὰρ τὸ μονοειδὲς πρῶτον τῶν πρὸς αὐτοῦ ὄντων, μηδὲν δὲ πρῶτον ἀριθμοῦ, τὰ εἴδη ἀριθμοί. Διὸ καὶ τὰς τοῦ ἀριθμοῦ ἀρχὰς τῶν τε εἰδῶν ἀρχὰς ἔλεγεν εἶναι καὶ τὸ ἓν τῶν πάντων. Ἔτι τὰ μὲν εἴδη τῶν ἄλλων ἀρχαί, τῶν δὲ ἰδεῶν ἀριθμῶν οὐσῶν ἀρχαὶ αἱ τοῦ ἀριθμοῦ ἀρχαί· ἀρχὰς δὲ ἀριθμοῦ ἔλεγεν εἶναι τήν τε μονάδα καὶ τὴν δυάδα. Ἐπεὶ γὰρ ἔστιν ἐν τοῖς ἀριθμοῖς τὸ ἕν τε καὶ τὸ παρὰ τὸ ἕν, ὅ ἐστι πολλά τε καὶ ὀλίγα, ὃ πρῶτον παρὰ τὸ ἕν ἐστιν ἐν αὐτοῖς, τοῦτο ἀρχὴν ἐτίθετο τῶν τε πολλῶν καὶ τῶν ὀλίγων. Ἔστι δὲ ἡ δυὰς πρώτη παρὰ τὸ ἕν, ἔχουσα ἐν αὐτῇ καὶ τὸ πολὺ καὶ τὸ ὀλίγον· τὸ μὲν γὰρ διπλάσιον πολύ, τὸ δὲ ἥμισυ ὀλίγον, ἅ ἐστιν ἐν τῇ δυάδι· ἔστι δὲ ἐναντία τῷ ἑνί, εἴ γε τὸ μὲν ἀδιαίρετον τὸ δὲ διῃρημένον. Ἔτι δὲ τὸ ἴσον καὶ τὸ ἄνισον ἀρχὰς ἁπάντων τῶν τε καθ' αὑτὰ ὄντων καὶ τῶν ἀντικειμένων ἡγούμενος δεικνύναι (πάντα γὰρ ἐπειρᾶτο ὡς εἰς ἁπλούστατα ταῦτα ἀνάγειν), τὸ μὲν ἴσον τῇ μονάδι ἀνετίθει, τὸ δὲ ἄνισον τῇ ὑπεροχῇ καὶ τῇ ἐλλείψει· ἐν δυσὶ γὰρ ἡ ἀνισότης, μεγάλῳ τε καὶ μικρῷ, ἅ ἐστιν ὑπερέχον τε καὶ ἐλλεῖπον. Διὸ καὶ ἀόριστον αὐτὴν ἐκάλει δυάδα, ὅτι μηδέτερον, μήτε τὸ ὑπερέχον μήτε τὸ ὑπερεχόμενον, καθὸ τοιοῦτον, ὡρισμένον, ἀλλ' ἀόριστόν τε καὶ ἄπειρον. Ὁρισθεῖσαν δὲ τῷ ἑνὶ τὴν ἀόριστον δυάδα γίγνεσθαι τὴν ἐν τοῖς ἀριθμοῖς δυάδα· ἓν γὰρ τῷ εἴδει ἡ δυὰς ἡ τοιαύτη. Ἔτι πρῶτος μὲν ἀριθμὸς ἡ δυάς· ταύτης δὲ ἀρχαὶ τό τε ὑπερέχον καὶ τὸ ὑπερεχόμενον, ἐπεὶ ἐν μὲν τῇ δυάδι πρώτῃ· τὸ μὲν γὰρ διπλάσιον καὶ τὸ ἥμισυ ὑπερέχον τε καὶ ὑπερεχόμενον, οὐκέτι δὲ τὸ ὑπερέχον τε καὶ ὑπερεχόμενον διπλάσιον καὶ ἥμισυ· ὥστε ταῦτα τοῦ διπλασίου εἶναι στοιχεῖα. Καὶ ἐπεὶ ὁρισθέντα τὸ ὑπερέχον τε καὶ τὸ ὑπερεχόμενον διπλάσιον καὶ ἥμισυ γίγνεται (οὐκέτι γὰρ ἀόριστα ταῦτα, ὥσπερ οὐδὲ τὸ τριπλάσιον καὶ τὸ τρίτον ἢ τετραπλάσιον καὶ τέταρτον ἤ τι τῶν ἄλλων τῶν ὡρισμένην ἐχόντων τὴν ὑπεροχὴν ἤδη), τοῦτο δὲ ἡ τοῦ ἑνὸς φύσις ποιεῖ (ἓν γὰρ ἕκαστον, καθὸ τόδε τί ἐστι καὶ ὡρισμένον), εἴη ἂν στοιχεῖον τῆς δυάδος τῆς ἐν τοῖς ἀριθμοῖς τό τε ἓν καὶ τό μέγα καὶ τὸ μικρόν. Ἀλλὰ μὴν πρῶτος ἀριθμὸς ἡ δυάς· ταῦτα ἄρα τῆς δυάδος στοιχεῖα. Καὶ διὰ τοιαῦτα μέν τινα ἀρχὰς τῶν τε ἀριθ-

2.

Numeros principia rerum esse Platonis et Pythagoreorum placitum fuit. Primum namque incompositum ipsis principium esse videbatur. Porro corporibus plana esse priora, simpliciora enim nec contracta prima esse naturâ; planis eadem ratione lineas, lineis puncta, quæ a mathematicis signa, ab his unitates appellabantur: quæ simplicia omnia sunt, nec habeat quidquam ante se. At unitates numeri sunt, numeri ergo priores sunt entibus, et quoniam formæ per Platonem ideæque priores sunt rebus, quæ ad sui exemplar efficiuntur, et ab ipsis habent esse, quas ideas esse multis rationibus confirmare conabatur, idcirco formas numeros esse dicebat. Si enim solitarium prius est iis, quæ ab ipso exsistunt, nihil autem est prius numero, superest ut formæ numeri sint. Quocirca numerorum principia, formarum esse principia dicebat, unum autem omnium. Præterea formas aliarum rerum esse principia, formarum autem quæ numeri sunt, principia esse ipsius numeri principia. Tum numeri unitatem et dualitatem principia esse confirmabat. Nam quum sit in numeris unum et non unum, quod est plura et pauca, quod primum in ipsis non est unum, id multorum et paucorum principium esse dicebat. Primum autem non unum est dualitas, quæ in se multum continet atque paucum. Nam duplum multum est, dimidium vero paucum, quæ in dualitate insunt. Est autem dualitas uni opposita, siquidem illud est individuum, hæc autem divisa. Præterea putans se demonstrare æquale et inæquale principia esse omnium tum per se exsistentium, tum his oppositorum, nihil enim relinquit inexpertum, ut ad simplicissimum omnia referat, æquale refert ad unitatem, inæquale vero ad excessum et defectum. Inæqualitas enim in duobus, inest enim in magno et parvo, quæ sunt excedens et deficiens. Quamobrem ipsam dualitatem indefinitum appellabat, quod neutrum ipsorum, neque superans neque superatum, quatenus est tale, determinatum esset, sed indeterminatum et infinitum. Ceterum dualitatem indefinitam, uno terminatam, fieri dualitatem, quæ in numeris habetur. Dualitas enim hujusmodi est unum specie, præterea dualitas primus est numerus. Hujus vero principia sunt excedens et excessum, quoniam in prima dualitate est duplum et dimidium, duplum autem et dimidium est excedens et excessum; quo fit ut hæc sint elementa dupli. Et quia excedens et excessum determinata duplum et dimidium efficiuntur, neque enim amplius hæc sunt indeterminata, non magis quam triplum tertiumque vel quadruplum et quartum aut aliorum quodque, habentium jam excessum determinatum, hoc autem facit unius natura, unum quod-

μῶν καὶ τῶν ὄντων ἁπάντων ἐτίθετο Πλάτων τό τε ἓν καὶ τὴν δυάδα, ὡς ἐν τοῖς περὶ τἀγαθοῦ Ἀριστοτέλης λέγει. Cf. ib. 9 § 3, p. 63, 17 Bon. : Αἱ γὰρ ἀρχαὶ αὐτοῖς καὶ αὐτῶν τῶν ἰδεῶν εἰσὶν ἀρχαί. Ἀρχαὶ δέ εἰσι τό τε ἓν καὶ ἡ ἀόριστος δυάς, ὡς πρὸ ὀλίγου τε εἴρηκε καὶ ἱστόρηκεν αὐτὸς (ὁ Ἀριστοτέλης scil.) ἐν τοῖς περὶ τἀγαθοῦ.

3. (129.)

Ex Alexandro et Porphyrio, ut ipsi testantur, suam de hac doctrina ceteri hauserunt Aristotelis interpretes notitiam : ita Simplicius in Aristot. Physic. I, 4 f. 32 verso (p. 334, B, 25) : Λέγει δὲ ὁ Ἀλέξανδρος ὅτι κατὰ Πλάτωνα πάντων ἀρχὴ καὶ αὐτῶν τῶν ἰδεῶν τό τε ἕν ἐστι καὶ ἡ ἀόριστος δυάς, ἣν μέγα καὶ μικρὸν ἔλεγεν, ὡς καὶ ἐν τοῖς περὶ τἀγαθοῦ Ἀριστοτέλης μνημονεύει. Λάβοι δὲ ἄν τις καὶ παρὰ Σπευσίππου καὶ παρὰ Ξενοκράτους καὶ τῶν ἄλλων, οἳ παρεγένοντο ἐν τῇ περὶ τἀγαθοῦ τοῦ Πλάτωνος ἀκροάσει· πάντες γὰρ συνέγραψαν καὶ διεσώσαντο τὴν δόξαν αὐτοῦ καὶ ταύταις αὐτὸν ἀρχαῖς χρῆσθαι λέγουσι.

Idem ad III, 4, ib. f. 104 verso (p. 362, A, 7) : Ἀρχὰς γὰρ καὶ τῶν αἰσθητῶν τὸ ἓν καὶ τὴν ἀόριστόν φασι δυάδα λέγειν τὸν Πλάτωνα, τὴν δὲ ἀόριστον δυάδα καὶ ἐν τοῖς νοητοῖς τιθεὶς ἄπειρον εἶναι ἔλεγεν· καὶ τὸ μέγα δὲ καὶ τὸ μικρὸν ἀρχὰς τιθεὶς ἄπειρον εἶναι ἔλεγεν ἐν τοῖς περὶ τἀγαθοῦ λόγοις, οἷς ὁ Ἀριστοτέλης καὶ Ἡρακλείδης καὶ Ἑστιαῖος καὶ ἄλλοι τοῦ Πλάτωνος ἑταῖροι παραγενόμενοι ἀπεγράψαντο τὰ ῥηθέντα αἰνιγματωδῶς, ὡς ἐρρήθη. Πορφύριος δὲ διαρθροῦν αὐτὰ ἐπαγγελλόμενος, τάδε περὶ αὐτῶν γέγραφεν ἐν τῷ Φιλήβῳ (in commentario scil. in Platonis Philebum)· « Αὐτὸς τὸ μᾶλλον καὶ τὸ ἧττον καὶ τὸ σφόδρα καὶ τὸ ἠρέμα τῆς ἀπείρου φύσεως εἶναι βούλεται. Ὅπου γὰρ ἂν ταῦτα ἐνῇ κατὰ τὴν ἐπίτασιν καὶ ἄνεσιν προϊόντα, οὐχ ἵσταται οὐδὲ περαίνει τὸ μετέχον αὐτῶν, ἀλλὰ πρόεισιν εἰς τὸ τῆς ἀπειρίας ἀόριστον. Ὁμοίως δὲ ἔχει καὶ τὸ μεῖζον καὶ τὸ ἔλαττον, καὶ τὰ ἀντ' αὐτῶν λεγόμενα ὑπὸ Πλάτωνος τὸ μέγα καὶ τὸ μικρόν. Ὑποκείσθω γάρ τι μέγεθος πεπερασμένον οἷον πῆχυς, οὗ δίχα διαιρεθέντος, εἰ τὸ μὲν ἕτερον ἡμίπηχυ ἄτμητον ἐάσωμεν, τὸ δὲ ἕτερον ἡμίπηχυ τέμνοντες κατὰ βραχὺ προστίθεμεν τῷ ἀτμήτῳ, δύο ἂν γένοιτο τῷ πήχει μέρη, τὸ μὲν ἐπὶ τὸ ἔλαττον προϊόν, τὸ δὲ ἐπὶ τὸ μεῖζον ἀτελευτήτως· οὐ γὰρ ἂν εἰς ἀδιαίρετόν γε μέρος ποτὲ ἔλθοιμεν τέμνοντες· συνεχὲς γάρ ἐστιν ὁ πῆχυς· τὸ δὲ συνεχὲς διαιρεῖται εἰς ἀεὶ διαιρετά. Ἡ δὲ τοιαύτη ἀδιάλειπτος τομὴ δηλοῖ τινα φύσιν ἀπείρου καταχεκλεισμένην ἐν τῷ πήχει. Μᾶλλον δὲ πλείους, τὴν μὲν ἐπὶ τὸ μέγα τὴν δὲ ἐπὶ τὸ μικρόν. Ἐν τούτοις δὲ καὶ ἡ ἀόριστος δυὰς ὁρᾶται ἔκ τε τῆς ἐπὶ τὸ μέγα καὶ τῆς ἐπὶ τὸ μικρὸν μονάδος συγκειμένη· καὶ ὑπάρχει ταῦτα τοῖς τε συνεχέσι σώμασι καὶ τοῖς ἀριθμοῖς· ἀριθμὸς μὲν γὰρ πρῶτος ἡ δυὰς ἄρτιος. Ἐν δὲ τῇ φύσει τοῦ ἀρτίου τό τε διπλάσιον ἐν ὑπεροχῇ, τὸ δὲ ἥμισυ ἐν ἐλλείψει· ὑπεροχὴ οὖν καὶ ἔλλειψις ἐν τῷ ἀρτίῳ· πρῶτος δὲ ἄρτιος ἐν ἀριθμοῖς ἡ δυάς, ἀλλὰ καθ' αὑτὴν μὲν ἀόριστος· ὡρίσθη δὲ τῇ τοῦ ἑνὸς μετοχῇ· ὥρισται γὰρ ἡ δυὰς καθ' ὅσον ἕν τι εἶδός ἐστι. Στοιχεῖα οὖν καὶ ἀριθμῶν τὸ ἓν καὶ ἡ δυάς, τὸ μὲν περαῖνον καὶ εἰδοποιοῦν, ἡ δὲ ἀόριστος καὶ ἐν ὑπεροχῇ καὶ ἐν ἐλλείψει. » Ταῦτα ὁ Πορφύριος εἶπεν αὐτῇ σχεδὸν τῇ λέξει, διαρθροῦν ἐπαγγειλάμενος τὰ ἐν τῇ περὶ τἀγαθοῦ συνουσίᾳ αἰνιγματωδῶς ῥηθέντα, καὶ ἴσως ὅτι σύμφωνα ἐκεῖνα ἦν τοῖς ἐν Φιλήβῳ γεγραμμένοις. Καὶ ὁ Ἀλέξανδρος δὲ καὶ αὐτὸς ἐκ τῶν περὶ τἀγαθοῦ λόγων τοῦ Πλάτωνος ὁμολογῶν λέγειν, οὓς ἱστόρησαν Ἀριστοτέλης τε καὶ

---

que enim quatenus hoc aliquid est, determinatum habetur idcirco unum, et magnum atque parvum dualitatis, quæ in numeris habetur, elementum esse videtur, at primus numerus est dualitas : hæc ergo sunt dualitatis elementa. Atque ob talia quidem Plato unum et dualitatem et numerorum et omnium rerum principia esse statuebat, ut Aristoteles refert in libris de Bono.

Nam principia his ipsarum quoque idearum sunt principia. Sunt vero principium unum et dualitas indefinita, ut paulo ante dixit, et ipse refert in libris de Bono.

3.

Alexander dicit Platonem statuisse principium omnium et ipsarum idearum etiam unum et indefinitam dualitatem, quam magnum et parvum dixit, ceu Aristoteles in libris de Bono meminit. Sed hoc quispiam potius accipiat a Speusippo, Xenocrate et aliis, qui interfuerant lectionibus Platonis de Bono. Nam omnes conscripserunt et servaverunt opinionem ejus, et dicunt illum his principiis usum fuisse.

XXIX. Diog. Laert. III, 106 : Ἡ συμβουλία διαιρεῖται εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐκ τῶν παροιχομένων χρόνων λαμβανόμενον, ἓν δ' ἐκ τῶν μελλόντων, ἓν δ' ἐκ τῶν ἐνεστώτων. Τὰ μὲν οὖν ἐκ τῶν παροιχομένων παραδείγματα, οἷον τί ἔπαθον Λακεδαιμόνιοι πιστεύσαντες· τὰ δ' ἐκ τῶν παρόντων, οἷον ἀποφαίνειν τείχη ἀσθενῆ, δειλοὺς ἀνθρώπους, σῖτον ὀλίγον· τὰ δ' ἐκ τῶν μελλόντων, οἷον ταῖς ὑπονοίαις μὴ ἀδικεῖν τὰς πρεσβείας, ὅπως μὴ ἄδοξος ἡ Ἑλλὰς γένηται. Τῆς ἄρα συμβουλίας τὰ μέν ἐστιν ἐκ τῶν παροιχομένων, τὰ δ' ἐκ τῶν παρόντων, τὰ δ' ἐκ τῶν μελλόντων.

Cod. Marc. 18 : Διαιρεῖται ἡ συμβουλία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐκ τῶν παρῳχημένων, ἓν δὲ ἐκ τῶν παρόντων, ἓν δὲ ἐκ τῶν μελλόντων. Τὸ μὲν οὖν ἐκ τῶν παρῳχημένων ἐστὶν οἷον τὰ παραδείγματα, ὅτι καὶ πρότερον ἡμῶν ἀπειθήσαντες ἀνηκέστοις κακοῖς περιέπεσαν· τὸ δὲ ἐκ τῶν παρόντων οἷον τὰ παρόντα πράγματα ἐμφανίζειν, ὅτι ἐὰν τὰ τείχη ἡμῶν ἀκατασκεύαστα ὦσι καὶ ἡμεῖς ἄοπλοι ὦμεν, οἱ δὲ πολέμιοι ἅπασι τούτοις κατεσκευασμένοι· σκοπῶμεν δὴ ὅπως πολεμεῖν δυνησόμεθα· τὸ δὲ ἐκ τῶν μελλόντων οἷον τὰ ἀποβησόμενα ἐμφανίζειν, ὅτι· « Ὁρᾶτε μὴ ἐὰν ἐπιπλευσάντων πολεμίων ἥ τε χώρα ἀπόληται ὑμῶν καὶ τὰ σώματα τὰ πολλὰ μάτην διαφθαρῇ, καὶ ὑμεῖς μὴ οὐδὲν ἧττον ἀναγκασθῆτε ταῦτα πράττειν ἃ νῦν ἔστιν ὑμῖν καὶ ἀκινδύνως πράττειν. »

XXX. Diog. Laert. III, 107 : Ἡ φωνὴ διαιρεῖται εἰς δύο· ἓν μὲν αὐτῆς ἐστιν ἔμψυχον, ἓν δ' ἄψυχον. Ἔμψυχον μὲν ἡ τῶν ζῴων φωνή, ἄψυχον δὲ φθόγγοι καὶ ἦχοι. Τῆς τοῦ ἐμψύχου φωνῆς ἡ μέν ἐστιν ἐγγράμματος, ἡ δὲ ἀγράμματος. Ἐγγράμματος μὲν ἡ τῶν ἀνθρώπων, ἀγράμματος δ' ἡ τῶν ζῴων. Τῆς ἄρα φωνῆς ἡ μὲν ἔμψυχος ἡ δὲ ἄψυχος.

Cod. Marc. 24 : Διαιρεῖται ἡ φωνὴ εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἡ μὲν ἔμψυχος, ἡ δὲ ἄψυχος, καὶ ἡ μὲν καὶ ἐγγράμματος, ἡ δὲ ἀγράμματος. Ἔστι δὲ ἡ μὲν ἔμψυχος ἡ τῶν ζῴων, ἡ δὲ ἄψυχος οἷον ἦχοι καὶ ψόφοι καὶ ἡ τῆς λύρας καὶ τῶν ἄλλων [an αὐλῶν?] φωνή· καὶ ἐγγράμματος μὲν ἡ τῶν ἀνθρώπων φωνὴ καὶ ζῴων τινῶν οἷον ἀηδόνων, χελιδόνων, στρουθίων καὶ τῶν τοιούτων, ἀγράμματος δὲ ἡ ἀδιάθετος ὡς οἱ ποππυσμοὶ καὶ ἦχοι καὶ ψόφοι καὶ τὰ τοιαῦτα.

XXXI. Diog. Laert. III 107 : Τῶν ὄντων τὰ μέν ἐστι μεριστά, τὰ δ' ἀμέριστα. Τούτων δὲ τῶν μεριστῶν τὰ μὲν ὁμοιομερῆ, τὰ δ' ἀνομοιομερῆ. Ἀμερῆ μὲν οὖν ἐστιν ὅσα μὴ ἔχει διαίρεσιν μηδ' ἔκ τινος σύγκειται, οἷον ἥ τε μονὰς καὶ ἡ στιγμὴ καὶ ὁ φθόγγος· μεριστὰ δ' ὅσα ἔκ τινος σύγκειται, οἷον αἵ τε συλλαβαὶ καὶ συμφωνίαι καὶ ζῷα καὶ ὕδωρ καὶ χρυσός. Καὶ ὁμοιομερῆ μὲν ὅσα ἐξ ὁμοίων σύγκειται καὶ μηδὲν διαφέρει τὸ ὅλον τοῦ μέρους εἰ μὴ τῷ πλήθει, οἷον τὸ

XXIX. Consilium tripartitum est : aliud quippe a præterito, aliud a futuro, aliud a præsenti tempore sumitur. Præteritum tempus exempla suppeditat, veluti quid passi sint Lacedæmonii fidem habentes; præsens autem rem ipsam quæ in manibus est considerare monet, puta imbecilles muros, homines timidos, annonæ caritatem. Futurum prospicere suadet, ut si non esse violandas dicimus suspicione legationes, ne Græcia gloriam honestatis amittat. Consilia igitur capiuntur alia ex præteritis, alia ex præsentibus, alia ex futuris.

18. Consilium in tria dividitur : aliud enim a præterito, aliud a præsenti, aliud a futuro tempore sumitur. Quod a præterito tempore sumitur, exempla præbet, eos qui olim nobis non obedientes fuerint in intolerabilia mala incidisse : quod a præsenti, res ipsas declarare monet, ut si nostri muri non parati sint et nos ipsi inermes, hostes vero hisce omnibus ornati, considerandum est quomodo bellum facturi simus. Quod vero a futuro est ex eventu declarat, ut : « Videte ne, si, adnavigantibus hostibus, regio vestra vastata erit et multa corpora frustra perierint, nihilominus cogamini eadem facere, quæ nunc sine periculo facere licet. »

XXX. Vox in duo dividitur : est enim animata alia, alia inanimata. Animata quidem animantium, inanimata vero soni et strepitus. Porro animata bifariam dividitur : altera enim concipi litteris potest, altera non potest : potest quidem hominum vox, non potest animalium. Vox igitur alia animata est, alia inanimata.

24. Vox in quattuor dividitur : alia enim est animata, alia inanimata, et alia concipi litteris potest, alia non potest. Animata est animantium, inanimata vero strepitus et soni et lyræ aliorumque sonitus. Litteris concipi potest hominum et quorundam animalium, ut lusciniarum, hirundinum, passerum et similium; concipi autem non potest litteris incomposita vox, ut poppysmi, strepitus, soni et quæ his similia sunt.

XXX. Eorum quæ sunt alia dividua, alia individua dicimus. Dividuorum vero alia sunt similium partium, alia dissimilium. Atque individua quidem sunt quæ divisionem non admittunt, et simplicia sunt neque ex aliquo composita, ut unitas, punctum ac sonus. Dividua vero quæ sunt ex aliquo composita, ut syllabæ et consonantiæ, animantes, aqua et aurum. Similium partium sunt quæ ex similibus componuntur, neque totum a parte nisi multitudine differt, ut aqua, aurum et quicquid est hujusmodi. Dissimilium partium dicimus quæ ex dissimilibus

ὕδωρ καὶ τὸ χρυσίον καὶ πᾶν τὸ τοιοῦτον. Ἀνομοιομερῆ δ' ὅσα ἐξ ἀνομοίων μερῶν σύγκειται, οἷον οἰκία καὶ τὰ τοιαῦτα. Τῶν ὄντων ἄρα τὰ μέν ἐστι μεριστά, τὰ δ' ἀμερῆ· τῶν δὲ μεριστῶν τὰ μὲν ὁμοιομερῆ, τὰ δ' ἀνομοιομερῆ.

Cod. Marc. 26 : Ἔτι τῶν ὄντων τὰ μέν [ἐστι μεριστά, τὰ δὲ ἀμερῆ, καὶ τῶν μεριστῶν τὰ μὲν] ὁμοιομερῆ, τὰ δὲ ἀνομοιομερῆ. Ἔστι δὲ τὰ μὲν μεριστὰ ἅπερ ἂν ἔχῃ διαίρεσιν, οἷον οἰκία καὶ ἱμάτιον καὶ ἀργύριον καὶ κτῆμα καὶ τὰ τοιαῦτα· ἀμερῆ δὲ ἅπερ ἂν ἀμέριστα ᾖ, οἷον μονὰς καὶ στιγμὴ καὶ σημεῖον καὶ φθόγγος καὶ τὰ τοιαῦτα. Καὶ τῶν μεριστῶν δὲ ἄρα τὰ μέν ἐστιν ὁμοιομερῆ ὧν καὶ τὰ μέρη ὅμοια, οἷον ὕδωρ, πῦρ, χαλκὸς καὶ τὰ τοιαῦτα [τὰ δὲ ἀνομοιομερῆ, ὧν τὰ μέρη ἀνόμοια, οἷον οἰκία καὶ τὰ τοιαῦτα].

XXXII. Diog. Laert. III, 108 : Τῶν ὄντων τὰ μέν ἐστι καθ' ἑαυτά, τὰ δὲ πρός τι λέγεται. Τὰ μὲν οὖν καθ' ἑαυτὰ λεγόμενά ἐστιν ὅσα ἐν τῇ ἑρμηνείᾳ μηδενὸς προσδεῖται· ταῦτα δ' ἂν εἴη οἷον ἄνθρωπος, ἵππος καὶ τὰ ἄλλα ζῷα· τούτων γὰρ οὐδὲν δι' ἑρμηνείας χωρεῖ. Τῶν δὲ πρός τι λεγομένων ὅσα προσδεῖταί τινος ἑρμηνείας, οἷον τὸ μεῖζόν τινος καὶ τὸ θᾶττόν τινος καὶ τὸ κάλλιον καὶ τὰ τοιαῦτα· τό τε γὰρ μεῖζον ἐλάττονός ἐστι μεῖζον καὶ τὸ θᾶττον θᾶττόν τινός ἐστιν. Τῶν ὄντων ἄρα τὰ μέν ἐστιν αὐτὰ καθ' αὑτά, τὰ δὲ πρός τι.

Ὧδε καὶ τὰ πρῶτα διῄρει κατὰ τὸν Ἀριστοτέλην.

Cod. Marc. 67 : Τῶν ὄντων τὰ μὲν αὐτὰ καθ' ἑαυτά ἐστι, τὰ δὲ πρός τι. Αὐτὰ μὲν οὖν καθ' ἑαυτὰ ταῦτα ἐστίν, οἷον ἄνθρωπος, οἰκία, ἱμάτιον, χρυσίον καὶ πάντα ὅσα ἁπλῶς μὴ τῷ ἕτερόν τι εἶναι ἐξ ἀνάγκης ἐστί, τὰ δὲ πρός τι τοιαῦτα ἐστίν, οἷον τὸ διπλάσιον καὶ ἡ ἐπιστήμη· τό τε γὰρ διπλάσιον πρὸς τὸ ἥμισυ λέγεται καὶ ἡ ἐπιστήμη πρὸς ἄλλο τι.

XXXIII. Cod. Marc. 3 : Διαιρεῖται ἡ κακία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀφροσύνη, ἓν δὲ ἀδικία, ἓν δὲ δειλία, ἓν δὲ ἀκολασία. Ἔστι δὲ ἡ μὲν ἀφροσύνη ἐν τῷ λογιστικῷ, ἡ δὲ ἀδικία ἐν πᾶσι τούτοις τοῖς μέρεσι γίνεται (cf. XIII), ἡ δὲ δειλία ἐν τῷ θυμικῷ, ἡ δὲ ἀκολασία ἐν τῷ ἐπιθυμητικῷ. Τῆς κακίας ἄρα ἓν μέν ἐστιν ἀφροσύνη, ἓν δὲ ἀδικία, ἓν δὲ δειλία, ἓν δὲ ἀκολασία.

XXXIV. Cod. Marc. 6 : Διαιρεῖται τὰ κακὰ εἰς τρία· ἔστι γὰρ αὐτῶν τὰ μὲν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός. Ἔστι δὲ τὰ μὲν ἐν ψυχῇ οἷον ἀφροσύνη, ἀδικία, δειλία, ἀκολασία καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ἐν σώματι οἷον νόσος, ἀσθένεια, αἶσχος, ἔχθρα [delendum] καὶ τὰ ἄλλα τὰ τοιαῦτα, τὰ δὲ ἐκτὸς οἷον πενία, ἐχθροί, ἀδοξία, ἀτυχία πόλεως καὶ τὰ ἄλλα τὰ τοιαῦτα. Τῶν κακῶν ἄρα τὰ μέν ἐστιν ἐν ψυχῇ, τὰ δὲ ἐν σώματι, τὰ δὲ ἐκτός. (Cf. I.)

XXXV. Cod. Marc. 9 : Διαιρεῖται ἡ ἄγνοια εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ τὸ θεωρητικόν, ἓν δὲ περὶ τὸ πρακτικόν, ἓν δὲ περὶ τὸ ποιητικόν. Ἔστι δὲ ἡ περὶ τὸ θεωρητικὸν ἡ ἐν ταῖς θεωρίαις ἄγνοια, ἡ δὲ περὶ τὸ ποιητικὸν ἡ ἐν ταῖς ποιήσεσιν, ἡ δὲ περὶ τὸ

---

constant, ut domus et hujusmodi. Eorum igitur quæ sunt alia dividua sunt, alia individua; dividuorum vero alia similium partium, alia dissimilium.

26. Eorum quæ sunt alia dividua sunt, alia individua : dividuorum vero alia sunt similium partium, alia dissimilium. Dividua sunt quæcunque dividi possunt, ut domus, vestes, pecunia, ager et quæ his sunt similia; individua vero quæ dividi nequeunt, ut unitas, punctum, littera, sonus et quæ sunt similia. Dividuorum alia sunt similium partium, quorum et partes sunt similes, ut aqua, ignis, æs et similia; alia vero dissimilium, quorum partes sunt dissimiles, ut domus et similia.

XXXII. Eorum quæ sunt alia per se, alia vero ad aliquid dicuntur. Ea quidem per se dicimus, quæ in elocutione nullo additamento indigent : ejusmodi sunt homo, equus et animalia reliqua : nam nihil eorum explicatione indiget. Ea vero ad aliquid dicuntur, quæ explicatione quadam egent, ut est majus aliquo et celerius aliquo et melius et hujusmodi reliqua. Namque majus minore majus est, et celerius aliquo est celerius. Eorum igitur quæ sunt alia per se sunt, alia per relationem ad aliquid.

Ita et prima dividebat secundum Aristotelem.

67. Eorum quæ sunt alia sunt ipsa per se, alia vero ad aliquid referuntur. Ipsa per se dicimus hominem, domum, vestem, aurum et omnia quæcunque simpliciter sunt, ut non aliud esse necesse sit; ad aliquid vero referuntur, duplum, scientia : duplum enim ad dimidium, scientia ad aliud quid refertur.

XXXIII. Vitium in quattuor dividitur : unum enim est insipientia, alterum injustitia, tertium ignavia, quartum intemperantia. Insipientia ad eam partem animi pertinet quæ ratiocinationis particeps est; injustitia in omnibus animi partibus gignitur, ignavia in ea est quæ iræ est particeps, intemperantia vero in ea quæ cupiditatis. Vitii igitur partes sunt insipientia, injustitia, ignavia, intemperantia.

XXXIV. Mala in tria dividuntur : eorum quædam sunt in animo, quædam in corpore, quædam vero extrinsecus. In animo sunt insipientia, injustitia, ignavia, intemperantia aliaque similia; in corpore morbus, imbecillitas, deformitas, [inimicitia] et alia similia; extrinsecus egestas, inimici, infamia, mala fortuna reipublicæ et similia. Malorum igitur alia sunt in animo, alia in corpore, alia extrinsecus.

XXXV. Ignorantia in tria dividitur : alia enim pertinet ad contemplativam facultatem, alia ad agendi, alia vero ad efficiendi. Quæ ad contemplativam pertinet facultatem ignorantia est in contemplationibus; quæ ad efficiendi,

πρακτικὸν ἡ ἐν ταῖς πράξεσιν. Τῆς ἀγνοίας ἄρα ἓν μέν ἐστι περὶ τὸ θεωρητικόν, ἓν δὲ περὶ τὸ ποιητικὸν, ἓν δὲ περὶ τὸ πρακτικόν. (Cf. V.)

XXXVI. Cod. Marc. 11 : Διαιρεῖται ἡ δυσγένεια εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀπὸ ἀδόξων καὶ φαύλων γεγονέναι γονέων, ἓν δὲ ἀπὸ ἀδίκων καὶ πονηρῶν, ἓν δὲ ἀπ' αὐτῆς τῆς τοῦ ἔχοντος κακίας. Ἔστι δὲ τὸ μὲν ἀπὸ ἀδόξων καὶ φαύλων γεγονέναι προγόνων, οἷον ἐὰν ὦσιν οἱ πρόγονοι ἀγεννεῖς κατὰ φύσιν καὶ ἄλλως ἀνώνυμοι· τὸ δὲ ἀπὸ ἀδίκων καὶ μοχθηρῶν, οἷον ἐὰν ὦσι προδόται ἢ ἄλλην τινὰ ἀδικίαν καὶ μοχθηρίαν ἔχωσι· τὸ δὲ ἀπ' αὐτῆς τῆς τοῦ ἔχοντος κακίας, οἷον ἐὰν ᾖ αὐτὸς ἄδικος ἢ κακοπράγμων ἢ ἄλλην τινὰ κακὴν δόξαν κατ' αὐτοῦ ἔχωσι. Τῆς δυσγενείας ἄρα ἐστὶν ἓν μὲν τὸ ἀπὸ ἀδόξων καὶ φαύλων προγόνων γεγονέναι, ἓν δὲ ἀπὸ ἀδίκων καὶ μοχθηρῶν, ἓν δὲ τὸ ἀπ' αὐτῆς τῆς τοῦ ἔχοντος κακίας καὶ μοχθηρίας.

XXXVII. Cod. Marc. 12 : Διαιρεῖται ἡ κίνησις εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν κατὰ τόπον, ἓν δὲ κατὰ ἀλλοίωσιν, ἓν δὲ αὐτὴ καθ' ἑαυτὴν ἡ κίνησις. Ἔστι δὲ ἡ μὲν κατὰ τόπον τὸ ἐξαλλάσσειν τόπον ἐκ τόπου, οἷον οἱ τρέχοντες καὶ πηδῶντες καὶ πλέοντες καὶ αἱ ἄλλαι αἱ τοιαῦται κινήσεις· ἡ δὲ κατὰ ἀλλοίωσιν, οἷον αὐξανόμενοι καὶ γηράσκοντες καὶ φθίνοντες καὶ ἄλλα τοιαῦτα· ἡ δὲ αὐτὴ καθ' ἑαυτήν, οἱ τροχοὶ καὶ οἱ ἔμβικες [corr. βέμβικες] καὶ ὁ κόσμος καὶ ἄλλα τοιαῦτα. Τῆς κινήσεως ἄρα τὸ μέν ἐστι κατὰ τόπον, τὸ δὲ κατ' ἀλλοίωσιν, τὸ δὲ αὐτὴ καθ' ἑαυτήν.

XXXVIII. Cod. Marc. 13 : Διαιρεῖται ἡ στάσις εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν μονή, ἓν δὲ διχόνοια, ἓν δὲ βαρέων καὶ κούφων θεωρία. Ἔστι δὲ ἡ μὲν μονὴ αὐτὴ ἐν ἑαυτῇ στάσις, οἷον οἱ νεκροὶ καὶ οἱ λίθοι πεπόνθασι καὶ ἄλλα τοιαῦτα· ἡ δὲ διχόνοια τῶν πολιτῶν ἢ ἐχθρῶν ἢ ἄλλων τινῶν ζῴων κατ' ἔχθραν ἢ μάχην· ἡ δὲ βαρέων καὶ κούφων θεωρία, οἷον [ἡ ?] διὰ σταθμοῦ τοῦ βαρέος καὶ τοῦ κούφου δοκιμασία.

XXXIX. Cod. Marc. 19 : Διαιρεῖται ὁ χρόνος εἰς τρία· ἔστι γὰρ ἢ παρεληλυθὼς ἢ παρὼν ἢ μέλλων, ὃν καὶ παρεσόμενον καλοῦσιν. Εἰσὶ δὲ ἐν μὲν τῷ παρεληλυθότι μνῆμαι καὶ τὸ μνημονεύειν· ἅπαντες γὰρ τὰ παρῳχημένα μνημονεύουσιν· ἐν δὲ τῷ παρόντι αἱ ἐπιστῆμαι καὶ αἱ γνώσεις καὶ οἱ λογισμοὶ καὶ αἱ πράξεις αἱ πρασσόμεναι· ἐν δὲ τῷ μέλλοντι αἱ προσδοκίαι καὶ ἐλπίδες καὶ πᾶν τὸ τοιοῦτον.

XL. Cod. Marc. 21 : Διαιρεῖται ἡ ὄρεξις τοῦ πράττειν εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν τοῦ ἡδέος, ἓν δὲ τοῦ καλοῦ, ἓν δὲ τοῦ συμφέροντος. Ἔστι δὲ ἡ μὲν τοῦ ἡδέος ὄρεξις ταῖς ἐπιθυμίαις ὑπηρετεῖν, ἡ δὲ τοῦ καλοῦ τιμῆς ἕνεκεν καὶ εὐδοξίας, ἡ δὲ τοῦ συμφέροντος κέρδους καὶ ὠφελείας ἕνεκεν γενομένη [γιν.?].

XLI. Cod. Marc. 22 : Διαίρεσις τῆς τῶν ὄντων ὀνομασίας εἰς πέντε γίνεται· ἔστι γὰρ αὐτῶν λεγόμενα τὰ μὲν ὥσπερ ἓν πρὸς πολλά, τὰ δὲ ὡς πολλὰ πρὸς πολλὰ καὶ πρὸς ἕν, τὰ δὲ ὡς ἀνόμοια ὡς πρὸς ὅμοια, τὰ δὲ ὡς ὅμοια πρὸς ὅμοια, τὰ δὲ ὡς ἓν πρὸς ἕν. Τὰ μὲν οὖν ὡς ἓν πρὸς πολλά, οἷον τάχιστος καὶ μέγιστος καὶ κάλλιστος καὶ τὰ τοιαῦτα· τὰ δὲ ὡς πολλὰ πρὸς

---

in faciendo; quæ ad agendi in actionibus est. Ignorantiæ igitur pars versatur circum contemplativam facultatem, pars circum efficiendi, pars circum agendi.

XXXVI. Generis humilitas in tria dividitur : alia enim est obscuris et vilibus natum esse parentibus, alia ex injustis et pravis, alia a propria perversitate. Obscuris et vilibus parentibus nati esse dicuntur, quorum majores ignobiles natura et aliter sine nomine fuerunt; ab injustis et pravis, quum sive proditores fuerunt sive alia quadam injustitia et pravitate inquinati sunt; a propria autem perversitate ignobilis erit, qui ipse injustus aut maleficus erit, aut aliam malam famam habebit. Generis igitur humilitas alia est obscuris et vilibus ortum esse parentibus, alia injustis et pravis, alia a propria perversitate et pravitate.

XXXVII. Motus tres sunt species : alia enim est secundum locum, alia secundum alterationem, alia motus ipse per semetipsum. Motus secundum locum est locum loco mutare, ut currentes, salientes, navigantes et ceteri similes motus. Motus secundum alterationem eorum est qui augentur, senescunt, decrescunt et alia hujusce modi. Motu ipso per se moventur rotæ, turbones, mundus et alia hujus generis. Motus igitur alius est secundum locum, alius secundum alterationem, alius per semet ipsum.

XXXVIII. Στάσις (triplici sensu *stationis, factionis* sive *dissensionis* et *librationis* sive *ponderationis*, Cf. H. Steph. Thes. s. v. p. 663, A) Status in tria dividitur : illius enim unum est mansio, alterum dissensio, tertium vero gravidorum atque levium ratio. Mansio est stabilitas in semet ipsa, quam patiuntur cadavera, lapides et alia similia. Dissensio est civium vel hostium vel aliorum animantium ad inimicitiam vel pugnam. Ratio gravidorum atque levium æstimatio est gravidi et levis per pondus.

XXXIX. Dividitur tempus in tria : est enim sive præteritum, sive præsens, sive instans, quod et adfuturum vocant. Ad præteritum tempus pertinent memoriæ et meminisse; omnes enim eorum meminerunt quæ præterita sunt : ad præsens vero disciplinæ et scientiæ et ratiocinationes et actiones quæ fiunt; ad futurum exspectatio, spes et omne quod simile est.

XL. Agendi appetitio in tria dividitur : una enim est quæ appetens est jucundi, altera quæ pulchri, tertia quæ utilis. Jucundi appetitio est servire cupiditatibus, pulchri gloriam persequitur et bonam famam; utilis quæ fit propter lucrum et utilitatem.

XLI. Appellatio eorum quæ sunt quinque fit modis. Eorum enim alia dicuntur velut unum relatum ad multa, alia velut multa ad multa, alia velut dissimilia ad simi-

πολλὰ καὶ πρὸς ἓν οἷον πλείω τάδε τῶνδε καὶ μείζω τάδε τῶνδε καὶ καλλίους οἵδε τῶνδε καὶ τὰ ἄλλα τὰ τοιαῦτα· τὰ δὲ ὡς ἀνόμοια ὡς πρὸς ὅμοια [..., τὰ δὲ ὡς ὅμοια πρὸς ὅμοια] οἷον ἀδελφοὶ πρὸς ἀδελφοὺς καὶ φίλοι πρὸς φίλους καὶ τὰ τοιαῦτα· τὰ δὲ ὡς ἓν πρὸς ἓν οἷον καλλίων ὅδε τοῦδε καὶ θάσσων ὅδε τοῦδε καὶ τὰ τοιαῦτα.

XLII. Cod. Marc. 25 : Διαιρεῖται τὰ ὄντα εἰς τρία· ἔστι γὰρ αὐτῶν τὰ μὲν κατ' οὐσίαν, τὰ δὲ κατὰ συμβεβηκός, τὰ δὲ κατὰ πάθος. Ἔστι δὲ τὰ μὲν κατ' οὐσίαν οἷον τὸ εἶναι ἄνθρωπον καὶ τὸ ἕκαστον τῶν ὄντων εἶναι· τὸ δὲ κατὰ συμβεβηκὸς τὸ τρέχειν καὶ καθεύδειν καὶ ἄλλα τοιαῦτα· τὸ δὲ κατὰ πάθος οἷον τὸ ἥδεσθαι καὶ λυπεῖσθαι καὶ θαρρεῖν καὶ φοβεῖσθαι καὶ τὰ τοιαῦτα.

XLIII. Cod. Marc. 27 : Διαίρεσις τῶν βελτιόνων καὶ τῶν χειρόνων καὶ τῶν καλλιόνων καὶ αἰσχιόνων καὶ λευκοτέρων καὶ μελανωτέρων· τούτων ἕκαστον λέγεται τριχῶς· ἢ γὰρ τοῦ ἐναντίου ἢ ἑαυτοῦ ἢ μέσου, οἷον ἐναντίον βέλτιον εἶναι λέγεται τὸ ἀγαθὸν τοῦ κακοῦ ὡς τῆς πανουργίας καὶ τῆς ἀφροσύνης ἡ φρόνησις, τοῦ δὲ μέσου λέγεται βέλτιον εἶναι τὸ ἀγαθὸν οἷον τοῦ μήτε ἀγαθοῦ μήτε κακοῦ, αὐτὸ δὲ ἑαυτοῦ λέγεται βέλτιον καθὸ ἀγαθὸν ἀγαθοῦ ἐὰν ἧττον [ᾖ] τὸ ἕτερον. Ὁμοίως δὲ καὶ τὸ καλόν· λέγεται γὰρ καὶ τοῦ αἰσχροῦ κάλλιον καὶ τοῦ μήτε αἰσχροῦ μήτε καλοῦ κάλλιον εἶναι, λέγεται δὲ καὶ τοῦ καλοῦ ἧττον δὲ καλοῦ κάλλιον εἶναι. Ὁμοίως δὲ καὶ τὸ λευκότερον λέγεται· τὸ γὰρ λευκὸν καὶ τοῦ μέλανος λέγεται εἶναι λευκότερον καὶ τοῦ μήτε μέλανος μήτε ὄντος λευκοῦ ὅπερ ἐστὶ μέσον. Καὶ ἐπὶ τῶν ἄλλων δὲ τῶν οὕτως λεγομένων τὸν αὐτὸν τρόπον ἔχειν φατέ. Κατὰ τρεῖς ἄρα τρόπους λέγεται βελτίω καὶ χείρω καὶ καλλίω καὶ αἰσχίω καὶ λευκότερον καὶ μελανώτερον.

XLIV. Cod. Marc. 28 : Διαιρεῖται τὰ ἐξ ὧν πόλις οἰκεῖται εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν ἐκ τοῦ μαχίμου μέρους τῶν ἀνθρώπων, ἓν δὲ ἐκ τοῦ βουλεύεσθαι δυναμένου, ἓν δὲ ἐκ τοῦ ἐργάζεσθαι. Τὸ μὲν οὖν μάχιμον μέρος τὸ ἄλκιμόν ἐστι, τὸ δὲ βουλεύεσθαι δυνάμενον τὸ τῶν πρεσβυτέρων, τὸ δὲ ἐργάζεσθαι τὸ τῶν τεχνιτῶν καὶ γεωργῶν καὶ τῶν ἄλλων τῶν τοιούτων. Τούτων δὲ ὅτι ἂν ἀπῇ οὐ ῥᾳδίως ἡ πόλις οἰκεῖται.

XLV. Cod. Marc. 29 : Διαιρεῖται ἡ γένεσις εἰς τέσσαρα· ἔστι δὲ αὐτῆς ἓν μὲν ἐξ οὐκ ὄντος εἰς οὐσίαν μεταβάλλειν, οἷον τὸν οὐκ ὄντα υἱὸν γενέσθαι καὶ ἀνδριάντα τὸν οὐκ ὄντα γενέσθαι καὶ πάντα τὰ τοιαῦτα· ἓν δὲ ἐκ τόπου εἰς τόπον μεταβάλλειν καὶ τεθῆναι ἐν ἄλλῳ, οἷον οἱ πλέοντες καὶ πορευόμενοι καὶ πᾶν τὸ τοιοῦτον· ἓν δὲ ἕξεως καὶ διαθέσεως μεταβολή, οἷον τὸ ἐξ ἀπαιδεύτου πεπαιδευμένον γενέσθαι καὶ ἐκ νέου πρεσβύτην καὶ ἐξ ἐχθροῦ φίλον· ἓν δὲ πραγμάτων μεταβολή, οἷον ἐκ πλουσίου πλάνητα [corr. πένητα] καὶ ἐξ ἰδιώτου ἄρχοντα καὶ ἐξ ἄρχοντος ἰδιώτην γενέσθαι καὶ ἄλλα τοιαῦτα.

XLVI. Cod. Marc. 30 : Διαιρεῖται τὸ ἀληθὲς εἰς

---

lia, alia velut similia ad similia, alia velut unum ad unum. Dicuntur velut unum ad multa relatum, velocissimus, maximus, pulcherrimus et talia; velut multa ad multa et ad unum, hæc plura sunt his, hæc majora sunt his, hæc pulchriora sunt his, et alia talia; velut dissimilia ad similia [..., velut similia ad similia] ut fratres ad fratres, amici ad amicos et talia; velut unum ad unum, hic pulchrior quam ille, velocior quam ille et alia id genus.

XLII. Quæ sunt in tria dividuntur : quædam enim eorum sunt natura, quædam casu, quædam vero affectu. Quæ sunt natura hæc sunt esse hominem, et eorum quæ sunt quodcunque esse; quæ casu, currere, vel dormire vel alia similia; quæ affectu, gaudere et dolere et bono animo esse et metuere et alia similia.

XLIII. Divisio eorum quæ sunt meliora, pejora, pulchriora, fœdiora, candidiora, nigriora : eorum quodcunque triplici modo dicitur; sive enim respicitur ad contrarium, sive ad ipsum sive ad medium. Ita quum bonum melius esse dicitur malo cum contrario confertur, et ita prudentia; melior est quam malitia et imprudentia medio bonum præstare dicitur quum neque bonum neque malum sit; ipsum vero ipso melius esse dicitur ut bonum bono si alterum inferius est. Similiter et pulchrum : dicitur enim pulchrius esse deformi et pulchrius eo quod neque deforme nèque pulchrum est, dicitur et pulchrius esse quam pulchrum sed quod minus est pulchrum. Eodem modo et candidius dicitur : candidum enim dicitur candidius esse nigro et eo quod neque nigrum neque candidum, medium vero est. Et eodem modo rem se habere in aliis quæ sic dicta sunt dicite. Tribus igitur modis dicitur melius et pejus, pulchrius et turpius, candidius et nigrius.

XLIV. Civitatis incolæ in tria dividuntur genera : alii ex illa portione sunt hominum qui arma ferre valent, alii ex illa qui deliberare possunt, alii ex illa qui operariam facere. Militaris pars ex illis constat qui robusti sunt; quæ ad deliberandum apta est, e senioribus; quæ vero operariam exercet, e fabris et agricolis et aliis hujusce generis. Quod si earum partium aliqua absit, non facile incolitur civitas.

XLV. Generatio in quattuor dividitur. Primum est genus quum aliquid quod non erat esse cœpit, velut filium qui antea non erat nasci, statuam quæ nulla erat fieri et omnia hujusce generis. Secundum fit loci mutatione et translocatione in alium locum ut navigantes et ingredientes et quodcunque his simile est. Tertium est mutatio habitus et dispositionis velut ex inerudito eruditum fieri, ex juvene senem, ex hoste amicum. Quartum rerum mutatio, ut ex divite mendicum, e privato magistratum, e magistratu privatum fieri et alia id genus.

XLVI. Verum in tria dividitur : unum est ipsam rem veram esse, aliud sermonem, aliud utrumque. Res ipsa

τρία· ἔστι γὰρ αὐτοῦ ἓν μὲν τὸ πρᾶγμα ἀληθὲς εἶναι, ἓν δὲ τὸν λόγον, ἓν δὲ τὸ συναμφότερον. Ἔστι δὲ τὸ πρᾶγμα ἀληθὲς ὅταν ᾖ οὕτως ἔχον καὶ οὐκ ἄλλως, οἷον τὸ τὸν θεὸν ἀθάνατον εἶναι· οὕτως γὰρ ἔχει τὸ πρᾶγμα καὶ οὐκ ἄλλως. Τὸ δὲ λέγειν, Οὗτός ἐστιν ἀληθὴς λόγος, τοῦ ἀληθοῦς ἐστίν· ἔστι γὰρ ὁ λόγος πρᾶγμα ὑπὸ τὸν λόγον τοῦτον ὄν. Τὸ δὲ λέγειν ὅτι οἱ ἄνθρωποι ἔμψυχοί εἰσι, καὶ ὁ λόγος ἀληθής ἐστι καὶ τὸ πρᾶγμα.

XLVII. Cod. Marc. 31 : Διαιρεῖται τὸ ψεῦδος εἰς τρία· ἔστι γὰρ αὐτοῦ ἓν μὲν τὸ τὸ πρᾶγμα εἶναι ψεῦδος, ἓν δὲ τὸν λόγον, ἓν δὲ τὸ συναμφότερον. Τὸ μὲν οὖν πρᾶγμά ἐστι ψεῦδος ὅταν μὴ οὕτως ἔχῃ ὡς λέγεται ἀλλ' ἄλλως, οἷον ὁ καθήμενος ᾖ ἑστηκὼς ἢ ὁ λευκὸς [μέλας]. Ὁ δὲ λόγος ἔσται ψευδὴς ὅταν τις λέγῃ τὸν ἀληθῆ λόγον εἶναι ψευδῆ, οἷον ὁ λέγων τὸν περὶ τοῦ θεοῦ λόγον, οἷον ὁ λέγων [delenda tria voc.] ὅτι ἔστι θεὸς, καὶ τοῦτον ὁ φάσκων ψευδῆ εἶναι, Ὁ λόγος οὗτός ἐστι ψευδής· οὐ γάρ ἐστιν ὑπὸ τὸν λόγον τοῦτον πρᾶγμα οὐδὲν ἀλλὰ ὁ λόγος. Ὁ δὲ λέγων τὴν ἡμέραν νύκτα εἶναι καὶ τὸ πρᾶγμα ψεῦδος ἐρεῖ καὶ τὸν λόγον.

XLVIII. Cod. Marc. 32 : Διαιρεῖται ἡ τιμὴ εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν εἰς ἀργυρίου λόγον, ἓν δὲ εἰς ἐπαίνου λόγον, ἓν δὲ εἰς θεραπείας τινὸς καὶ ἐπιμελείας λόγον. Τὸ μὲν οὖν εἰς ἀργυρίου λόγον ἐστὶν ἀξία ἐν πράσει καὶ ὠνήσει, οἷον ἀξία τῆς τιμῆς φαμὲν εἶναι· τὸ δὲ εἰς ἐπαίνου λόγον εἶναι, οἷον αἱ ἐν ταῖς πόλεσι τιμαὶ δι' ἐνίας πράξεις γινόμεναι καὶ δωρεαὶ διδόμεναι· τὸ δὲ εἰς θεραπείας λόγον καὶ ἐπιμελείας, οἷον τὸν θεὸν τιμῶμεν θεραπείᾳ τινὶ καὶ ἐπιμελείᾳ τινός, καὶ τοὺς γονεῖς δὲ τιμῶμεν, ὁμοίως δὲ καὶ τὰ ἄλλα τὰ διὰ θεραπείαν γινόμενα.

XLIX. Cod. Marc. 34 : Διαιρεῖται τῶν ἐπιστημῶν ἡ κρίσις εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν ἂν ᾖ βελτιόνων ἢ καλλιόνων, ἓν δὲ ἂν ᾖ συμφερόντων μᾶλλον καὶ κατεπειγόντων, ἓν δὲ ἂν ᾖ τῶν ἀκριβεστέρων μᾶλλον δὲ καὶ εἰς ἀπόδειξιν συντεινόντων. Ἔστι δὲ τὸ μὲν βελτιόνων καὶ καλλιόνων οἷον ἡ ἀνδριαντοποιητικὴ τέχνη καὶ ἡ ἀγαλματοποιητικὴ καὶ ἡ πορφυροβαφικὴ καὶ αἱ τοιαῦται· συμφερόντων δὲ καὶ μᾶλλον κατεπειγόντων οἷον ἡ σκευοποιητικὴ καὶ οἰκοδομικὴ καὶ αἱ τοιαῦται· ἀκριβεστέρων δὲ καὶ μᾶλλον εἰς ἀπόδειξιν συντεινόντων αἵ τε μαθηματικαὶ καὶ ἡ φιλοσοφία.

L. Cod. Marc. 35 : Διαιρεῖται ὁ στρατηγὸς εἰς τρία· ἔστι γὰρ ἢ τῷ νόμῳ στρατηγὸς ἢ κατὰ δύναμίν τινα καὶ πραγμάτων κυρείαν στρατηγὸς ἢ κατὰ ἐπιστήμην. Ἔστι δὲ ὁ μὲν κατὰ νόμον στρατηγὸς οἷον οἱ ἐν ταῖς πόλεσιν αἱρούμενοι, ὁ δὲ κατὰ ἐπιστήμην ὁ ἔχων τὴν στρατηγικὴν ἐπιστήμην, ὁ δὲ κατὰ δύναμίν τινα καὶ πραγμάτων κυρείαν οἷον ὁ ὑπό τινος ἐπισταθεὶς ἢ αὐτὸς ὑφ' ἑαυτοῦ κύριος χρημάτων καὶ στρατιωτῶν γενόμενος.

LI. Cod. Marc. 37 : Διαιροῦνται αἱ μέθοδοι αἱ εἰς τὰ προβλήματα εἰς τρία· εἰσὶ γὰρ αὐτῶν αἱ μὲν κριτικαί, αἱ δὲ θεωρητικαί, αἱ δὲ ἐριστικαί. Καὶ κριτικαὶ μέν εἰσιν αἷς τὸ βέλτιον καὶ τὸ χεῖρον διακρίνομεν, οἷον πότερον βέλτιον δικαιοσύνη ἢ ἀνδρεία· θεωρητικαὶ δὲ αἷς θεωροῦμεν τὸ τοιοῦτον, οἷον πότερον ταὐτὸν νόσος ἐστὶν ὑγείᾳ καὶ εὐεξίᾳ ἢ οὔ· ἐριστικαὶ δὲ αἷς τοὺς ὅρους ἀναιροῦμεν, οἷον οὐκ ἔστιν εὐεξία σωμάτων ἡ κρατίστη.

LII. Cod. Marc. 38 : Διαιρεῖται ἡ λύπη εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν οἷς προσήκει τὸν φρόνιμον λυπεῖσθαι, ἓν δὲ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς καὶ κακοῖς

---

vera est quum ita se habet et non aliter, velut deum esse immortalem : ita enim res se habet et non aliter. Dicere autem hoc quod dico verum est, pars est veri; sermo enim res est quæ isti sermoni subest. Quum autem dicitur homines animatos esse, cum sermo verus est tum res.

XLVII. Falsum in tria dividitur : unum enim est rem falsam esse, unum sermonem, unum utrumque. Res falsa est quum non sic se habet ut narratur, velut si sedens stat sive albus niger est. Sermo falsus est quum aliquis dicit verum sermonem falsum esse, ut qui de deo dicit [ut qui dicit deum esse], eum esse, quem si quis dicat sermonem falsum esse, sermo falsus est : nulla enim illi sermoni subest res sed sermo. Qui vero dicit diem noctem esse et rem et sermonem falsum dicet.

XLVIII. Τιμὴ (græce *pretium* et *honor*) in tria dividitur : aliud est genus secundum pecuniam, aliud secundum laudem, aliud secundum observantiam quandam et studium. Secundum pecuniam τιμὴ (pretium) est æstimatio in vendendo et emendo, velut dicimus aliquid pretio dignum esse; secundum laudem, honores qui in civitatibus quibusdam factis parantur et dona quæ dantur; secundum observantiam et studium deum honoramus observantia quadam et studio, et parentes honoramus et cetera quæ per observantiam fiunt.

XLIX. Disciplinarum divisio in tria fit genera : earum enim aliæ versantur in iis quæ sive pulchriora sive meliora sunt, aliæ in utilioribus et magis urgentibus, aliæ vero in subtilioribus et quæ magis ad demonstrationem valent. In melioribus et pulchrioribus versantur ars statuaria et purpuraria et tales; in utilioribus et magis urgentibus utensilium confectio, architectura et tales; in subtilioribus et magis ad demonstrationem tendentibus, mathematicæ artes et philosophia.

L. Dux in tres dividitur species : est enim sive lege dux, sive propter potentiam aliquam et rerum dominationem, sive propter scientiam. Dux est lege ut qui in urbibus eliguntur; propter scientiam qui imperatoriam artem possidet; propter potentiam aliquam et rerum dominationem qui ab aliquo constitutus est vel per semet ipsum dominus opum et militum factus est.

LI. Methodi ad problemata trium sunt generum : sunt enim sive criticæ, sive theoreticæ, sive disputatoriæ.

καὶ τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι λυπεῖσθαι. Ἔστι δὲ τὸ μὲν ἐφ' οἷς προσήκει τὸν φρόνιμον λυπεῖσθαι, οἷον ἐπὶ τοῖς ἑαυτοῦ ἀτυχήμασιν ἢ τῶν αὐτοῦ τινὸς οἰκείων ἢ φίλων ἢ τῆς συμπάσης πόλεως καὶ ἐπὶ τῶν ἄλλων τῶν τοιούτων· τὸ δὲ ἐπὶ τοῖς ἀλλοτρίοις ἀγαθοῖς λυπεῖσθαι ἐστὶ φθόνος τις καὶ βασκανία καὶ πᾶν τὸ τοιοῦτον· τὸ δὲ ἐπὶ πᾶσι κακοῖς καὶ ἀγαθοῖς [excidisse videtur τοῖς ἀλλοτρίοις] καὶ πᾶσι τοῖς ἄλλοις τοῖς μηδὲν προσήκουσι λυπεῖσθαι, τὸ μὲν ἐπὶ τοῖς κακοῖς τοῖς ἀλλοτρίοις ἔλεος, τὸ δὲ ἐπὶ τοῖς ἀγαθοῖς φθόνος, τὸ δὲ ἐπὶ τοῖς μηδὲν προσήκουσι φθόνος καὶ βασκανία.

LIII. Cod. Marc. 39 : Διαιρεῖται ἡ ἡδονὴ εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ τὸ λογικόν, ἓν δὲ περὶ τὸ θυμικόν, ἓν δὲ περὶ τὸ ἐπιθυμητικόν, ἓν δὲ περὶ τὰς αἰσθήσεις. Ἔστι δὲ ἡ τὸ μανθάνειν περὶ τὸ λογιστικὸν [fort. ἡ περὶ τὸ λογ. τὸ μανθάνειν] ἡ ἀπὸ τοῦ μανθάνειν καὶ ἀνευρίσκειν ἡδονὴ καὶ τὰ τοιαῦτα· περὶ δὲ τὸ θυμικὸν οἷον ἥ τε τοῦ κρατεῖν καὶ νικᾶν καὶ ἀντιτιμωρεῖσθαι καὶ αἱ τοιαῦται· αἱ δὲ περὶ τὸ ἐπιθυμητικὸν αἵ τε ἀπὸ τῆς τροφῆς καὶ συνουσίας καὶ αἱ τοιαῦται ἡδοναὶ γινόμεναι· ἡ δὲ περὶ τὸ αἰσθητικὸν περὶ τὰς αἰσθήσεις, οἷον ἥ τε διὰ τοῦ ὁρᾶν καὶ γεύεσθαι καὶ ὀσφραίνεσθαι καὶ αἱ τοιαῦται.

LIV. Cod. Marc. 40 : Διαιρεῖται ἡ εὐταξία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν περὶ ψυχήν, ἓν δὲ περὶ σῶμα, ἓν δὲ περὶ πλῆθος, ἓν δὲ περὶ κινήσεις. Ἡ μὲν οὖν ἐν τῇ ψυχῇ εὐταξία ἐγγινομένη κοσμιότης καλεῖται, ἡ δὲ ἐν τῷ σώματι εὐταξία κάλλος καλεῖται, ἡ δὲ ἐν κινήσει εὐταξία εὐρυθμία ὀνομάζεται, ἡ δὲ ἐν τῷ πλήθει οἷον ἡ πρὸς ἄρχοντας εὐταξία πειθαρχία προσαγορεύεται.

LV. Cod. Marc. 41 : Διαιρεῖται ἡ ἀταξία εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ψυχῇ, ἓν δὲ ἐν σώματι, ἓν δὲ ἐν πλήθει, ἓν δὲ ἐν κινήσει. Ἡ μὲν οὖν ἐν τῇ ψυχῇ ἀταξία ἐγγινομένη ἀσωτία ἢ ἀκολασία καλεῖται, ἡ δὲ ἐν τῷ σώματι ἀταξία αἰσχρότης καλεῖται, ἡ δὲ ἐν τῷ πλήθει ἀταξία ἀπειθαρχία καλεῖται, ἡ δὲ ἐν κινήσει ἀρρυθμία προσαγορεύεται.

LVI. Cod. Marc. 42 : Διαιρεῖται τὰ ἐν φιλοσοφίᾳ προβλήματα εἰς πέντε· ἔστι γὰρ αὐτῶν ἓν μὲν πολιτικόν, ἓν δὲ διαλεκτικόν, ἓν δὲ φυσικόν, ἓν δὲ ἠθικόν, ἓν δὲ ῥητορικόν. Πολιτικὸν μὲν οὖν ἐστι τὸ ὑπὲρ νόμων καὶ τινῶν τιμωριῶν προβαλλόμενον, οἷον πότερον δεῖ κολάζειν τὰ ξενικὰ ἁμαρτήματα [ὁμοίως inser. videtur] ἢ τὰ πολιτικὰ ἢ ἀνόμοια [-ίως?] ἢ τἄλλα τὰ τοιαῦτα· διαλεκτικὸν δὲ οἷον πότερον τῶν ἐναντίων αὐτὴ ἡ [corr. ἡ αὐτὴ] ἐπιστήμη ἢ ἑτέρα, καὶ τἄλλα τὰ τοιαῦτα· φυσικὸν δὲ οἷον πότερον εἷς κόσμος ἐστὶν ἢ πλείους, καὶ τἄλλα τὰ τοιαῦτα· ἠθικὸν δὲ οἷον πότερον δεῖ πάντα χαρίζεσθαι τοῖς φίλοις ἢ τὰ μὲν τὰ δὲ οὔ, καὶ τἄλλα τὰ τοιαῦτα· ῥητορικὸν δὲ οἷον ἐάν τις ὑπὲρ ποιητῶν κατηγορῇ ἢ ἀπολογῆται, οἷον διὰ τί τὸν Ὀδυσσέα οἱ ἑταῖροι φρονιμώτατον ὄντα ἐξέθηκαν εἰς τὴν νῆσον καθεύδοντα, καὶ τὰ τοιαῦτα.

Criticæ illæ sunt quibus melius et pejus dijudicamus, velut utrum melior sit justitia an fortitudo; theoreticæ quibus quale sit spectamus, velut an idem sit morbus quam sanitas et bona valetudo necne; disputatoriæ vero quibus definitiones tollimus, velut non est optima bona valetudo.

LII. Doloris tria sunt genera : unum enim in illis est quibus decet sapientem dolere, secundum in alienis bonis et malis et in aliis quibus non decet dolere. Ea quibus sapientem dolere decet hæc sunt : propriæ calamitates sive familiarium et amicorum et totius civitatis et alia id genus. Alienis bonis dolere invidia quædam est et malignitas quædam et tale quid. Dolere vero propter omnia mala et bona aliena et propter omnia alia propter quæ dolere non decet, si de alienis malis agitur commiseratio est, si de bonis invidia, si de aliis quæ nihil ad nos faciunt invidia et malignitas.

LIII. Voluptas in quattuor dividitur : una enim in parte est animæ quæ rationis est particeps, altera in ea quæ iræ, tertia in ea quæ cupiditatis, quarta vero in sensibus. Voluptas quæ in discendo est vel quæ a discendo et inveniendo et similibus percipitur ea parte animæ percipitur quæ rationis est particeps. Ad partem animæ iræ participem voluptas quæ ex superando, vincendo, ulciscendo talibusque percipitur spectat. Voluptates quæ in cibo, in coitu et talibus sitæ sunt pertinent ad partem animæ quæ est cupiditatum particeps ; quas vero sensibus accepimus velut videndo, gustando, olfaciendo, ea in partem animæ cadunt quæ sentiendi facultate prædita est.

LIV. Ordinis conservatio quadrifariam dividitur. Una enim est in anima, secunda in corpore, tertia in multitudine, quarta in motibus. Ordinis conservatio in anima vocatur modestia, in corpore pulchritudo, in motu concentus vocatur : ordinis vero conservatio in multitudine, qualis est erga ducem obedientia, obtemperatio nominatur.

LV. Perturbatio ordinis quadruplex est : alia enim in anima, alia in corpore, alia in multitudine, alia in motu. Perturbatio ordinis in anima intemperantia et incontinentia vocatur; in corpore deformitas, in multitudine inobedientia, in motu inconcinnitas.

LVI. Problemata circum quæ philosophia versatur in quinque genera dividuntur : unum enim est politicum, alterum dialecticum, tertium physicum, quartum ethicum, quintum rhetoricum. Politicum illud est quod proponitur de legibus et pœnis quibusdam, velut utrum oporteat eodem modo punire peregrinorum delicta, quam civium an aliter, et alia id genus. Dialecticum genus velut utrum contrariorum eadem sit scientia an altera et alia talia. Physicum velut unus an plures sint mundi et alia similia. Ethicum utrum in omnibus oporteat indulgere amicis, an in aliis oporteat, in aliis vero non, et alia id genus. Rhetoricum problema vero est, si quis sive incuset sive defendat poetam, velut cur Ulyssem, quamvis prudentissimus

LVII. Cod. Marc. 43 : Διαιρεῖται ἡ κόλασις εἰς τέσσαρα· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἀναίρεσις, ἓν δὲ εἰς ἀργυρίου λόγον, ἓν δὲ εἰς προπηλακισμόν, ἓν δὲ εἰς κάκωσιν σώματος. Ἡ μὲν οὖν ἀναίρεσίς ἐστιν οἷον ἐπὶ τοῖς ἀνηκέστοις ἁμαρτήμασιν ὅπερ τιμωρία ὀνομάζεται· αἱ δὲ εἰς ἀργυρίου λόγον, οἷον αἱ ὑπὸ τῶν νόμων ζημίαι κολάζουσιν· αἱ δὲ εἰς προπηλακισμοῦ λόγον, οἷον αἱ ἀτιμίαι αἱ ἐν ταῖς πόλεσι γινόμεναι, οἷον ἄτιμον εἶναι ὃς ἂν ἀσπίδα ῥίψῃ ἢ παρακαταθήκην ἀποστερήσῃ, καὶ αἱ ἄλλαι αἱ τῶν νόμων ἀτιμίαι· αἱ δὲ εἰς κάκωσιν σώματος, οἷον οἱ μαστιγοῦντες καὶ οἱ λοιδοροῦντες καὶ οἱ τοιοῦτοι.

LVIII. Cod. Marc. 45 : Διαιρεῖται ἡ ἁμαρτία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν μετὰ ἀδικίας, ἓν δὲ μετὰ ἀγνοίας, ἓν δὲ μετὰ ἀτυχίας. Τὸ μὲν οὖν μετὰ ἀδικίας ἁμαρτάνειν ἐστὶν οἷον τὸ εἰς θεὸν ἀσεβεῖν καὶ τοὺς φίλους κακῶς ποιεῖν καὶ τὰ ἐν ταῖς πόλεσιν ἀδικήματα· τὸ δὲ μετὰ ἀγνοίας ἁμαρτάνειν οἷον γραμματικῇ ἢ ἀριθμητικῇ καὶ ταῖς τοιαύταις ἐπιστήμαις· ταῦτα γὰρ οὐ μετὰ ἀδικίας γίνεται ἀλλὰ μετὰ ἀγνοίας· μετὰ ἀτυχίας δὲ ἁμαρτάνειν ἐστὶν οἷον οἱ τοῦ σκοποῦ ἀποτυγχάνοντες καὶ οἱ τῶν ὁδῶν καὶ οἱ ἀκούσια ἁμαρτάνοντες.

LIX. Cod. Marc. 46 : Διαιρεῖται ἡ ἀτυχία εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐν ταῖς πράξεσιν, ἓν δὲ ἐν τοῖς καιροῖς, ἓν δὲ ἐν τοῖς συμπτώμασι τοῖς ἀπὸ ταὐτομάτου γινομένοις. Τὸ μὲν οὖν ἐν ταῖς πράξεσιν βλάπτεσθαι καὶ ζημιοῦσθαι ἐστί, τὸ δὲ ἐν τοῖς καιροῖς ἀτυχεῖν ὑστερεῖσθαι ἐστὶ καὶ προτερεῖν καὶ τοῦ διαμαρτάνειν καὶ τοῦ καιροῦ γινόμενον [καὶ τοῦ διαμ.... γινομένου corrig. videtur], τὸ δὲ ἐν τοῖς συμπτώμασι τοῖς ἀπὸ ταὐτομάτου γινομένοις οἷον αἱ πληγαὶ αἱ ἐξαίφνης καὶ αἱ βλάβαι αἱ ἐξ ἀπροσδοκήτου προσπίπτουσαι.

LX. Cod. Marc. 47 : Διαιρεῖται τὰ ἴδια καὶ τὰ κοινῶς ἀγαθὰ εἰς πέντε· ἔστι γὰρ αὐτῶν τὰ μὲν ἴδια θεοῦ, τὰ δὲ ἴδια ἀνθρώπων, τὰ δὲ κοινὰ θεοῦ καὶ ἀνθρώπων, τὰ δὲ κοινὰ ἀνθρώπου καὶ τῶν ἄλλων ζῴων πλὴν θεοῦ, τὰ δὲ πάντων κοινά. Ἴδια μὲν οὖν ἐστὶ θεοῦ τὸ ἀΐδιον εἶναι καὶ τὰ τοιαῦτα, ἴδια δὲ ἀνθρώπου τὸ σύμφρονα [fort. σώφρονα] καὶ δίκαιον εἶναι καὶ τὰ τοιαῦτα, κοινὰ θεοῦ καὶ ἀνθρώπων τὸ σπουδαῖον εἶναι· καὶ γὰρ τῷ θεῷ ὑπάρχει καὶ τῷ ἀνθρώπῳ σπουδαίῳ εἶναι, ἴδιον δὲ ἀνθρώπου ἡ ἐγκράτεια κακοῦ τινὸς οὖσα ἀποτρεπτική, τῷ θεῷ δὲ οὔτε γενέσθαι οὔτε ὑπάρχειν κακὸν καλῶς ἔχει λέγειν, καὶ τἄλλα τὰ τοιαῦτα. Κοινὸν δὲ ἀνθρώπων καὶ τῶν ἄλλων ζῴων πλὴν θεοῦ ἀνδρεία· αὕτη γὰρ κινδύνου τινὸς καὶ φόβου ἀντιστατική ἐστι καὶ πάντα τὰ τοιαῦτα· πάντων δὲ κοινὸν τὸ καλόν.

LXI. Cod. Marc. 48 : Ἕκαστον τῶν ὄντων ἀποτελεῖται διὰ τέσσαρας αἰτίας· ἢ γὰρ διὰ τὸ περὶ χρηστὴν [corr. videtur καὶ περὶ χρηστὸν] ὑπάρχειν ἀπροσδόκητον τύχην ἢ δι' ἐπιστήμην ἢ διὰ φύσιν ἢ διὰ βίαν καὶ ἀνάγκην. Τὰ μὲν διὰ τύχην ἐστὶ τὰ ἀπὸ ταὐτομάτου καὶ ἀπὸ [ἄνευ?] προνοίας ἀποτελούμενα,

---

fuerit, exposuerint in insulam socii dormientem, et talia.

LVII. Castigationis quattuor sunt genera : unum enim est pœna capitis, alterum pecuniaria, tertium ignominia, quartum damnum corporis. Capitis pœna est quæ ab illis sumitur qui maxima facinora commiserunt, quod appellatur supplicium. Pecuniaria pœna est mulcta legibus irrogata. Existimationis vero, ignominiæ quibus cives efficiuntur, velut infamem esse qui scutum abjecerit, vel qui depositum defraudaverit ceteræque infamiæ legibus impositæ. Pœna quæ damno fit corporis, ab iis imponitur qui verberant sive conviciis afficiunt et similibus.

LVIII. Peccatum in tria dividitur genera. Est enim unum quod fit injustitia, aliud ignorantia, aliud propter infortunium. Cum injustitia conjunctum peccatum est impium in deum esse, male agere cum amicis et injustum esse in rempublicam. Ignorantia peccatur in grammaticam, arithmeticam similesque disciplinas : hæc peccata enim non fiunt injustitia, sed ignorantia. Ut cum infortunio erremus tunc accidit quum finem non attingimus, vel a via aberramus, vel inviti peccamus.

LIX. Mala fortuna in tria dividitur. Una enim est in actionibus, altera in tempore, tertia in accidentibus quæ sponte sua eveniunt. Mala fortuna in actionibus utuntur qui damno et detrimento afficiuntur; in tempore, qui vel sero, vel prius veniunt, vel opportunitatem nacti ea frustrantur; accidentia vero quæ sponte sua eveniunt, appellantur subitæ calamitates et noxiæ quæ ex improviso incidunt.

LX. Propria et communiter bona in quinque dividuntur species. Eorum enim nonnulla propria sunt Deo, alia hominibus, alia communia Deo et hominibus, alia propria hominibus et ceteris animalibus præter Deum, alia vero omnibus communia. Proprium igitur est Deo immortalem esse et similia; proprium hominibus concordes esse et justos; proprium Deo et hominibus bonos esse : etenim et Deo et hominibus proprium est bonis esse, proprium vero homini continentia quæ malum avertat, Deum vero malum esse vel fieri posse ne dicere quidem licet : et alia id genus. Communis vero hominibus et ceteris animalibus præter Deum, fortitudo : ea enim facit ut periculo vel terrori alicui resistamus; omnibus vero commune pulchrum est.

LXI. Eorum quæ sunt quodcunque quattuor causis perficitur : sive casu qui etiam in bonum obtinet, sive scientia, sive natura sive vi et necessitate. Quod casu perficitur id est quod sua sponte et providentia fit : quæ scientia, domus et naves et omnia talia; quæ natura, homines, arbores et omnia animalia; quæ vi et necessitate,

τὰ δὲ δι' ἐπιστήμην αἵ τε οἰκίαι καὶ αἱ νῆες καὶ πάντα τὰ τοιαῦτα, τὰ δὲ διὰ φύσιν οἷον οἱ ἄνθρωποι καὶ τὰ δένδρα καὶ τὰ ζῷα πάντα, διὰ δὲ βίαν καὶ ἀνάγκην οἷον αἱ τῶν ἀλόγων ζῴων δαμάσεις καὶ αἱ κρατήσεις καὶ δεσποτεῖαι καὶ τυραννίδες καὶ τὰ τοιαῦτα.

LXII. Cod. Marc. 49 : Διαιρεῖται τὸ ψευδολογεῖν εἰς τέσσαρα· ἔστι γὰρ αὐτοῦ ἓν μὲν ἐν [del.] ἀλαζονείᾳ [-νεία], ἓν δὲ εἰρωνεία, ἓν δὲ κερτόμησις, ἓν δὲ ψευδολογία τις μετὰ βλάβης. Ὁ μὲν οὖν ἀλαζονευόμενος ἐπὶ πλεῖον καὶ μεῖζον ψεύδεται· προσποιητὸς γάρ ἐστιν, ὃ οὐκ οἶδεν εἰδέναι θέλων καὶ ἅπερ οὐκ ἔχει ἔχειν. Ὁ δὲ εἰρωνευόμενος ἐπὶ τὸ ἔλαττον ψεύδεται· ὅ τε γὰρ πλούσιος πένης φησὶν εἶναι ἐὰν εἰρωνεύηται, καὶ ὁ σοφὸς οὐκ εἶναι σοφός. Ὁ δὲ ἐν τῷ κερτομεῖν ψευδολογῶν μετὰ τοῦ σκώπτειν οἷον τὸ ἡττᾶσθαι κρατεῖν ἢ καλὸν τὸ κακὸν λέγων καὶ σοφὸν τὸ ἀπαίδευτον, ὁ δὲ μετὰ βλάβης οἷον ὁ τὰ ψευδῆ μαρτυρῶν καὶ ἀπαρνούμενος καὶ τἄλλα τὰ τοιαῦτα.

LXIII. Cod. Marc. 50 : Διαιρεῖται ὁ ψευδόμενος εἰς δύο· ὁ μὲν γὰρ ἑκὼν ψεύδεται, ὁ δὲ ἄκων. Ὁ μὲν οὖν ἑκὼν ψευδόμενος ἐξαπατᾷ τινὰς καὶ ἄλλως ἀπάτην ἐμποιεῖ, ὁ δὲ ἄκων ψευδόμενος αὐτὸς ἐξηπατημένος ψεύδεται ἀπὸ τῆς ἐν αὐτῷ ἀπάτης οὔσης.

LXIV. Cod. Marc. 54 : Διαιρεῖται ὁ καθαρισμὸς καὶ ἡ κάθαρσις εἰς τρία· ἔστι γὰρ αὐτῶν ἓν μὲν νόμῳ, ἓν δὲ φύσει, ἓν δὲ τέχνῃ καὶ πράγματι. Νόμῳ μὲν οὖν ἐστὶ καθαρμὸς οἷον ὅ τε τοῦ ἀέρος ὅταν ἀποκαθαίρηται καὶ ὅταν τὰ ὕδατα ὦσι καθαρὰ καὶ τὰ βρώματα καὶ πάντα τὰ τοιαῦτα ... τέχνῃ δὲ καὶ πράγματι οἷον ἥ τε τῶν χαλκωμάτων καὶ τῶν ἱματίων πλύσις καὶ τὰ τοιαῦτα.

LXV. Cod. Marc. 57 : Τῶν κακῶν ὁμοιότης τῶν περὶ τὴν ψυχὴν καὶ τὸ σῶμα καὶ τῶν ἐκτός ἐστιν αὕτη. Ἐν τῇ ψυχῇ μέν ἐστιν ἀδικία κάκιστα τὴν ψυχὴν διατιθεῖσα, ἐν δὲ τῷ σώματι νόσος κάκιστα διατιθεῖσα τὸ σῶμα, ἐν δὲ τοῖς ἐκτὸς ἀτυχία κάκιστα διατιθεῖσα τὰς ἐκτὸς πράξεις· καὶ ταύτῃ λαμβάνεται ἡ ὁμοιότης τῶν κακῶν τούτων. Καὶ πάλιν ἐν μὲν ψυχῇ ἀφροσύνη ἀρρωστία τίς ἐστι καὶ ἀλογιστία ψυχῆς, ἐν δὲ σώματι καχεξία ἀρρωστία ἐστίν, ἐν δὲ τοῖς ἐκτὸς ἀδοξία· προπηλακισμὸν γὰρ καὶ ἀρρωστίαν καὶ ὀλιγωρίαν περὶ τὰ ἄλλα τινὰ ἐμποιεῖ ταῖς ἐκτὸς πράξεσι· καὶ ταύτῃ πάλιν λαμβάνεται τῶν κακῶν τούτων ἡ ὁμοιότης. Καὶ πάλιν ἐν μὲν ψυχῇ δειλία οὖσα ἐκπληκτικὰς καὶ πάντων ἥττους τῶν φόβων παρασκευάζει τὰς ψυχάς, ἐν δὲ σώματι ἀσθένεια πάντων τῶν πόνων ἡττᾶσθαι τὰ σώματα παρασκευάζει, ἐν δὲ τοῖς ἐκτὸς ἐχθροὶ ὄντες ἀσθενῆ περὶ τὰς ἐκτὸς πράξεις καὶ εὐκαταφρόνητον ποιοῦσιν· ᾧ γὰρ πολλοί εἰσιν ἐχθροὶ οὐδὲν τούτῳ ῥᾳδίως ὑπάρχει. Καὶ ἔστιν ἡ μὲν δειλία ἐν φόβῳ εὐκαταφρονήτους ποιοῦσα, ἡ δὲ ἀσθένεια ἐν πόνοις εὐκαταφρόνητον τὸ σῶμα ποιεῖ, ἡ δὲ ἔχθρα ἐν πράξεσι ταῖς ἐν βίῳ. Καὶ ἡ μὲν ἀσωτία καὶ ἀκολασία αἰσχρὰν τὴν ψυχὴν καὶ ἄκοσμον παρασκευάζει, τὸ δὲ αἶσχος ἐν σώματι ὂν αἰσχρὸν τὸ σῶμα καὶ ἄκοσμον παρασκευάζει, ἡ δὲ πενία ἐκτὸς οὖσα αἰσχρὸν [τὸν?] βίον παρασκευάζει· καὶ ταύτῃ λαμβάνεται τῶν κακῶν τούτων ἡ ὁμοιότης.

LXVI. Cod. Marc. 59 : Διαιρεῖται ἡ ἀποβολὴ

---

brutorum animalium domitiones, subactiones, dominationes, tyrannise et talia.

LXII. Falsa dicendi quattuor sunt genera : unum enim est in jactantia, alterum in dissimulatione, tertium est irrisio, quartum mendacium damnum aliquod afferens. Qui se jactat mentitur plura et majora dicens : simulat enim ea scire se affirmans quæ nescit et ea habere quæ non habet. Qui dissimulat mentitur minuendo : dives enim dicit se pauperem esse quum dissimulat, sapiens se non esse sapientem. Qui mentitur irridens cavillatur quum superari vincere appellet, quod pulchrum est, malum, quod sapiens indoctum : qui damnose mentitur is est qui falsum testatur, qui denegat et alia talia facit.

LXIII. Duo sunt genera eorum qui falsa loquuntur : sive enim voluntate sive inviti faciunt. Qui sponte mentitur quosdam decipit et aliter fraudem facit; qui vero invitus quum ipse deceptus sit falsa loquitur ob errorem in quo ipse versatur.

LXIV. Purificatio et purgatio in tria dividuntur genera. Unum enim fit lege, alterum natura, tertium arte et re. Purificatio lege fit ut quum aer purificatur et quum aqua et cibi et omnia talia pura sunt..... arte et re ut æramentorum et vestium lotio et talia.

LXV. Malorum similitudo quæ ad animum et quæ ad corpus pertinent quæve extrinsecus sunt hæc est. In animo injustitia pessime animum afficit, in corpore morbus, in iis quæ extrinsecus sunt mala fortuna : et ita perspicitur horum malorum similitudo. Et rursus in animo insipientia imbecillitas quædam est et rationis defectus, in corpore vero malus habitus defectus est; in iis quæ extrinsecus sunt mala existimatio, quippe quæ ignominiam et infirmitatem et despectum circum alia quædam efficiat iis quæ extrinsecus fiunt. Et ita rursus percipitur horum malorum similitudo. Et rursus timiditas quæ est in animo mentes stupori obnoxias et omni pavori inferiores efficit : in corpore virium defectus corpora omnibus laboribus imparia reddit; in iis vero quæ sunt extrinsecus qui sunt inimici infirmos faciunt ad ea quæ extrinsecus agenda sunt et facile despiciendos : cui enim multi sunt inimici, nihil huic facile contingit. Et ignavia est quæ in periculo facile contemnendos faciat, virium defectus in laboribus corpus, inimicitiæ vero in vitæ actionibus. Prodigalitas et intemperantia animum turpem et incultum efficiunt; deformitas in corpore turpe et incultum corpus reddit; egestas quæ extrinsecus est vitam turpem efficit. Et ita percipitur horum malorum similitudo.

LXVI. Scientiæ amissio in tria dividitur : unum enim est si is cujus est scientia periit; alterum si oblivio gi-

τῆς ἐπιστήμης εἰς τρία· ἔστι γὰρ αὐτῆς ἓν μὲν ἐὰν φθαρῇ οὗπερ ἐστὶν ἡ ἐπιστήμη, ἓν δὲ ἐὰν λήθη γένηται, ἓν δὲ ἐὰν ὁ ἔχων τὴν ἐπιστήμην φθαρῇ. Ἐὰν μὲν οὖν οὗ ἐστιν ἡ ἐπιστήμη φθαρῇ οἷον Σωκράτους, οὐκ ἔτι ἐστὶν ἐπιστήμη· ἔφθαρται γάρ. Ἐὰν δὲ λήθη γένηται, καὶ οὕτως ἀποβάλλομεν τὴν ἐπιστήμην. Ἐὰν δὲ ὁ ἔχων τὴν ἐπιστήμην φθαρῇ ἄνθρωπος, ἀναγκαῖόν ἐστι συμφθείρεσθαι καὶ ἀποβάλλεσθαι αὐτήν.

LXVII. Cod. Marc. 64 : Σκεπτέον ἥτις ἐστὶ τῶν ζῴων πρὸς ἄλληλα διαφορά. Φαμὲν οὖν εἶναι τῶν ζῴων τὰ μὲν θνητά, τὰ δὲ ἀθάνατα. Θνητὰ μὲν οὖν εἰσὶ ὅσα πέφυκε φθείρεσθαι καὶ αἵματος κοινωνεῖν, οἷον ἄνθρωπος καὶ βοῦς καὶ τὰ τοιαῦτα τῶν ζῴων· ἀθάνατα δὲ οἷον ἄγγελοι. Τῶν δὲ θνητῶν ζῴων τὰ μέν ἐστι πτηνά, τὰ δὲ ἔνυδρα, τὰ δὲ πεζά· πεζὰ μὲν οὖν εἰσὶν οἷον ἄνθρωπος, κύων, ἵππος καὶ τὰ τοιαῦτα καὶ ἁπλῶς οἷς ὁ βίος ἐπίγειός ἐστιν, ἔνυδρα οἵ τε ἰχθύες καὶ τὰ ὄστρεα καὶ ἁπλῶς οἷς ἡ διαγωγὴ ἐν ὑγρῷ ἐστί, πτηνὰ δὲ οἷον ὄρνιθες καὶ σφῆκες καὶ μέλισσαι καὶ ἄλλα ὅσα τοιαῦτα ἃ διὰ τῆς οἰκείας φύσεως ὀχοῦνται κατὰ τὸν ἀέρα. Πάντα δὲ τὰ τοιαῦτα καὶ κατὰ ψυχὴν καὶ κατὰ τὸ σῶμα δοκεῖ διαφέρειν ἀλλήλων. Ὅτι μὲν οὖν κοινῶς κατὰ πάντων τούτων κατηγορεῖται ζῷον εἶναι δῆλον, διαφορὰν δέ τινα ἔχει τούτων ἕκαστον καθάπερ εἴπομεν· τὸ μὲν γὰρ αὐτῶν πεζόν, τὸ δὲ ἔνυδρον, τὸ δὲ πτηνόν, τὸ δὲ ἀθάνατον· τὸ δὲ κοινὸν κατηγορούμενον ἐφ' ἁπάντων φαμὲν εἶναι τὸ γένος. Ἕκαστον δὲ τούτων ἐστὶ ζῷον, τὰ δὲ διαιρεθέντα τῶν ζῴων λεκτέον εἴδη εἶναι. Τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ σχήματος καὶ ἀριθμοῦ. Τοῦ τε γὰρ τριγώνου καὶ τῶν λοιπῶν κοινὸν φαμὲν εἶναι τὸ σχῆμα· τούτων γὰρ ἕκαστόν ἐστιν ὅπερ ὑπάρχει σχῆμά τι (l. σχήματι)· δῆλον οὖν ὅτι τὸ μὲν σχῆμα γένος ἂν εἴη τούτων, ταῦτα δὲ τοῦ σχήματος εἴδη· τὸ γὰρ σχῆμα διαιρήσομεν εἰς τρίγωνον καὶ τετράγωνον καὶ τὰ λοιπά. Ὁμοίως δὲ καὶ τὸ περιττὸν καὶ τὸ ἄρτιον εἴδη τοῦ ἀριθμοῦ εἰσι· κοινῇ γὰρ αὐτῶν κατηγορεῖται ὁ ἀριθμός. Ἐπεὶ δὲ τὸ μὲν γένος δοκεῖ πρότερον εἶναι τοῦ εἴδους, τὸ δὲ πρότερον οὐχ ἁπλῶς λέγεται, εἴπωμεν περὶ αὐτοῦ.

LXVIII. Cod. Marc. 65 : Τὸ πρότερον λέγεται πενταχῶς· ἢ γὰρ φύσει ἢ χρόνῳ ἢ θέσει ἢ τάξει λεχθήσεται. Θέσει μὲν οὖν οἷον τὸ ἐπὶ τῶν κειμένων ψήφων εἰώθαμεν λέγειν, οἷον ὅτι πρότερον αὕτη ταύτης· τάξει δὲ οἷον ὁ ταξίαρχος τοῦ λόχου καὶ ὁ λοχαγὸς τοῦ ἰδιώτου καὶ τὸ α' τοῦ β'. Δυνάμει δὲ φαμὲν εἶναι πρότερον τὸν στρατηγὸν τοῦ στρατιώτου καὶ ἁπλῶς τὸν δυνάστην τοῦ ἰδιώτου· χρόνῳ δὲ οἷον πατὴρ υἱοῦ καὶ πᾶν τὸ πρεσβύτερον τοῦ νεωτέρου· φύσει δέ ἐστι πρότερον οἷον ἥ τε μονὰς τῆς δυάδος καὶ τὸ μέρος τοῦ ὅλου καὶ τὸ γένος τοῦ εἴδους, καὶ ἁπλῶς ὅσα αὐτὰ ἀλλήλοις μὴ συναναιρεῖται, τούτων τὸ μὲν οὖν ἀναιροῦν (l. συναναιροῦν) πρότερόν ἐστι, τὸ φύσει δὲ συναναιρούμενον ὕστερον· οἷον τῆς μονάδος ἀναιρεθείσης ἡ δυὰς ἀναιρεῖται καὶ πᾶς ἀριθμός, δυάδος δὲ ἀναιρεθείσης οὐδὲν κωλύει μονάδα εἶναι· πρότερον τοίνυν τῇ φύσει μονὰς δυάδος. Ὁμοίως δὲ καὶ τοῦ μέρους ἀναιρεθέντος τὸ ὅλον ἀναιρεῖται, τοῦ δὲ ὅλου μὴ ὄντος οὐδὲν κωλύει τὸ μέρος εἶναι. Φανερὸν δὲ ὅτι ὁσαχῶς τὸ πρότερον λέγεται, τοσαυταχῶς καὶ τὸ ὕστερον λεχθήσεται· τὸ γὰρ ὕστερον ἐροῦμεν ἢ φύσει ἢ χρόνῳ ἢ θέσει ἢ τάξει ἢ δυνάμει.

---

gnitur, tertium si is qui habet scientiam moritur. Si igitur is cujus est scientia moritur ut Socratis, non amplius erit scientia, periit enim. Sin autem oblivio gignitur, et sic quoque scientiam amittimus. Sin autem moritur is qui scientiam possidet, necesse est cum illo perire et amitti ipsam.

LXVIII. Quærendum quænam sit animalium inter se differentia. Dicimus igitur animalium quædam esse mortalia, quædam immortalia. Mortalia sunt quæ intereunt et sanguinem habent, ut homo, bos et similia animalia; immortalia vero angeli. Mortalium animalium quædam sunt volatilia, quædam aquatilia, quædam terrestria. Terrestria autem sunt homo, canis, equus et similia et omnino quæcunque vitam in terra degunt; aquatilia pisces et ostrea et omnino quæcunque in humido degunt; volatilia vero aves, vespæ, apes et alia similia, quæcunque propria natura per aerem feruntur. Hæc vero omnia et quod ad animam et quod ad corpus attinet inter se differre videntur. De his vero omnibus communiter prædicatur animalia esse, sed eorum quodque differentiam habet, ut diximus : aliud enim pedestre, aliud aquatile, aliud volatile, aliud immortale. Quod autem communiter de omnibus prædicatur, genus esse dicimus. Eorum quodcunque animal est : divisa autem animalia species vocari oportet. Quod et idem de forma et numero accidit. Trianguli enim et aliarum figurarum communem esse formam dicimus : eorum enim quodque forma est ita ut appareat formam eorum esse genus, illa vero formæ species. Formam enim dividemus in triangulum, quadrangulum et cetera. Similiter etiam par et impar genera sunt numerorum : communiter enim de illis prædicatur numerus. Quum vero genus prius videatur esse quam species, prius autem non uno tantum modo dicatur, de hoc jam loquamur.

XLVIII. Prius quinque dicitur modis : sive enim natura, sive tempore, sive facultate, sive positione, sive ordine dicetur. Positione de calculis solemus dicere, velut hunc priorem esse illo. Ordine velut taxiarchus prior est cohorte, lochagus gregario milite et *a* quam *b*. Facultate priorem esse dicimus ducem milite et prorsus eum qui dominationem exercet homine privato. Tempore prior est pater filio et omne quod ætate majus est juniore. Natura prius est monas dyade, pars toto, genus specie et prorsus omnia quæ non ipsa invicem simul auferuntur, quorum prius est id quod aufert, quod vero natura aufertur posterius, velut monade ablata, dyas aufertur et omnis numerus, dyade vero ablata nihil impedit quin monas sit. Prius igitur natura monas dyade. Similiter et ablata parte totum au-

LXIX. Cod. Marc. 66 : Ὁσαχῶς τὸ πρότερον καὶ τὸ ὕστερον λέγεται, τοσαυταχῶς καὶ περὶ τοῦ ἅμα λεχθήσεται, οἷον ἢ φύσει ἢ θέσει ἢ δυνάμει ἢ χρόνῳ ἢ τάξει. Θέσει μὲν οὖν εἰσὶ τὰ τοιαῦτα ἅμα ὅσα τῷ τόπῳ ἐξ ἴσου ἐστίν, οἷον τὰ τρέχοντα ἅμα φαμὲν εἶναι καὶ τὰ ἑστηκότα· τάξει δέ ἐστι τὰ τοιαῦτα ἅμα οἷον οἱ τοῖς ζυγοῖς στοιχοῦντες, δυνάμει δὲ ἅμα λέγομεν τὰ μηδὲν ἀλλήλων πλέον δυνάμενα, χρόνῳ δὲ τὰ τοιαῦτα φαμὲν εἶναι ἅμα τὰ κατὰ τὸν αὐτὸν χρόνον ὄντα, φύσει δὲ λεκτέον ἅμα εἶναι τά τε συναναιροῦντα ἄλληλα καὶ τὰ μὴ δυνάμενα χωρὶς ἀλλήλων εἶναι, οἷον τό τε διπλάσιον καὶ τὸ ἥμισυ· ταῦτα γὰρ συναναιροῦνται ἄλληλα (l. ἀλλήλοις) καὶ τὰ μὴ δυνάμενα χωρὶς ἀλλήλων εἶναι, οἷον τό τε διπλάσιον καὶ τὸ ἥμισυ· ταῦτα γὰρ συναναιροῦνται ἀλλήλοις καὶ τὸ ἕτερον χωρὶς τοῦ ἑτέρου ἀδύνατον εἶναι· διπλασίου γὰρ ἀναιρεθέντος οὐκ ἔσται ἥμισυ καὶ ἡμίσους ἀναιρεθέντος οὐκ ἔσται διπλάσιον καὶ ἀδύνατόν ἐστι διπλασίου ὄντος μὴ εἶναι ἥμισυ. Τούτων οὕτως ἀποδειχθέντων ἀκόλουθον εἰπεῖν περὶ τῶν ὄντων (cf. supra XXXII).

